Ἐν ᾧ δὴ κατὰ τὴν Ἀσίαν διέτριβε καὶ περιῄει καὶ τὰ ἐν τῇ Ἀσίᾳ καθίστη πράγματα καὶ τοῖς Τούρκων ἡγεμόσι σπονδὰς ἐποιεῖτο, Σαουζῆς ὁ πρεσβύτερος τῶν παίδων αὐτοῦ ἐν τῇ Εὐρώπῃ καταλειφθεὶς ὥστε ἐφορᾶν τε τὴν ἀρχήν, καὶ ἤν τι ἐπίῃ δεινὸν ἢ χαλεπὸν κατὰ τὴν ἀρχήν, ἐπὶ τὸ δοῦναι

2. μεμνῆσθαι ἡμῶν P: corr H 18. καὶ ante περιῄει om P

litones mei, filii dilectissimi, non subit animos, quanta pericula in Europa multorum annorum durissima militia perpessi sitis? quid ceditis? an nescitis omnia in vestra fore potestate, illis superatis? agite igitur, promptis animis me sequamini. quod si cunctati fueritis, hostes nos vincent." haec locutus admisit equum in hostem, et in confertissimos hostium cuneos se coniecit, acerrime praelians; confestimque, ut praedixerat, ventus exortus est et in hostium faciem se fudit. hinc cum mutua hortatione adversum hostes procederent, maximoque impetu eos adorirentur, primum eos in fugam coniecerunt, et insequentes plurimos trucidarunt. fertur maximam exercitus eius partem ibi intercidisse. hostes autem fuga sibi consulentes singuli ad sua dispersi sunt. hinc cum legatos misissent ad Amuratem petitum pacem, haud passi sunt repulsam. hac tamen condicione pax data est, ut se, quocunque exercitus movisset, impigre sequerentur.

Ut autem pax cum Turcis in Asia facta est, etiam res in Europa interturbatae sunt. Sauzes natu maximus filiorum Amuratis in Europa relictus est, ut eam defenderet, et si qua seditio coorta esset aut periculi quid ingrueret, curaret ut Europae res in tuto colloca-

αὐτῷ ἀσφαλῶς ἔχειν, καταστησάμενος. οὗτος δὲ συνίστη τε D καὶ τοὺς κατὰ τὴν Εὐρώπην ἀριστέας ὡς ἠδύνατο, μάλιστα εὖ ποιῶν τε καὶ ἀνακτώμενος, καὶ τοῦ Ἑλλήνων βασιλέως τῷ πρεσβυτέρῳ παιδὶ Ἀνδρονίκῳ, ὃς οἰχομένου τοῦ πατρὸς αὐτοῦ Ἀμουράτῃ τῷ Ὀρχάνεω ἐς τὸν κατὰ τὴν Ἀσίαν πρός τε ἡγεμόνας αὐτοῦ πόλεμον ἐγκατελείφθη ἐν τῷ Βυζαντίῳ καὶ ἐπετέτραπτο τὴν βασιλείαν, τούτῳ ἀφικόμενος ἐς λόγους ἔπειθέ τε ἀφίστασθαι ἀπὸ τῶν πατέρων, καὶ ἄμφω κατασχεῖν τὴν πατρῴαν ἀρχήν, τὸν αὐτὸν σφίσιν ἐχθρόν τε καὶ φίλον ἡγουμένους, καὶ ἤν τις ἐπίῃ πόλεμος, ἀμύνοντας παραγίνεσθαι ἀλλήλοις κατὰ τὸ δυνατὸν πάσῃ δυνάμει. ταῦτα ὡς P. 21 αὐτοῖς ἐδόκει ποιητέα, ἐσπένδοντό τε καὶ ὅρκια ἐποιοῦντο, ἐμπεδοῦντες ὡς μάλιστα τὰ τοιαῦτα σφίσιν αὐτοῖς, ᾗ ἀσφαλέστατα ἐδόκει ἀμφοῖν ἔσεσθαι. ὡς δὴ ταῦτα ποιησάμενοι δῆλα ἐποιοῦντο, καὶ ἠσφαλίζοντο σφᾶς παρασκευαζόμενοι, ἢν ἐπίῃ ἐς τὴν Εὐρώπην Ἀμουράτης, ὡς ἀμύνασθαι. ταῦτα ὡς ἐπύθοντο τάχιστα γενόμενα κατὰ τὴν Εὐρώπην, καλέσας Ἰωάννην βασιλέα Βυζαντίου ἔλεγε τοιάδε. "βασιλεῦ Ἑλλήνων, ἐμοί τε νεωστὶ παρὰ τῶν ἐν τῇ Εὐρώπῃ πιστοτάτων ἀγγελία ἀφίκετο ὡς Σαουζῆς ὁ ἐμὸς παῖς ὑπὸ τοῦ σοῦ παιδὸς ἀναγνωσθεὶς ἀνήκεστά μοι βουλεύονται πράγματα. πῶς οὖν ἔχει μηδέν τι ἐπισταμένου σοῦ τούτων πέρι ἐς τοσοῦτον B

4. ὡς P: corr H 5. τὸν] τὴν P: corr H τε] τοὺς H 6. πολεμῶν P: corr H 7. ἔπειθέ H, ἐπειδή P 8. πατέρων H, πατρῴων P 17. ἐπύθετο H 21. βουλεύεται H

rentur. hic seditionem excitavit, concilians Graecorum nobilium in Europa animos. cum venisset colloquendi gratia ad Graecorum regis filium seniorem Andronicum, cui Byzantium regnique curam mandarat pater, cum proficisceretur cum Amurate in Asiam adversus duces isthic seditiosos, tandem eo deducti sunt ut uterque a patre deficeret suo, paternumque regnum teneret, eundemque et hostem et amicum ducerent quem alter iussisset; praeterea si quid ingrueret, alter alteri auxilio esse ne cunctaretur. haec cum ipsis visa essent, quo maioribus animis observarentur maioreque fide colerentur, iurisiurandi religio utrinque interposita est. quibus expeditis quam commodissime ex aperto praeparabantur obsistere Amurati, si in Europam transire conaretur. ubi de istis certior factus est Amurates, advocato Ioanne rege Byzantii huiuscemodi exorsus est orationem. "rex Graecorum, mihi nuper a fide dignissimis in Europa nuntiatum est Sauzem filium meum, a filio tuo coactum, instituere ad extremam me devolvere miseriam. qua ratione igitur fieri posset ut inconsciis vobis ad tantam devenerint dementiam, ut non solum meus filius tam

ἀφικέσθαι ἀφροσύνης, ὥστε μὴ μόνον ἐπιχειρῆσαι τὸν ἐμὸν
παῖδα, ἀλλὰ καὶ σὸν παῖδα συνέπαινον γενέσθαι ἐς ταῦτα;
πῶς δ' ἄνευ σῆς γνώμης τὰ τοιαῦτα γενέσθαι ἐξείη λογίζε-
V. 17 σθαι; ἀλλ' εἰ μὲν δίκην ἐπιθήσων τῷ σῷ παιδὶ ἥν τινα ἂν
ἐπιτάττοιμεν μηδ' ὁτιοῦν ὑπολογιῇ, εἴσομαι τότε σαφῶς ὡς
ἄκοντός σου ταῦτα ἐγένετο. ἢν δὲ ἄλλῃ λογιζόμενος ἀλλοῖον
ἢ ἐμοὶ δόξει περὶ τοῦ ἐμοῦ παιδὸς μὴ τιμησάμενος μὴ βού-
λοιο τίθεσθαι, ἴσθι δὴ σαυτὸν ἐν αἰτίᾳ ἕξων ἐς ὕστερον."
βασιλεὺς δὲ Ἑλλήνων ἀμείβετο τοῖσδε. "ὦ βασιλεῦ, οὐκ ἂν
δή ποτε τοῦ λοιποῦ ταύτην ἔμοιγε τὴν αἰτίαν αἰτιώμενος
C ἐπιθείης σὺν δίκῃ· ἢ γὰρ κἀμοὶ γενήσεται ὁ παῖς οὗτος ὃν
σὺ ἔφησθα ἐπὶ ταῦτα ὡρμῆσθαι, οὐδέν τι ἧττον ἐμοῦ συ-
νειδότος, ἤδη δὴ τότε σαφέστατα ὡς ἔχομεν εὐνοίας τε καὶ
φιλοφροσύνης περὶ σέ τε καὶ τὴν σὴν δυναστείαν. ἢν δ' ἂν
ἐπιτάττοις δίκην ἐκείνῳ ἐπιθεῖναί με, μὴ ἂν οὕτω μεμηνέναι
δόξαιμι ὥστε τῷ ἐμοί τε καὶ σοὶ ἐχθίστῳ τε καὶ πολεμιωτάτῳ
διατεθειμένῳ χαρίζεσθαι, ὁτιοῦν ἐνδιδόντα τῆς δίκης." ταῦτα
εἰπόντι τῷ βασιλεῖ, ἐδέδοκτο Ἀμουράτῃ τὴν αὐτὴν ἀμφοῖν ἐπι-
θεῖναι τὴν δίκην, κατὰ ταῦτα ἄμφω τὼ πατέρε ἐπαιτιωμένω τοῖς
παισίν, ἐξορύξαι τὼ ὀφθαλμὼ ἑκατέρῳ ἐκείνοις. ὡς δὲ ταῦτα
ἐδέδοκτο, ἤλαυνεν ἐπὶ τὴν Εὐρώπην, στράτευμα ἀγόμενος ᾗ
ἐδύνατο πλεῖστον. καὶ διαβὰς ἐπὶ τὴν Εὐρώπην ἵετο ὁμόσε

11. εἰ γὰρ ἐπ' ἐμοί? 13. ἤδη] εἴσῃ? ἔχοι μὲν P

impia aggrediatur, verum tuus accedat auxiliator et adiutor? absque tuo consilio haec parari quo pacto cogitare possum? verum si poenas exegeris de filio tuo, quas ego dictavero, certo sciam te inscio et invito ista contigisse. sin alia tibi quam mihi placuerit puniendi filii sententia, scito harum turbarum culpam omnem me in te translaturum." cui Graecorum rex respondet "nequaquam, o rex, hanc culpam vere in me reiicies. nam si nunc mihi daretur filius ille meus, quem ais adeo impia in te patrare, sane cogniturus esses liquido, quam ardentissimis studiis te tuumque regnum complecterer. sin autem mihi animadvertendi in filium negotium iniunxeris, ne me adeo dementem fore existimes, ut quicquam gratia repressus de poenae severitate remittam; praesertim cum is puniendus sit, qui tibique mihique inimicissimus et infestissimus est." rex dicendi cum finem fecisset, placuit ut uterque parens suum filium simili poena, cum crimen utriusque simile foret, feriret. poena autem erat constituta, videlicet ut utriusque oculi eruerentur. haec ubi sunt decreta, copiis quam potuit maximis succinctus festinavit in Europam. quibus transvectis in Europam, summo studio contendit adversus filium in eum locum, ubi eum cum Graecorum regis filio castra com-

ἐπὶ τὸν παῖδα, ὅπῃ δὴ ἐπυνθάνετο αὐτὸν ἐνστρατοπεδευόμε- D νον σὺν τῷ Ἑλλήνων βασιλέως παιδί. οἳ δὴ τὸ Εὐρώπης στράτευμα συλλέξαντες ἐστρατοπεδεύοντο ἐν χώρῳ τινὶ Βυζαντίου Ἀπικριδίου καλουμένῳ, οἳ δὴ τούς τε Ἕλληνας ἅμα καὶ τοὺς ἀρίστους ἀπ' Εὐρώπης συλλέγεσθαί οἱ ὡς μάλιστα ἐλογίζοντο. ἐνταῦθα δὴ ἐπὶ χαράδρᾳ τινὶ ὡς ἐπὶ χάρακι ἐστρατοπεδεύετο Σαουζῆς Ἀμουράτεω παῖς, τὸν πατέρα ἐπιόντα οἱ ἐπιδεχόμενος. Ἀμουράτης δὲ ὡς ἐνταῦθα κατέλαβε τὸν παῖδα αὐτοῦ καὶ τοὺς Ἕλληνας στρατοπεδευομένους, συνταξάμενος ἐπῄει ὡς συμμίξων αὐτίκα τοῖς ἐναντίοις. ὡς δὲ ὑπὸ τῆς χαράδρας διεκωλύετο, ἐστρατοπεδεύσατο καὶ αὐτός. P. 22 συνέβαλλον, ᾗ ἐνεχώρει, Ἑλλήνων τινὲς τοῖς τοῦ Ἀμουράτεω στρατιώταις, καὶ ἐτρέψαντο τούτους, ὡς λέγεται. ὡς δὲ ἐφαίνετο χαλεπῶς ἔχειν τὸν χῶρον ἐκεῖνον μάχῃ συνάψαι τοῖς πολεμίοις, νυκτὸς ἐλάσας ἐναντίον τοῦ στρατοπέδου ἐπὶ τὸ χεῖλος τῆς χαράδρης, ὡς ἐγγυτάτω γενόμενος τοῦ στρατοπέδου τῶν πολεμίων ὡς ῥᾷστα ἐπακούοιτο, φωνῇ τε μεγάλῃ ἐπικαλούμενος ὀνομαστὶ ἄνδρα ἕκαστον, ὡς εὐκλείζων ἅμα τῶν πεπραγμένων ἑκάστῳ, εἴ τῳ φιλότιμόν πώποτε ᾖ ἀγαθὸν ξυνηνέχθη γενέσθαι. μετὰ δέ, εὐφημίζοντα ἕκαστον, παρὰ τὸ χεῖλος διιππεύοντα λέγεται ἐπειπεῖν τοιάδε "Ἄνδρες ἥρωες, ποῖ δὴ οἴχεσθε, ἀπολιπόντες ἐμὲ τὸν πατέρα ὑμῶν; ποῦ

4. Ἀπικρίδιον H   16. ὡς ἂν ἐγγ.?   18. ὡς] καὶ?

munivisse acceperat. qui quidem coacto in Europa exercitu castrametati sunt in Byzantii quodam loco, Apicridium dicto; quo sane congregatos esse constabat Graecos et optimos quosque ex Europa. ibidem iuxta torrentem quendam, quo quasi vallo muniebatur, castra locavit Sauzes Amuratis filius, patris adventum expectaturus. Amurates cum exploratum haberet filium suum, additis Graecis, in praedicto loco castra posuisse, composito agmine accedit, praeliaturus cum hoste. cum autem praelium prohiberet torrens, etiam ipse torrenti castra imposuit. fama est Graecorum quosdam congressos cum Amuratis militibus eos fudisse. deinde cum cognovisset locum istum ad praelium committendum minus esse opportunum, noctu profectus e regione castrorum hostilium ad oram torrentis quam proxime ad hostium castra accedit. hinc cum facile exaudiri posset, sublata voce singulos nominatim inclamavit; quorum egregia facta locis temporibusque notata, oratione secunda extollebat. deinde cum singulos satis collaudasset, equo transiit torrentem, et talem orationem habuisse fertur. "viri heroes, quo fugitis relicto me, patre vestro? quare praeceptoris vestri disciplinam abiicientes, ad filium meum convertimini desertorem? qui ubi primum captus in meas venerit

B τοῦ διδασκάλου τῆς διδασκαλίας ὑμῶν ἀφέμενοι ἐπὶ παῖδα ἐτράπεσθε ἔτι ἀπαλλάττοντα, ὅν, ἐπειδὰν ἐς χεῖρα ἐμὴν ἀφίκηται, συλλαβὼν μαστιγώσω, οὐδέν τι ἄλλο λυμηνάμενος τὸν νεανίαν, ἂν μέντοι μόνον ὑμῖν βουλομένοις ἐξῇ ἐκεῖνον τοιαῦτα ποιῆσαι. ἢν δὲ ἄλλοι πειρώμενοι τῆς γνώμης ἐμοῦ ἐθέλητε διὰ μάχης ἰέναι, ἴστε δὴ ὡς ὑμῶν οὐδὲν ὑγιὲς ἐσεῖται τοῦ λοιποῦ. δεῦρο δὴ οὖν ἰόντες παρ' ἡμᾶς μηδ' ὁτιοῦν ὑπολογίζεσθε αἰδοῖ τῆς ἡμετέρας ἀρετῆς, καὶ ὑπὸ παιδὸς μαστιγία αἰσχύνεσθε τοιαῦτα ἐπιτηδεύοντες. καὶ ἐπόμνυμι τὸν τὴν ἀρχὴν τήνδε ἐμοὶ ἐπιτρέψαντα μηδένα μηδὲν ἔτι ἀνήκεστόν τι ἐργάσεσθαι." ταῦτα ἀκούσαντας τοὺς Σαούζεω στρα-
C τιώτας αἰδεσθῆναί τε λέγεται τὴν βασιλέως φωνὴν (φωνεῖν τε γὰρ διάτορον μάλιστα δὴ ἀνθρώπων) καὶ περὶ σφῶν αὐτῶν δεδιέναι, τὴν τύχην αὐτοῦ καὶ ἀρετὴν ἐξεπισταμένους.
V. 18 καὶ οὕτω πεισθέντας, ὡς ἐδίδοσαν σφίσιν αὐτοῖς λόγον ἐπὶ τῷ γεγονότι, νυκτὸς ἐκείνης ἀπαλλάσσοντο ἐκ τοῦ στρατοπέδου, ἀπιόντες ᾗ ἑκάστῳ προεχώρει, τοὺς δὲ πλείους ἀφικομένους παρὰ τὸ Ἀμουράτεω στρατόπεδον παραιτεῖσθαι ὡς ἀνάγκῃ προηνεγμένοι συνελέγησαν ἐς τὸ Σαούζεω στρατόπεδον. αἰσθόμενος δὲ ὁ Σαουζῆς ἀποδιδράσκοντας τοῦ στρατοπέδου τοὺς στρατιώτας αὐτοῦ, σὺν τοῖς ἀρίστοις, οἷς ἑώρα εὐνουστάτοις αὐτῷ, ᾤχετο ἐπὶ τὸ Διδυμότοιχον, συνεπισπομέ-

2. ἀττάλλοντα? ἁπαλὸν ὄντα H 5. δὲ ἀποπειρώμενοι H
8. ὑπὲρ? mox H μαστιγίου. 11. τοῦ P

manus, tergo suo poenas pendet. nam flagellis caedetur, si modo id per vos mihi licuerit; nec quicquam mali aliud adolescentis perpetietur corpus. sin spreta hac sententia mecum volueritis decernere ferro, pro certo habetote vos ad summam abituros miseriam, nec meam bonitatem unquam experturos. agite ergo, ad nos transite, nihil mali suspicantes. nec ob nostrae virtutis reverentiam, nec etiam propter filii flagellationem, ad me confluere erubueritis. iuro per eum cuius ope ad istud insigne imperium conscendi, me nihil mali cuiquam vestrum illaturum." fama est Sauzis milites his auditis nonnihil confusos voce regis, quae erat clarissima, sibique timuisse male, virtutem eius et fortunam optime callentes. attamen persuasi auctoritate dicentis, cum inter se multum essent collocuti, nocte ea quae insequebatur castra deserunt; et quo cuique opportunum videbatur, eo dirigebat gressum. plurimi cum Amuratis castra intrassent, deprecati sunt culpam, factum excusantes, se non sponte, verum necessitate circundatos, castra Sauzis esse secutos. Sauzes ubi intellexit milites suos e castris aufugisse, nec non illos quos sibi fidissimos iudicabat abiisse, concessit Didimotychum. secuti sunt eum Graeco-

νων καὶ τῶν παίδων ὅσοι ἐς 'τόνδε οἱ συνεπιλαβομένων τὸν D
πόλεμον ὡς προθυμότατα, καὶ συμπροθυμούμενος ἐδόκει τού-
των ἀντιλαβέσθαι ᾗ ἐδόκει ἐρρωμενέστατα. πυθόμενος δὲ
Ἀμουράτης ἤλαυνε κατὰ πόδας, καὶ ἐπολιόρκει τὴν πόλιν. οἱ
δὲ σὺν τῷ Σαουζῇ λιμῷ πιεζόμενοι, ἅτε σίτου οὐκ εἰσενε-
χθέντος ἐς τὴν ἀκρόπολιν πρότερον καὶ ἐν βραχεῖ ἐπιλελοι-
πότος, παρεδίδοσαν σφᾶς αὐτοὺς χρῆσθαι ὡς ἂν μάλιστα
αὐτῷ δοκοίη. Ἀμουράτης δὲ τὴν πόλιν λιμῷ παραστησάμε-
νος εἷλε τὸν παῖδα αὐτοῦ Σαουζῆν, καὶ λαβὼν ἐξέκοψε τὼ
ὀφθαλμὼ αὐτοῦ. τοὺς δὲ ἄλλους κελεῦσαι αὐτὸν δεδεμένους
ἐπὶ κεφαλὴν κατὰ κρημνῶν κατενεχθῆναι ἀπὸ τῆς πόλεως ἐς P. 23
τὸν ποταμόν. τὸν δὲ ἐσκηνωμένον παρὰ τὸν ποταμὸν καὶ
θεώμενον ἐπιφερομένους τούς τε ἀρίστους ἐπὶ κρημνὸν σύν-
δυο τε ἅμα καὶ σύντρεις ἀνακαγχάζειν, οἷς ἐπισπεύδοντα
κυσὶ λαγὼ ἐπιδιώκουσι, παῖδας τῶν παρ' ἑαυτῷ ἀρίστων, σὺν
τῷ Σαουζῇ ἀπιόντας, ἐκέλευσε τοὺς πατέρας αὐτῶν αὐτοχειρὶ
διαχρήσασθαι. δύο δὲ τούτων λέγεται, μὴ ἐθελήσαντας τοὺς
παῖδας αὐτῶν ἀποκτεῖναι, αὐτούς τε ἅμα ἀνελεῖν καὶ τοὺς
παῖδας αὐτῶν κελεῦσαι ἀνελεῖν. γνώμῃ δὲ ἔφασκε τῶν πα-
τέρων ἀφικέσθαι τοὺς παῖδας ἐπὶ τὸν Σαουζῆν, καὶ ἀφικέ-
σθαι ταλαντευομένων αὐτῶν ἐπ' ἀμφότερα. ταῦτα δὲ ποιη- B
σάμενον ἐπιτεῖλαι, πέμψαντα ἄγγελον, τῷ Ἑλλήνων βασιλεῖ
τὸν παῖδα τὰ αὐτὰ τούτῳ ποιῆσαι, ᾗ συνέθετο αὐτῷ τὴν

14. οἷς] οἷα? 15. λαγὼ] cf. Hammer I p, 192

rum filii; quorum auxilio subnixus res quam animosissime gerebat. Amurates comperto filii discessu, e vestigio insecutus est, urbemque obsidione circumdedit. illi qui erant cum Sauze, fame oppugnati, cum antea nullum frumentum in arcem congessissent, semet fidei Amuratis sine pactionibus tradidere. Amurates itaque cum urbem fame enectam accepisset, etiam Sauzem filium cepit; quem oculis privari iussit. Graecos autem reliquos ex urbe vinctos praecipites in flumen subiectum deiici imperavit. castris autem iuxta flumen fixis, spectabat optimates Graecorum ut praecipitarentur ex urbe, nunc bini, deinde et terni. studio deinde spectandi addictus, cum intervenisset ex improviso lepus a canibus agitatus, fertur cachinum sustulisse. posthaec parentibus eorum qui se iunxerant Sauzi seditionem concitanti, praecepit ut filios necarent suis manibus. patres duo fuere, qui noluere tam crudele exequi imperium. hinc et ipsi trucidati sunt simul cum filiis. nam dicere solebat nequaquam istos citra consilia parentum defecisse ad Sauzem. nunc autem cum fortuna utantur dubia, eos nutare in utramque partem. his ita expe-

ἀρχήν. κἀκεῖνον δέ φασι λαβόντα τὸν παῖδα αὐτοῦ ὄξει ζέοντι κατενέγκαι τὼ ὀφθαλμώ.

Τότε μὲν οὖν οὕτως ἐτελεύτα ἀμφὶ τόνδε τὸν πόλεμον· μετὰ δὲ ταῦτα, ὡς Ἐμμανουῆλος ὁ τοῦ Ἑλλήνων βασιλέως παῖς Θέρμην τὴν ἐν Μακεδονίᾳ, Θεσσαλονίκην ἐπικαλουμένην, ἐπιτροπεύων διίθυνε, καί τινος λαβόμενος ἐπιστάτου ἀμφὶ τήνδε τὴν χώραν τῇ Φερρῶν πόλει ἐπιβουλεύων ἑάλω, πρὸς δὲ καὶ νεώτερα πράττων πρὸς Ἀμουράτην, ἐπιπέμψας Χα-
C ρατίνην ἄνδρα μέγα δυνάμενον, διὰ σύνεσιν δὲ τὰ ἐς πόλεμον οὐδενὸς τῶν παρ' ἑαυτῷ λειπόμενον, ἐπέτελλε τὴν Θέρμην αὐτῷ παραστησάμενον ἥκειν, ἄγοντα τὸν τοῦ βασιλέως Ἰωάννου παῖδα. Χαρατίνης μὲν δὴ ἐν τούτοις ἦν· Ἐμμανουῆλος δὲ αἱρήσεσθαι τὴν πόλιν οἰόμενος ταχὺ ὑπὸ Χαρατίνεω, ἅτε τῶν πραγμάτων τῶν ἐν τῇ πόλει πονηρῶς ἐχόντων καὶ ἐπ' οὐδενὶ ἀγαθῷ οἱ ἀποβεβηκότων (αὐθαδέστερόν τε γὰρ αὐτῷ ἀχθόμενοι ἐχρῶντο οἱ τῆς πόλεως ἢ ὡς ἐχρῆν), ὡς εἶχε, τάχιστα ἀπηλλάττετο διὰ θαλάσσης, ἐπὶ τὸν πατέρα αὐτοῦ ἐν νῷ ἔχων ἀπιέναι. ὡς δὲ ἐπιπέμπων αὐτῷ ὁ πατὴρ προηγόρευεν ἄλλου πη ἀπιόντα ἀπαλλάττεσθαι, ὡς οὐκέτι αὐτῷ
D ἑνὸν δέχεσθαι διὰ δέος τοῦ Ἀμουράτεω, ἔγνω δεῖν ἐς αὐτὸν ἴεσθαι τὸν Ἀμουράτην, παραιτησόμενον εἴ τι μὴ ἐν δέοντι διαπραξαμένῳ αὖθις αὐτῷ μεμελέτηκεν. Ἀμουράτης δὲ πυνθα-

2. κατενέμαι T   22. μεταμεμέληκεν?

ditis nuntium mittit ad Graecorum regem, ut filium suum plecteret, sicuti initio convenerat; qui infundens oculis eius acetum fervidum, visum ei ademit.

Talem finem isti bello imposuit (1385). postea cum Emanuel, regis Graecorum filius, Macedoniae Thermam, quam Thessalonicam nominant, regens, et auxilium nactus, deprehensus esset Pherris urbi insidias struere resque novas contra Amuratem moliri, misso Charatine, potentissimo viro et militari scientia nulli postponendo, ei praecepit ut Thermam occuparet, nec reverteretur, nisi adducens filium Ioannis regis vinctum. his quidem Charatines efficiendis praecipue intentus erat. Emanuel cum praesentiret urbem non posse sustinere Charatinis vires, cum alioqui urbis res essent comminutae nec quicquam boni prae se ferrent (nam contumeliosius illum tractabant quam fieri par erat, viro maxime infensi) quapropter animo agitabat quam ocyssime mari contendere ad patrem. pater autem misso nuntio cum edixisset ut alio quam ad se diverteret, quasi eum non amplius excipere auderet, Amuratis metu, statuit ire ad Amuratem, huncque suppliciis fatigare, ut sibi admissorum impunitatem concedat. Amurates cognito filium regis ad se venire, eius admodum gavisus est ge-

νόμενος τὸν βασιλέως παῖδα ἐπ' αὐτὸν ἀφικνεῖσθαι ἠγάσθη τε V. 19
αὐτὸν τῆς γενναιότητος, καὶ ἀπαντήσας ᾗ πρότερον εἰώθει
ποιεῖν αὐτῷ ἐπελαύνοντι ἔπειτα προσεῖπε, καὶ ἐπισχόντι
βραχὺ οὕτω διελέχθη. [μετὰ δὲ ταῦτα προσγελάσας αὐτῷ
ἔλεγε τοιάδε.] "ὦ παῖ βασιλέως, ὡς μὲν σὺν δίκῃ τῇ ἐμῇ
χώρᾳ νῦν, πρότερον δὲ ὑμετέρᾳ οὔσῃ ἐπιβουλεύων ἑάλως,
καὶ ταῦτα ὅσα διεπράξω σὺν δίκῃ διαπεπραγμένος εἴης, ἐπι-
σταμένῳ μοι ταῦτά ἐστί, καὶ ἤδη συγγνώμην σοι παρεχόμε-
νος ἐν τῷ παρόντι, ὅρα μὴ εἰσαῦθις ἀλῷς τοιοῦτον ἐς ἐμὲ P. 24
καὶ τὴν ἐμὴν ἀρχὴν διαπραττόμενος εἴης. ἐμέ τε γὰρ καὶ
θεὸν ἅμα τὸν τοῦδε κηδόμενον, ἀποδεδειχὼς ἤδη φαυλότατά
σε δὴ διαγενόμενον· ὡς ταύτῃ ἄμεινον ἔχει γενόμενος, ἐφ'
ὑμῖν τὰ τῆς Εὐρώπης πράγματα." "ἀλλ' ἐγώ," ἔφη ἐκεῖνος,
"καὶ θεὸν αὐτὸν παρὰ σοῦ ᾗ ἔχει ὡς ἄριστα διαίνοντα αἰ-
σθόμενος ἧια ἐπὶ σέ, ἐν τοσαύτῃ αἰτίᾳ γενόμενος, ὡς ἂν μοι
ἐπιτηδείως σχοίης ἐφ' οἷς πεπλημμέληταί μοι ἐπὶ σὲ καὶ τὴν
σὴν βασιλείαν." οὕτω δὲ καὶ Ἀμουράτης συνέγνω τε αὐτῷ
τὴν ἁμαρτίαν, καὶ τῷ πατρὶ αὐτοῦ ἐπιπέμπων ἐκέλευε τὸν
παῖδα αὐτοῦ δέχεσθαι· ὁ δὲ ἐποίει τε ᾗ ἐνετείλατο, καὶ τὸν B
παῖδα αὐτίκα προσίετο ἐς Βυζάντιον. Χαρατίνης δὲ τήν τε
Θέρμην παραλαβὼν καὶ τοὺς ξυναφεστῶτας δουλωσάμενος
μέγα εὐδοκίμει παρ' Ἀμουράτῃ, καὶ πρόσθεν μέγας ὢν παρ'
αὐτῷ καὶ μέγιστον δυνάμενος.

3. *ἐπισχών τι* H 12. *γενόμενα ἐφ' ἡμῖν* H 14. *περὶ*? et mox *διαιτῶντα*? 15. *σὲ*] *δὲ* P 19. *ᾗ*] *οἷ* P, *οἷα* H 20. *τήνδε* P

nerosa indole. cui cum processisset, ut antea consueverat, obviam, primo eum allocutus est. deinde paulisper silentium tenentem, cum eum reprehendisset, renidenti ore sic locutum esse accepimus. "o fili regis, iure quidem convinceris, quod regioni nostrae, antea vestrae, insidiatus sis; et quaecunque feceris, iuste te fecisse compertum habeo. nunc autem cum tibi praeteritorum veniam impertiar, cave deinceps talia adversus me meumque regnum coneris. mihi enim et huius rei curatori deo satis declarasti te pessimum esse factum. itaque ubi melior nunc factus fueris, etiam res Europae sub vobis melius sunt habiturae." "at ego" inquit ille, "sciens deum omnia quam optime agere, ad te veni tot criminibus irretitus, rogaturus veniam eorum quae in te regnumque impie commisi." his dictis veniam dedit Amurates; et ad patrem suum eum remittens, iussit ut filium cum bona gratia susciperet. qui imperata faciens filium illico admittebat Byzantium. Charatines occupata Therma, et defectoribus in servitutem redactis, plurimum gloriae invenit apud Amuratem, cum antea multum, nunc plurimum apud eum polleret.

Λέγεται μὲν περὶ Χαρατίνεω πολλὰ ἄξια λόγου, ὡς ὑποτιθεμένου Ἀμουράτῃ τὰ δέοντα καὶ τὰ πλείω ὑπηρετοῦντος διαπράττεσθαι μεγάλα ἄττα κατά τε Ἀσίαν καὶ Εὐρώπην· καὶ λόγοι δὲ αὐτοῦ πρὸς Ἀμουράτην C ἀπομνημονεύονται, ἐρίζοντος αὐτῷ περὶ συνέσεως καὶ στρατηγίας. ἐρομένου γὰρ αὐτοῦ λέγεται "Ἀμουράτη ὦ βασιλεῦ, πῶς ἂν δὴ μάλιστα στρατηγῇ, ἕως ἂν βούλοιτό οἱ γενέσθαι, τούτων ῥᾳδίως ἐπιτυγχάνοι;" τὸν δὲ φάναι λέγεται "εὖ τε στοχαζόμενος, καὶ τοὺς στρατιώτας ὡς οἷόν τε μάλιστα εὐεργετῶν." τὸν δὲ ἐπανερέσθαι "καὶ πῶς ἂν δὴ" εἰπόντα "στοχάζοιτο ὀρθῶς;" τὸν δὲ φάναι "εἰ μετρῶν τὰ εἰκότα μὴ σφάλληται περὶ τὰ μέτρα." ἐνταῦθα καγχάσαι λέγεται Χαρατίνην πάνυ μέγα, καὶ ἐπειπεῖν "Ἀμουράτη ὦ βασιλεῦ, σωφρονεῖν ἄριστ' D ἂν δοκοίης. πῶς δ' ἂν μετροίη, ἂν μὴ παρὼν ἑκάτερα θεωρῇ, τά τε δέοντα καὶ τἀναντία τούτων, καὶ τῶν μὲν ἀπέχοιτο, τὰ δὲ αὐτῷ μεταδιώκοι ἑλόμενος, φθάνων τε τὸν τούτων καιρόν, τὰ δέοντα," διὰ ταῦτα δὲ ταχυτῆτα αἰνιττόμενος προφέρειν μέγα τῶν ἄλλων ἀγαθῶν ἐς τὸ μεγάλα κατεργάζεσθαι, ὡς οὐδὲν ἄλλο πρὸ ταχυτῆτός τε καὶ σπουδῆς τόν γε στρατηγὸν χρῆναι ἐπιτηδεύειν, καὶ πανταχοῦ παραγενόμε-

6. στρατηγός, ὅσα ἂν β.? 15. καὶ add H

Extant enim huius Charatinis plurima memoratu digna, ut qui Amurati optima suggesserit consilia; et pleraque egregia opera in Asia Europaque facta huius ex industria provenere. extant viri huius sermones quidam memoratu dignissimi, quos cum rege habuisse fertur, contendens cum eo super illis quae ad prudentiam reique militaris scientiam attinent. nam eum interrogationem instituentem, dixisse memorant "rex Amurates, quo pacto res bellicae administrandae sunt, ut eo quod desideras tuis copiis effici potiare?" regem aiunt respondisse "si singulis occasionibus, ne aufugiant, diligenter fuero intentus; praeterea, si plurimis beneficiis militum animos mihi devinxero." Charatinem subiecisse audio "at qua ratione occasiones non omiseris, praeterea scopum tuae militiae attigeris?" regem intulisse "si animo diligenter verisimilia quae ad scopum spectant pensitaverim; et in istis quae ad scopum faciunt non aberravero." hinc tradunt Charatinem in maximum effusum cachinum dixisse "rex Amurates, plurima sapientia te instructum esse cerno. at quo pacto verisimilia diligenter animo expendas, nisi praesens utraque experimentis cognoveris, quae fieri quaeque non fieri oporteat? haec in consultatione ut respuas, illa ut maxima cura deligas." ista ubi praecesserint, significat etiam requiri celeritatem, quae plurimum momenti ad res praeclare gerendas habet, ut nihil magis ducem quam celeritatem et indefessam curam in agendo et consultando sectari oporteat. praesens esse

νον ὅποι ἂν δέοι πη παρεῖναι. ταῦτα μὲν οὖν διειλεγμένους
ἀλλήλοις ἀποδείκνυσθαι γνώμας οὐ τοῦ δέοντος ἐλλιπεῖς.

Ἀμουράτης μὲν οὖν διιὼν ἁπανταχῇ ὡς τάχιστα, δέους P. 25
τε ἐπλήρου ἅπαντα καὶ φυλακῆς, Χαρατίνῃ χρώμενος ὑπη-
ρέτῃ τῷ πάντα ἀρίστῳ καὶ ἐς τὸ συλλαμβάνειν αὐτῷ καὶ
ὁτιοῦν ξυνεπιλαβέσθαι, καὶ ἐπιτηδείως ἔχοντι ἐς τὰ μάλι-
στα, καὶ οὐκ ὀλίγα ἐς τὴν ἀρχὴν αὐτῷ ποιησαμένῳ κατὰ
τὴν Εὐρώπην. ὑπηγάγετο μὲν οὖν τοσάδε ἔθνη καὶ ἡγεμόνας
τοὺς ἐν τῇ Εὐρώπῃ ἐς φόρων τε ἀπαγωγὴν καὶ συνεπομέ-
νους αὐτῷ ὅποι ἂν στρατεύοιτο. Ἑλλήνων βασιλεῖς εἶχέ οἱ V. 20
στρατευομένους. Ἐμμανουήλῳ δὲ ἠρέσκετο μάλιστα δὴ ξυμ-
πάντων Ἑλλήνων. εἶχε δὲ καὶ τῶν Μυσῶν βασιλέα, πρὸς δὲ
καὶ Δράγασιν τὸν Ζάρκου παῖδα καὶ Μπόγδανον τὸν τὴν Ῥο-
δόπην κατέχοντα καὶ ἄλλους τοὺς ἐν τῇ Εὐρώπῃ ἡγεμόνας
καὶ Τριβαλλῶν καὶ Ἑλλήνων καὶ Ἀλβανῶν. τούτων δὲ ἁπάν- B
των κατεστρατευμένων, καὶ τῶν ἐν τῇ Ἀσίᾳ ἡγεμόνων αὐτῷ
συνεπομένων ἐς τοὺς πολέμους ἤλαυνε δὲ τελευτῶν. ὡς μὲν
οὖν Ἕλληνες κατεστραμμένοι ἐδεδούλωντο Ἀμουράτῃ τῷ Ὀρ-
χάνεω, καὶ πρότερόν μοι δεδήλωται. καὶ νῦν δὲ τοσάδε ἂν
λέγοιτο ἐς ὑπόμνησιν ἱκανῶς.

Ἰωάννης γὰρ ἐπείτε κατέσχε τὴν βασιλείαν, συνελάσας

5. τῷ] τὰ ?   10. στρατεύοιντο P: corr H   11. δὲ P

negligat, ubicunque sua praesentia opus fuerit. talia cum inter se conferrent sermocinantes, pronuntiarunt sententias, quantum pertinere videtur ad res gerendas, nequaquam inutiles.

Amurates quocunque movisset exercitus, statim metus adversariis oboriebatur. hincque accurate loca sua muniebant. usus est opera Charatinis viri optimi, qui in omnibus quaecunque rex facere aggrediebatur, operam suam locavit indefessam, regique maxima necessitudine devinctus fuit. adiutus ab isto viro non modica fecit, quae tendebant ad subiugandum sibi Europae imperium. tot sibi subegit gentes, tot in Europa duces stipendium pendentes; praeterea Graecorum gentes, quae cogebantur, quocunque terrarum duxisset, Amuratem militantem subsequi. Emanuele prae omnibus Graecis plurimum delectabatur. in Amuratis potestatem devenit rex Mysiorum Drageses, Zarci filius, nec non Pogdanus, qui Rhodopen imperio tenebat. accessere in dicionem et alii Europaei duces, Triballorum videlicet, Graecorum et Albanorum. his omnibus imperio suo admotis, etiam Asianis ducibus stipatus, deinceps quoslibet bello lacessere statuit. Graeci quo pacto ex regno in servitutem ceciderint, iam ante explanavimus. praedicta nunc breviter in memoriam revocare iuvat.

Ioannes ad regni gubernacula evectus Cantacuzenum, antecesso-

*Καντακουζηνὸν τὸν πρόσθεν βασιλεύοντα Ἑλλήνων ἐς τὴν
Ναζηραίων δίαιταν, ἐνεώρα γε τὰ Τούρκων πράγματα ἐπὶ
μέγα χωροῦντα δυνάμεως, ἀπέπλευσεν ἐς Ἰταλίαν. καὶ πρῶ-*
C *τα μὲν ἐπὶ Ἑνετοὺς τραπόμενος, ἐπικουρίας μὲν οὐδέν τι
ἀξίας λόγου τυχών, ἐδανείσατο χρήματα, ἐν νῷ ἔχων ἐπὶ τὸν
Γαλατίας βασιλέα ἀπιέναι. ἀφίκετο μέντοι καὶ ἐπὶ τοὺς λοι-
ποὺς τῶν πρὸς ἑσπέραν ἡγεμόνας, δεόμενός τε ἐπικουρίας καὶ
ἀποπειρώμενος ὡς οἷόν τε μάλιστα αὐτῶν. παριὼν τε ἐπὶ
τῶν Κελτῶν βασιλέα κατέλαβε μὲν τὰ οἴκοι αὐτῷ διεφθο-
ρότα καὶ πάνυ δὲ ἔχοντα μοχθηρῶς, τυχεῖν οὐδενὸς ὧν
ἕνεκα ἀφίκετο ἐπὶ Ἰταλίας. ἐπανιὼν δὲ ἐπ' οἴκου, ὡς ἐγέ-
νετο κατὰ τοὺς Ἑνετούς, καὶ τὸ δάνειον οὐκ εἶχεν ἀπαι-
τούμενος ἀποδιδόναι ὃ ἐδανείσατο ἀπιὼν ἐπὶ Γαλατίαν, κατε-
σχέθη τε αὐτοῦ ὑπὸ Ἑνετῶν, οὐ μεθιεμένων αὐτὸν ἀποπλεῖν
οἴκαδε, ἄχρις ἂν μὴ ἐκτίσῃ τὸ χρέος τοῖς δανεισταῖς. ὁ δὲ*
D *ἐν ἀπορίᾳ γενόμενος, ἐπιπέμπων ἐς Βυζάντιον παρὰ Ἀνδρό-
νικον τὸν παῖδα αὐτοῦ ἐπιτετραμμένον τὴν βασιλείαν, ἠξίου
χρήματα ἐξευρόντα ἀπό τε τῶν ἱερῶν κειμηλίων καὶ ἄλλων
τῶν κατὰ τὴν ἀρχὴν πέμψαι οἱ ἱκανὰ ἀπολῦσαι αὐτόν, καὶ
μὴ περιιδεῖν αὐτὸν ἐν φυλακῇ ὄντα πάνυ πολὺν διατρίβειν
χρόνον. ὁ μὲν οὖν Ἀνδρόνικος ἐν ὀλιγωρίᾳ ἐποιεῖτο τὰ ἐπε-
σταλμένα αὐτῷ, οἷα περὶ τὴν βασιλείαν μαλακιζόμενος καὶ*

2. *τε?* 8. *αὐτῷ* P: corr H 10. *ὡς τυχεῖν?*

rem suum, Nazaraeum sive monachum fieri compulit. deinde cum animadverteret res Turcorum incredibili augeri successu, navigavit in Italiam. primo adiit Venetos, oraturus auxilium. ubi cum parum auxilii esset consecutus, accepta a foeneratoribus magna pecuniae vi decrevit ad Galliae abire regem. nec omisit reliquos Occidentis principes, quos omnes quam maxime solicitabat ad auxilium ferendum. cum venisset ad Gallorum regem, etiam huius res bello et seditione agitari cernit et admodum adversa uti fortuna. nec interim quicquam auxilii in Italia tulit. reditum maturans, cum venisset Venetias, non potuit usuras eius sortis exolvere quam a foeneratoribus mutuo acceperat. profecturus inde in Galatiam retentus est a Venetis, non sinentibus eum pedem usquam ferre, donec satisfecisset creditoribus. his rebus anxius misit Byzantium ad Andronicum filium, cui regnum commiserat, rogans ut pecuniam compararet tam ex ecclesiasticis quam ex reliquis regni thesauris; quam deinde ad se mitteret, ut se a creditoribus redimere posset: nec se negligeret iam longo tempore in carcere agentem. Andronicus his cognitis parum animum intendebat, cum nimis regno gauderet patremque despiceret. attamen ei

τῷ πατρὶ οὐ πάνυ τι ἀρεσκόμενος. ἐπιστέλλων ἔφασκε μήτε τοὺς Ἕλληνας ἐπιτρέπειν αὐτῷ χρῆσθαι τοῖς ἱεροῖς, μήτε αὐτὸν ἄλλοθέν ποθεν οἷόν τ' εἶναι χρήματα ἐξευρεῖν, ἐκέλευέ P. 26 τε ἄλλῃ τραπόμενον μὴ διαμέλλειν κήδεσθαι ἑαυτοῦ, ὅπως ἂν ἀπολύοιτο τοῦ χρέους. Ἐμμανουῆλος δὲ ὁ νεώτερος βασιλέως παῖς, πυνθανόμενος οἷ ἀνάγκης ἀφίκετο ὁ πατὴρ αὐτοῦ βασιλεὺς ὑπὸ Ἑνετῶν, εὑρὼν χρήματα καὶ πορισάμενος ὅσα ἠδύνατο, ὅτι τάχιστα ἐπέβη νηός, καὶ διαπλέων ἐς τὴν Ἑνετῶν πόλιν ἀφίκετο, τά τε χρήματα φέρων ἀπέδωκε τῷ πατρί, ὅσα ἐπορίσατο κατὰ τὴν Θέρμην, ἥν τινα ἐπετέτραπτο καὶ καταλέλειπτο ἐπιτροπεύειν. καὶ ἑαυτὸν δὲ ἄγων παρείχετο χρῆσθαι τῷ πατρί, ὅ τι ἂν βούλοιτο. καὶ τὸ ἀπὸ τοῦδε ᾠκειῶσθαι Ἐμμανουῆλον τῷ πατρὶ ἐς τὰ μάλιστα συνήθη B ὄντα, Ἀνδρόνικον δὲ ἀπεχθάνεσθαι τὸ ἐντεῦθεν μεγάλως· καὶ τὸ μέγα δὲ ἔχθος ἀρξάμενον ἀπὸ τούτου ξυμβῆναι ἀλλήλοις, τά τε ἄλλα σφίσι καὶ ἐς τὴν βασιλείαν διαφερομένοις. ὁ μὲν οὖν βασιλεὺς Ἑλλήνων, οἷς ἧκε φέρων χρήμασιν Ἐμμανουῆλος, τὰ χρέα τε ἀπελύετο πρὸς τοὺς Ἑνετούς, καὶ ἐπὶ Βυζάντιον ἐπανιὼν διεπρεσβεύετο. πρὸς βασιλέα Ἀμουράτη, πέμπων τόνδε τὸν παῖδα αὐτοῦ τὸν νεώτερον ἐπὶ τὰς θύρας V. 21 αὐτοῦ. ἠξίου τε αὐτὸν ὡς οἷόν τε μάλιστα θεραπεύειν καὶ συστρατεύεσθαι ὅποι ἂν κελεύοι, καὶ προσέχειν τε αὐτῷ τὴν

6. οἷ] οἵας P 22. προσεῖχον P

nuntiari iubet Graecos nolle concedere ut sacros thesauros diripiat; nec se aliunde tantam pecuniae vim corradere posse. proinde si se ipsum negligere nolit, alio se vertat ad pecuniam parandam, quo se liberare nexu possit. Emanuel filius regis iunior, cum audivisset in quantam necessitatem pater suus rex a Venetis esset adactus, collecta et exacta quam maxima pecuniae vi navem conscendit, summaque celeritate usus venit Venetias. pecuniam omnem, quam exegerat Thermae, cui urbi regendae praefectus erat, patri obtulit. praeterea se ipsum quoque patri tradidit, ut se pro arbitrio uteretur. hoc factum Emanuelem patri et carissimum et familiarissimum reddidit: at alterum filium, nempe Andronicum, incitatissimo exinde odio persequebatur. quod cum hinc originem sumpsisset, pertinacius inhaesit utrisque, dum inter se dissiderent, inter caetera etiam propter regnum. rex Graecorum ea pecunia, quam Emanuel advexerat, creditoribus Venetis satisfecit. reversusque Byzantium (1370) misit legationem ad regem Amuratem; praeterea filium suum in ianuis regis stipendia facere iussit. Amurates imperavit Ioanni ut se quam maxima fide coleret, nec suam militiam, quocunque bellum verteret, detrectaret. Ioannes diligenter animum intendit, ne deinceps quid

γνώμην, ὥστε φυλάττεσθαι ἐπιεικῶς μηδ' ὁτιοῦν ἐς τὸν βα-
C σιλέα τοῦ λοιποῦ ἐξαμαρτεῖν. ὕστερον μέντοι Θεόδωρον τὸν παῖδα αὐτοῦ ἐπιπέμπων ἐς Πελοπόννησον τελευτησάντων τῶν τοῦ Καντακουζηνοῦ παίδων ἐν τῇ Σπάρτῃ, ἐγένετο ἐν τῇ Θέρμῃ σὺν τῷ ἀδελφῷ Ἐμμανουήλῳ, καὶ αὐτόν τε τῆς Μακεδονίας καὶ Θετταλίας ἡγεμόνα. ἀφικόμενοι ἐς λόγους ἀπόστασιν ἐβουλεύοντο ἀπὸ Ἀμουράτεω βασιλέως, τὸν μὲν οἴχεσθαι ἀπιόντα ἐπὶ Βυζαντίου μεταπεμπομένου αὐτὸν τοῦ πατρὸς ἐπὶ τὴν βασιλείαν, τὸν δὲ εἰσελθεῖν ἐς τὴν Πελοπόννησον καὶ ἐπιτροπεύειν τὰ κατ' αὐτήν, ᾗ ἐδύνατο κράτιστα καὶ ᾗ ἐδόκει αὐτῷ ἕξειν ὡς ἀσφαλέστατα. ταῦτα μὲν οὖν ξυνηνέχθη πρὶν ἢ Ἀνδρόνικον τὸν παῖδα βασιλέως ἀφιστάμενον σὺν τῷ Ἀμουράτεω παιδὶ τῷ Σαουζῇ ἐξενέγκαι πόλε-
D μον ἄμφω τῷ Ἀμουράτῃ κατὰ ταῦτα. ὕστερον μέντοι καὶ τὰ ὑπὸ Ἐμμανουήλου ἐς νεωτερισμὸν πρασσόμενα ἀνάπυστα ἐγένετο βασιλεῖ, καὶ τήν τε Θέρμην καὶ τὰ ταύτης χωρία Χαρατίνης ἀφείλετο αὐτόν. καὶ ὕστερον ἀπαγορεύοντος τοῦ πατρὸς μὴ ἐπιβῆναι τῆς χώρας αὐτοῦ, καὶ δὴ καὶ ἐπὶ Λέσβον ἀφικόμενον περιδεῆ γενόμενον τὸν Λέσβου ἡγεμόνα προαγορεύειν ἀπαλλάττεσθαι ἐκ τῆς χώρας αὐτοῦ. κατασχεῖν τριήρῃ ἐς Τροίαν διαβάντα ἐς τὴν Ἀσίαν, καὶ μισθωσάμενον ἵππους ἀφικέσθαι ἐς Προῦσαν παρὰ βασιλέα Ἀμουράτην.

*1. ἐς om P 8. ἐπιόντα P: corr H 19. προσαγορεύειν P

delinqueret, quo incurreret in offensam regis. postea filium suum Theodorum misit in Peloponnesum, defunctis Cantacuzeni filiis; qui mansit apud Emanuelem fratrem suum, Thermae praefectum. cui cum in colloquium venisset Macedoniae et Thessaliae dux, defectionem consiliis habitis moliebantur ab rege Amurate. alter filius rediit Byzantium, accersitus a patre ad regnum. ipse autem ingressus Peloponnesum eius loca defendit quam optime. quae omnia ita munivit ut sibi videbantur quam maxime tuta futura. haec quae modo recensuimus, evenere priusquam Andronicus una cum Sauzo deficerent ab Amurate, amboque contra patres suos arma caperent. postmodum comperit Amurates etiam Emanuelem novarum rerum cupidum defectionem animo agitare; quem tandem Therma oppido suaque dignitate spoliavit Charatines. deinde cum pater edixisset ne Emanuel suam intraret regionem, maturata fuga venit in Lesbum. cuius adventus cum terrorem maximum iniecisset duci insulam gubernanti, sua regione Emanuelem excedere iussit. qui cum incidisset in triremem solventem Troiam, transvectus est in Asiam. ibi conductis mercede equis profectus est Prusam ad regem Amuratem.

Μετὰ δὲ ταῦτα ἐστρατεύετο ἐπὶ Τριβαλλοὺς καὶ ἐπὶ Ἐλεάζαρον τῶν Τριβαλλῶν ἡγεμόνα, πρός τε τοὺς Παίονας P. 27 τετραμμένον καὶ ἐξοτρύνοντα ἐκείνους στρατεύεσθαι ἐπ' αὐτόν. ὁ μὲν οὖν Ἐλεάζαρος ὡς ἐπύθετο Ἀμουράτην ἐπιέναι ἐπ' αὐτόν, παρεσκευάζετο στρατιὰν συναγείρων ᾗ ἐδύνατο μεγίστην, καὶ ᾗ ἐδύνατο κράτιστα ἀμυνόμενος. Ἐλεάζαρος δὲ θυγατέρας ἔχων ἐπὶ μὲν τῇ μιᾷ τούτων Σούσμανον τῶν Ὀδρυσῶν βασιλέα κηδεστὴν ἐποιήσατο, ἐπὶ δὲ τῇ ἑτέρᾳ Βοῦλκον τὸν τοῦ Βράγγου τοῦ Πλαδίκεω υἱόν, Καστορίας τε καὶ Ὀχρίδος τῆς ἐν Μακεδονίᾳ ἡγεμόνος. ἐπικτησάμενος δὲ μετὰ ταῦτα τὴν ἐν Μακεδονίᾳ χώραν Νικόλεω τοῦ ζουπάνου ἐπὶ τῇ τελευτῇ Οὐγγλεσί τε καὶ Κράλεω τῶν ἡγεμόνων, τό τε Πρίστινον καὶ Νήστεαν οὕτω καλουμένην χώραν ὑπαγόμενον B ἄχρι ποταμοῦ Ἰλλυριῶν, Σάβα δὲ τὰ νῦν καλουμένου, προεληλυθέναι. ἐπὶ τοῦτον ὡς ἐστρατεύετο Ἀμουράτης ὁ Ὀρχάνεω, κατέλαβε στρατοπεδευόμενον ἐν πεδίῳ Κοσόβῳ οὕτω καλουμένῳ τῆς Πριστίνου χώρας. καὶ ὡς ἐνταῦθα παρῆν, ἐς πόλεμον παρετάσσετο, ἔχων μεθ' ἑαυτοῦ καὶ τὼ παῖδε ἀμφοτέρω, Παιαζήτην τε καὶ Ἰαγούπην. τὸ δὲ ἐντεῦθεν Τοῦρκοι μὲν οὖν φασὶν Ἀμουράτην μαχεσάμενόν γε καὶ τρεψάμενον τοὺς περὶ Ἐλεάζαρον διώκειν ἀνὰ κράτος, διώκοντα καταλαβεῖν ἄνδρα Τριβαλλόν, καὶ ἐπικαταβάντα· τὸν δὲ ἐπιστρέψαντα

3. ἐξοτρύνοντας P: corr H 5. συνεγείρων P 21. καταβαλεῖν H

Tandem (1389) Amurates bellum Triballis intulit ipsorumque duci Eleazaro, qui ad Pannonios se contulerat, eosque incitabat ut contra Amuratem arma arriperent. Eleazarus ut rescivit Amuratem adversum sese cum exercitu pergere, contraxit copias quam potuit maximas, ut resisteret hosti adeunti quam acerrime. Elazarus cum haberet filias, una Susmano Odrysiorum sive Moldavorum regi in matrimonium collocata eum sibi generum paravit. alteram connubio iunxit Bulco Branci, qui fuit Pladicae filius, regenti Castoriam et Ochridem Macedoniae regionem, quam antea Nicolaus Zopani filius tenuerat. mortuis autem ducibus Unglese et Chrale, Pristinum et Nisteam, sic dictam regionem, subigens usque ad flumen quod Savum nominant progressus est. adversus hunc cum exercitum ductaret Amurates, missis exploratoribus cognovit eum insedisse cum exercitu campum cui Cosobo nomen erat. ibidem Amuratis contubernio militabant filii duo, Paiazites et Iagupes. Turci ferunt Amuratem ibi praeliantem Eleazarum fugam facere coegisse. quem cum insequeretur quam velocissime, incidit in virum Triballum, in quem arma vertit. hic cum foret pedes, conversus iaculo transfixit Amuratis prae-

πεζῇ ἀκοντίσαι κατὰ τοῦ στήθους, καὶ οὕτω ἀνελεῖν βασιλέα
C Ἀμουράτην. Ἕλληνες δὲ οὔ φασι μαχεσάμενον καὶ ἐπεξελ-
θόντα, ὡς ἐτρέψατο τοὺς ἐναντίους, ἀποθανεῖν, ἀλλ' ἐν τῇ
παρατάξει ἔτι μένοντος αὐτοῦ λέγουσιν ἄνδρα γενναιότατον
ἐθελῆσαι ἑκόντα ὑποστῆναι ἀγῶνα κάλλιστον δὴ τῶν πώποτε
γενομένων. τοὔνομα δὲ εἶναι τἀνδρὶ τῷδε Μηλοΐν. τοῦτον
δὴ τὸν Μηλοΐν φασίν, αἰτησάμενον ὅσα ἐβούλετό οἱ γενέσθαι
ὑπὸ Ἐλεαζάρου τοῦ ἡγεμόνος, ὡπλισμένον ἐλαύνειν σὺν τῷ
V.22 ἵππῳ ἐπὶ τὸ Ἀμουράτεω στρατόπεδον, ὡς ἂν αὐτομολοῦντα
ἀπὸ τῶν ἐναντίων. Ἀμουράτην δὲ λέγουσιν, ἐλπίζοντα αὐτο-
μολεῖν παρ' ἑαυτὸν τὸν ἄνδρα, κελεύειν ὑποχωρεῖν αὐτῷ ἐπι-
D τρέπειν, ὥστε ἐλθόντα ἐπειπεῖν ὅ τι ἂν βούλοιτο. γενομένου
δὲ ἀγχοῦ τῶν θυρῶν βασιλέως ᾗ ἔμενε, παραταξάμενος ἄρα-
σθαι τὸ δόρυ, καὶ ἐπιόντα ὁρμήσασθαι ὁρμὴν πασῶν δὴ
καλλίστην ὧν ἡμεῖς ἴσμεν, καὶ ἀνελόντα βασιλέα Ἀμουράτην
αὐτόν τε ἅμα αὐτοῦ ἀποθανεῖν γενναιότατα. Ἕλληνες μὲν
οὖν οὕτω λέγουσι γενέσθαι, Τοῦρκοι δὲ ἐπεξερχόμενον μετὰ
τὴν νίκην ἀποθανεῖν ὑπ' ἀνδρὸς Τριβαλλοῦ. ἐτελεύτησε δὲ
Ἀμουράτης ἐνταῦθα ἐν Κοσόβῳ. καὶ τὸ μὲν σῶμα αὐτοῦ
ἀπήγαγον ἐς Προύσην, ἐν ᾗ οἱ πρώην τάφοι τῶν Ὀτουμανί-
δων πλὴν Σουλαϊμάνεω ἀποκεκλήρωνται, τὰ δὲ ἐντόσθια
Ἀμουράτεω ἐν πεδίῳ τῷ Κοσόβῳ κείμενα ἐν τάφῳ αὐτοῦ
βασιλικῷ.

7. αἰτησόμενον P. 11. αὐτῷ καὶ ἐπ.? 12. ἐλθόντι RT

cordia; quo vulnere mortuus est. at Graeci a Turcis, quantum ad Amuratis mortem attinet, dissentiunt. aiunt enim eum non praeliantem nec hostes fugatos persequentem intercidisse: verum cum adhuc staret in acie, virum quendam generosissimum, nomine Miloen, voluisse certamen omnium quae unquam fuere pulcherrimum subire. hic, si sibi Eleazarus potestatem faceret eorum quae petiisset, pollicebatur se armatum profecturum ad Amuratem ut transfugam. Amurates cum illum ut transfugam ad se adventare crederet, iussit viro confestim cederent, quo quid vellet tuto eloqueretur. cum penetrasset quam proxime ad regis ianuas, offendit regem stantem in acie, ad praelium accinctum. hastam igitur accipiens aggreditur longe pulcherrimum, quod scimus, facinus. Amuratem enim regem interficit, nec non ipse ibidem fortiter inter hostes praelians occubuit. haec est Graecorum de obitu Amuratis sententia. at Turci aliter sentiunt, videlicet eum persequentem hostes, parta iam victoria, a viro Triballo esse peremptum. Amurates quidem mortem obiit, ut explanavimus, in Cosobo campo. huius corpus abduxerunt Prusam, ubi sepultura erat omnium regum Otomanidarum, praeterquam Sulaimanis. intestina autem regio more sepeliverunt in Cosobo campo.

Ἐτελεύτησε δὲ βασιλεύσας ἔτη ἑπτὰ καὶ πεντήκοντα, P. 28 ὑπ' ἀνδρὸς Τριβαλλοῦ, τελευτὴν οὐ κατὰ βασιλέα τοσαῦτα δὲ ἔτη διαπολεμοῦντα καὶ ἔργα μεγάλα ἀποδειξάμενον, ὃς τοὺς μεγάλους ἐν τῇ Ἀσίᾳ πολέμους καὶ ἐν τῇ Εὐρώπῃ διαπολεμήσας ἓξ καὶ τριάκοντα, ἐς τοσοῦτον αὐτῷ μετῆν τύχης τε ἅμα καὶ ἀρετῆς ὥστε μηδέποτε ἡττηθῆναι ἐν μάχῃ, δύναμιν δὲ καὶ χώραν ἀξιόχρεων ὑπαγόμενος, κατ' ἄμφω δὲ τὼ ἠπείρω, ἐς γῆρας ἤδη βαθὺ ἀφικόμενος μὴ μεθίεσθαι τῶν πολεμίων μάχης, ἀλλ' ἀεὶ λυττῶντι ἐοικέναι ἐπὶ τὴν μάχην, ἄπληστον δὲ αἱμάτων γενόμενον ἁπανταχῇ. ἦν δὲ αὐτῷ παῦλα τῶν πολεμίων ἡ τῶν κυνηγεσίων ἄγρα, μελέτη τε ἅμα B καὶ τριβή. καθῆστο δὲ οὐδαμῇ οὐδέποτε, ἀλλ' ὁπότε μὴ μάχοιτο, κυνηγῶν διετέλει. πλεῖστα δὲ ἐς τοῦτο τῶν πρὸ αὐτοῦ βασιλέων δόξαντος αὐτοῦ ἐνευδοκιμεῖν, σπουδήν τε ἅμα καὶ ταχυτῆτα ἐνδεικνύμενος οὐδαμῇ ἐλάσσονα ἐπὶ γήρως ἢ ἐπὶ νεότητος. ἦν δὲ πρὸ πολλῶν ἐπιφανῶν ἡγεμόνων τε καὶ βασιλέων, καὶ πάντῃ ἀοκνότατός τε καὶ σπουδαιότατος ἐς πάντα. πάντων δὲ ἐφαπτόμενος οὐδ' ὁτιοῦν παρίει ὑπόλοιπον τῶν πράττεσθαι δεομένων. καὶ ἐπὶ φόνον ἐλάσαι μέγιστον δὴ τῶν πρὸ αὐτοῦ βασιλέων ἀκοῇ παρειλήφαμεν, λόγου μέντοι ἐπιεικείᾳ χρώμενον ἐς τὰ μάλιστα προσφέρεσθαι τοῖς C τε ὑπὸ χεῖρα αὐτοῦ καὶ τοῖς ἡγεμόνων παισὶν ὡς μετριώ-

1. τριάκοντα H 3. τε?

Mortuus est, cum regno praefuisset annis quinquaginta septem, vitaeque exitum habuit interfectus a Triballo, non qui regem decebat talem, qui tot annis bella gessisset multaque et praeclara opera fecisset; praeterea qui magna bella in Europa Asiaque numero triginta septem confecisset, tali usus et virtute fortunaque ut in nullo victus succubuisset. adhaec magnam potentiam regionemque plurimam in utraque continente sibi paravit, cum ad multam iam processisset aetatem. nunquam cupidine rerum sed rabie trahebatur ad praelium, nec unquam cruore saturari potuit. quando otium ab hoste erat, venationi indulgebat. studiis et tranquillitati se nunquam dabat: verum cum nullus foret hostis, venationi incumbebat, cuius peritia antecessores suos longe excellebat. diligentiam et celeritatem in rebus gerendis non minorem senex quam iuvenis ostendebat. promptitudine et alacritate indefessa plurimos illustres duces et reges in rebus gerendis anteibat. omnia sic aggrediebatur, ut nihil eorum quae necessaria forent negligentibus omitteret. maiorem hominum caedem fecit quam omnes sui antecessores. subditos maxima regebat sermonum aequitate et comitate. ducum filiis conversabatur quam moderatissime. expeditissimus fuit ad honorandum et compel-

τατα. καὶ τιμῆσαι δὲ ἄνδρα ἕκαστον καὶ προσειπεῖν ἑτοιμότατος, καὶ τοὺς μεθ' ἑαυτοῦ ἐξοτρῦναι εἰς μάχην δεινότατος, χρῆσθαι τοῖς τε πράγμασι δεινὸς ἁπανταχῇ γενόμενος ἦν, ᾗ φασίν, ὁπότε ἴοιτο ἐπὶ μάχην, χαρίεις τε ἰδεῖν καὶ ἐπιεικέστατος εἰς τὸ διαλέγεσθαι. καὶ τὸν μὲν ὁτιοῦν ἐξαμαρτόντα ἐτιμωρεῖτο ἀφειδέστατα, καὶ προσδιαλέγεσθαι μετριώτατος. ἐμπεδοῦν λέγεται τὸν ὅρκον αὐτοῦ μάλιστα δὴ τῶν τοῦ γένους τούτου βασιλέων. καὶ πολλοὺς διὰ ταῦτα αὐτίκα ἴεσθαι ἐς αὐτὸν θαρροῦντας, μηδ' ὁτιοῦν οἰομένους πείσεσθαι
D χαλεπόν, πρὶν ἢ ἐς χεῖρας αὐτοῦ ἐλθόντας διαπειρᾶσθαι τῆς δυνάμεως αὐτοῦ. καὶ τόν γε μέγα φρονοῦντα καὶ αὐθαδέστερον αὐτῷ προσφερόμενον τῶν γε ἐς αὐτὸν ὁτιοῦν πεπλημμεληκότων μηκέτι χαίροντα ἀπαλλάττεσθαι. φοβερώτατον δὲ γενόμενον τοῖς ὑφ' αὐτῷ φιλεῖσθαι μάλιστα δὴ ἡγεμόνων ἐπυθόμεθα αὐτόν, ὥστε μηδὲ κακῶς οἴεσθαι ὡς ἦν ἐπὶ τόνδε τὸν ἄνδρα ἐστρατεύετο Τεμήρης ὁ βασιλεύς, μὴ ἂν οὕτω
V. 23 φαυλότατα θέσθαι τὸν πόλεμον, ἀλλ' ἢ μαχεσάμενον περιφανῶς μὴ περιγενόμενον τοῦ Τεμήρεω μὴ μέντοι μηδὲ ἡττη-
P. 29 θῆναι, ἑλομένῳ χώραν ἐς τὸ διαμαχέσασθαι καθ' ἣν ἂν μὴ ἡττῷντο ῥᾳδίως, ἢ μὴ μαχεσάμενον μεγάλα ἂν βλάψαι τὸν Τεμήρεω βασιλέως στρατὸν ἐπιιόμενον αὐτῷ καὶ ἐπιτιθέμενον, ᾗ αὐτῷ προχωροίη.

7. δὲ P   14. δὲ P

laudum virum quemlibet. maxima vi praeditus fuit ad cohortandos militum animos, si praelium ineundum fuerat. maxima erat eius in rebus gerendis vehementia, adeo ut semper, quando manus consererentur, ubique praesto esset. aspectu non torvus verum mitis erat, sermoneque blandissimus. peccanti nullam delictorum concedebat impunitatem, verum eum meritis subiiciebat poenis. sermonis erat parcissimus. confirmasse fertur prae reliquis generis sui regibus iusiurandum. hinc cum plurimi contra ipsum audacissime insurgerent, existimasse nihil periculi accepturos; quod tamen cognita eius potentia secus accidit. eum qui se magnifice efferebat et ob id contumacius resisteret, praeterea eum qui aliquid in ipsum deliquisset, nequaquam laetitia ebrium dimisit. cum foret suis vel maxime metuendus, attamen certum est eum plus favoris quam reliquos duces omnes apud suos obtinuisse. ne quis igitur persuadeat quod hic vir, si armis appetitus fuisset a Temire, pessime istud bellum administrasset. pugnasset etenim fortiter, et si non victor, non tamen victus isto ex praelio excessisset: pugnae enim locum elegisset opportunum, in quo non facile vinci potuisset. Temiris autem exercitum hostiliter accedentem, ut ferro, ubicunque occasio se dedisset, decerneret, gravissima clade affecisset.

Ὡς μὲν οὖν ἐτελεύτησεν Ἀμουράτης ὁ Ὀρχάνεω, αὐτίκα οἱ ἐν ταῖς θύραις ὄντες τοῦ Ἀμουράτεω ἁρμοσταὶ Παιαζήτην τὸν νεώτερον αὐτοῦ παῖδα κατεστήσαντο βασιλέα.

Defuncto Amurate, Orchanis filio, regii satrapae, qui Ianuis praeerant, Paiaziten, Amuratis filium iuniorem, in imperio magno consensu collocant.

ΛΑΟΝΙΚΟΥ ΧΑΛΚΟΚΟΝΔΥΛΟΥ
ΑΘΗΝΑΙΟΥ
ΑΠΟΔΕΙΞΙΣ ΙΣΤΟΡΙΩΝ ΔΕΥΤΕΡΑ.

LAONICI CHALCOCONDYLAE
ATHENIENSIS
HISTORIARUM
DE ORIGINE AC REBUS GESTIS TURCORUM
LIBER SECUNDUS.

P. 30 Ἐπειδὴ δὲ ἐτελεύτησεν Ἀμουράτης ὁ Ὀρχάνεω ὑπ' ἀνδρὸς
V. 24 Τριβαλλοῦ, αὐτίκα οἱ ἐν ταῖς θύραις ὄντες τοῦ Ἀμουράτεω
1389 ἁρμοσταὶ Παιαζήτην τὸν νεώτερον αὐτοῦ παῖδα ἐστήσαντο
βασιλέα. ὁ δὲ αὐτίκα, ὡς ἔσχε τὴν βασιλείαν, μεταπεμπτὸν Ἰαγούπην τὸν ἀδελφὸν αὐτοῦ ἐποιήσατο ὡς ὑπὸ τοῦ πατρὸς καλούμενον τοῦ Ἀμουράτεω ἐπὶ τὰς βασιλείους θύρας, φοιτῶντα καὶ πρόσθεν ὁπότε καλοῖτο. οὐδ' ὁτιοῦν δὲ τῶν πραχθέντων ἐπιστάμενος ἀφίκετο καλούμενος ὑπ' αὐτοῦ, καὶ ὡς

Postquam mortem obiit Amurates Orchanis filius, peremptus a viro Triballo, statim satrapae, qui regebant ianuas regis, Paiaziten Amuratis filium iuniorem pronuntiant regem. hic ubi primum in regno est positus, accersivit Iagupen (nostri Soleimannum vocant) fratrem, quasi vocaretur a patre Amurate; ad quem quocunque tempore vocabatur, promptissime ad ianuas (sic aulam Turci vocant) accedere consueverat. rerum itaque omnium quae parabantur ignarus in ia-

ἐγένετο παρ' αὐτῷ, συνελήφθη καὶ ἐτελεύτησε. καὶ ἐχρήσατο ᾗ νομίζεται τοῖς τοῦ γένους τοῦδε βασιλεῦσιν ἐς τοὺς ἀδελ- P. 31 φοὺς ποιεῖν, ὡς ἀγχόνῃ δέοι τελευτᾶν τὸν βίον ὑπ' αὐτοῦ, καὶ οὐ σιδήρῳ νενόμισται.

Ὡς μὲν οὖν τῷ βασιλεῖ τῷδε ἐξείργαστο τὰ ἐς τὸν ἀδελφὸν καὶ ἐβασίλευε, παρετάξατό τε αὐτίκα ἐς μάχην, καὶ συμβαλὼν ἐτρέψατό τε τοὺς Τριβαλλούς. καὶ ἐν τῇδε τῇ μάχῃ πολλά τε ἀπεγένετο τοῦ στρατεύματος. ὡς γὰρ οἱ Τοῦρκοι ἐτρέψαντο, ἐπεξῆλθον διώκοντες ἀνὰ κράτος, καὶ διέφθειρον τοὺς Τριβαλλούς, ἱππεύειν τε ὄντες ἐκείνων ἀμείνους καὶ ἵππους πολὺ βελτίους ἔχοντες, ὥστε καταλαμβάνειν τοὺς φεύγοντας. ᾗ μὲν οὖν ὑπ' Ἑλλήνων λέγεται, ταύτῃ ἐγένετο· ὡς δὲ αὐτοὶ Τοῦρκοι φασίν, οὐ Παιαζήτεω γενέσθαι τὴν νίκην B τήνδε, ἀλλ' ἀπὸ Ἀμουράτεω τήν τε μάχην γενέσθαι καὶ νίκην ἐκείνου, καὶ Ἐλεάζαρον τὸν ἡγεμόνα [ἐκείνου] ὑπ' ἐκείνῳ στρατηγοῦντι ἀποθανεῖν ἐν τῇ μάχῃ. Τοῦρκοι μὲν δὴ οὕτω λέγουσι γενέσθαι, οὐκ ἔχω δὲ συμβαλέσθαι ὡς ἐν τῇ παρατάξει ἐν βραχεῖ τινὶ χρόνῳ τόν τε ἀδελφὸν ἀνεῖλε καὶ ἐς μάχην καθίστατο αὐτίκα, ἀλλ' οὐδὲ ὡς ἀράμενος τὸ δόρυ ἕλοι τε ἐπὶ τὸν βασιλέα καὶ ἐξίει διαχρήσασθαι μηδενὸς αὐ-

1. αὐτῶν P: corr H   3. δέ οἱ T

nuas vocatus venire haud supersedit. venienti Paiazites manus violentas iniici atque necari iubet fratrem. at interfectus est secundum eum morem quem Turcorum reges in trucidandis fratribus observare solent. haud enim ferro obtruncatus, verum laqueo praefocatus est, quemadmodum tenet regum illorum consuetudo.

Rex cum in hunc modum fratrem perdidisset regnumque sibi stabilivisset, illico copias in aciem eduxit, commissoque praelio Triballos in fugam coniecit. isto in praelio quam longissime ab exercitu in hostes evectus est. Turci enim fugatis hostibus insecuti sunt fortissime, Triballosque, quos equitandi peritia antecedebant, neci dederunt. nam equi Turcorum multo praestantiores erant equis Triballorum: proinde fugientes facile indipiscebantur. si Graecis fides habenda est, dicemus ea quae modo tradidimus, isto pacto contigisse. Turcorum autem alia super his est sententia. nam perhibent istam victoriam non adscribendam esse Paiaziti, verum Amurati, cuius ductu praelium istud sit factum; eademque victoria evenerit, cum ipse Eleazarum Triballorum ducem in ea pugna trucidaverit. Turci in hunc modum, quantum ad istud praelium attinet, sentiunt. at ego coniecturam facere nequeo, quomodo in acie, brevi admodum tempore interiecto, fratrem necaverit, et deinde in praelium illico redierit. praeterea dubito quomodo Triballus arripuerit hastam regemque nisus sit perdere,

τῷ ἐμποδὼν γενομένου. ἀλλὰ ταῦτα μὲν ἴτω ὅπῃ ἑκάστῳ
C προσφιλὲς ἡγεῖσθαι περὶ αὐτῶν· ἐπεὶ δὲ Παιαζήτης παρέ-
V.25 λαβε τὴν βασιλείαν, καὶ τῇ ἐς τοὺς ἐναντίους νίκῃ ἐχρήσατο
περιφανεῖ, πολλῶν τε καὶ αὐτοῦ ἀποθανόντων ἐν τῇ μάχῃ
καὶ τελευτήσαντος τοῦ ἡγεμόνος, ἐπέδραμέ τε σύμπασαν τὴν
Τριβαλλῶν χώραν. καὶ ἀνδράποδα ὡς πλεῖστα ὑφ' αὑτῷ ποιη-
σάμενος, καθίστησι τὰ ἐν τῇ ἀρχῇ αὑτῷ ᾗ ᾤετο ξυνοίσεσθαι
ἐπὶ τὸ ἄμεινον, καὶ Ἕλλησι σπονδὰς ἐποιήσατο. καὶ τοῖς
περὶ Μακεδονίαν ἡγεμόσιν εἰρήνην ποιησάμενος τὴν Σκοπίων
ᾤκισε πόλιν, παμπόλλους τῶν Τούρκων ἀπό τε τῆς Εὐρώπης
καὶ ἀπὸ τῆς Ἀσίας ἀγαγὼν σὺν γυναιξί τε ἅμα καὶ παισί.
D ταῦτα δὲ ἐποίει, ὡς ἔχοι ἀπὸ ταύτης ὁρμώμενος ἄγειν καὶ
φέρειν τὰ Ἰλλυριῶν πράγματα. ἐπέδραμε μὲν οὖν καὶ τὴν
Ἰλλυριῶν χώραν, καὶ πολίσματα ἅττα ἑλὼν ἠνδραποδίσατο,
καὶ τήν τε Ἀλβανῶν χώραν ἐπιπέμψας στράτευμα ἐληΐζετο
ἔστε ἐπὶ τὴν ἐς τὸ Ἰόνιον παράλιον χώραν, καὶ τὴν περὶ
Ἐπίδαμνον.

Καὶ Ἕλληνες μὲν αὐτῷ ἐφείποντο στρατευόμενοι ἅμα
ὅπῃ ἂν ἐλάυνοι, ὅ τε Ἰωάννου τοῦ βασιλέως Ἑλλήνων παῖς
Ἐμμανουῆλος, καὶ Ἀνδρονίκου τοῦ πρεσβυτέρου παῖς Ἰωάν-
νης. τούτους γὰρ ὡς τῷ ὀφθαλμῷ ὄξει ζέοντι περιέχει, πα-
P.32 ρείχετο αὐτοῖς τὴν δίαιταν ἀμφοῖν. οὗτοι δ' ὡς ἔγνωσαν

1. γενομένῳ P: corr H 12. ἔχοιεν P 13. ἀπέδραμε P: corr H

nullo prohibente. verum cuilibet suum sit hac de re liberum iudicium. postquam Paiazites regni gubernacula suscepit, victoriamque illustrem devictis hostibus est adeptus, nec paucis interim suorum amissis insuper Triballorum ducem in acie peremit, non socordiae se corrumpendum dedit, verum praedabundus universam peragravit Triballorum regionem. captisque mancipiis plurimis regno suo eam formam induxit, quae sibi optima et commodissima videbatur. Graecos sibi foedere iunxit. pace cum Macedoniae ducibus inita, in Scopiorum urbem coloniam duxit, deductis eo plurimis ab Europa Asiaque Turcis cum uxoribus et liberis. hoc autem ideo facere aggressus est, ut hinc profectus res Illyricorum agere et ferre tuto posset. incursionem fecit in Illyriorum regionem, captaque oppidula penitus diripuit. exercitum misit in Albanorum regionem maritimam versus Ionium et Epidamno finitimam, praedasque ex ea egit.

Graeci sequebantur armati, quocunque exercitum ipse movisset, excepto Emanuele Ioannis Graecorum regis filio, necnon Ioanne senioris Andronici filio. his enim cum fervent aceto eorum oculos eruisset, domi victum praebuit Byzantius rex. qui cum cognovissent

ὁρῶντες ἐπὶ σφίσιν αὐτοῖς, καὶ ὅτι τῶν ὀφθαλμῶν ἐπὶ τὸ ἄμεινον διακέοιτο χρόνου ἐπιγενομένου σφίσι, τῇ τε γυναικὶ καὶ ἀλλήλοις ἐς λόγους ἀφικόμενοι, καὶ τινων ἄλλων ἐς τὴν ἐσήγησιν ταύτην ἐξηγουμένων καὶ συνεπιλαβομένων, ἀπέδρασαν ἐς τὴν καταντικρὺ Βυζαντίου πόλιν Γαλατᾶ τῶν Ἰανουΐων. ἐντεῦθεν δὲ ἀφίκοντο παρὰ βασιλέα Παιαζήτην, καὶ ἀφικόμενοι ἠξίουν σφίσιν ἐπικουρίαν δοθῆναι ὡς ἐπὶ τὴν ἑαυτῶν πόλιν ἐλαύνειν, καὶ ἐδέοντο κατάγειν σφᾶς. ἔλεγε δ' ἐς ὄψιν τῷ βασιλεῖ ἀφικόμενος τοιάδε "ἐμοὶ μὲν οὖν, βασιλεῦ, συμφορᾷ πεπληγμένῳ τοιᾷδε, τύχῃ τῇ ἀμείνονι ἐπιτρέψας ἐμαυτὸν καὶ θεῷ τῷ πάντα ἐφορῶντι, βέλτιον ἔχω ἐμαυ- B τοῦ, καί μοι χάριν ὁ δαίμων κατέθετο οὐκ ἀηδῆ· ὁρᾶν γὰρ ἤδη ἐμοὶ κατέλιπε βραχὺ πάμπαν τῆς ὄψεως ἀφελόμενος, τήν τε βασιλείαν ὑπισχνεῖται, καὶ τὴν βασιλείαν ἀνήκουσαν ἐμοὶ θέμις ἀποδιδόναι. ταύτην δὲ τὴν βασιλείαν ἡμῶν, ἢν ἐμοὶ πείθῃ, ἕξεις τοῦ λοιποῦ χρῆσθαι ὅπως ἂν σοι δοκοίη, ἢν ἐμοὶ ταύτην ἀποδεδωκὼς ἔσῃ, ἢν ἱππέας τετρακισχιλίους μάλιστα παρεχόμενος ἕπεσθαί μοι ἐπὶ μῆνας δύο κελεύῃς. εἰσὶ δὲ παρ' ἡμῖν σχεδὸν οἱ τοῦ ἄστεος γένει τε καὶ πλούτῳ προφέροντες, καὶ τούτων οὐκ ὀλίγοι εἵποντο ἄν μοι ἐνθάδε, εἰ μὴ εἰδείην ἐν τῷ ἄστει ἐμοὶ τυγχάνειν ὄντας καὶ ἐμοὶ τιμωροῦντας, ἐφ' ὅ τι ἂν γνοίην ἡμῖν ἐπιτήδειον ἔσεσθαι. φόρον δὲ C

2. διακέοιντο? 20. ἐνθένδε P: corr H 21. τιμωροῦντα P: corr H 22. γνοῖεν?

tandem oculos melius habere, colloquentes inter sese, et cum uxore adiutantibus et aliis gnaviter, aufugerunt in Galatiae urbem, quae Pera dicitur, e regione Byzantii sitam. hinc perrexerunt ad regem Paiazitem, orantes auxilium, quo muniti in suam possent redire urbem avitumque recuperare regnum. at cum in conspectum regis venisset, ferunt eum talem exorsum esse orationem. "me quidem, o rex, tam gravi calamitate perculsum cum meliori fortunae deoque, qui omnia videt, commendarim, melius nunc quam fortunae meae patiantur habeo. praeterea deus gratiam mihi rettulit haud iniucundam. nam cum visum mihi totum pene ademerit, reliquit tamen ut parum cernam, pollicetur que regnum. fasque est ut regnum quod iure ad me pertinet, mihi restituatur. hoc autem regnum nostrum, si me audieris, in posterum experiere ad omnia tibi obsequentissimum, si tua ope adiutus id recepero. id eveniet, si mihi dederis equites quater mille, eosque me sequi iusseris mensibus duobus. stant autem a partibus nostris ii qui in urbe genere divitiis praestant. horum non pauci me comitarentur, nisi scirem eos in urbe mea negotia procurare, meque tandem adiuturos in quacunque re

τῷ σῷ οἴκῳ πολλαπλάσιον ὑπισχνοῦμαι ἀπάγειν ἔτους ἑκά-
στου, καὶ ἁρμοστὴν ἔχειν ἐν τῇ πόλει." βασιλεὺς δὲ ἀμεί-
βετο τοῖσδε "ἐμοί τε οὖν, ἐπεί τε ἐπυθόμην ὡς ὁρᾶν ἤδη σοι
καταλέλειπται, ἡδομένῳ τέ μοι ὁ λόγος ἐγένετο, καὶ χάριν
οἶδα τῷ θνητῶν τε καὶ ἀθανάτων δημιουργῷ τήνδε σοι τὴν
χάριν καταθεμένῳ· ἥκεις δὲ ἐπὶ ἄνδρας σοι προσφιλεῖς, καὶ
ἀμυνοῦντάς σοι εἰς ὅσον ἂν ἐξῇ διαπράξασθαι, ἐφ' ὅ τί περ
ἦσθα ἀγωνιζόμενος. τίσομαι δὲ βασιλέα τὸν σὸν πατέρα
οὕτως ὥστε μηδέποτε ἐσαῦθις βουλεύεσθαι περὶ ἐμὲ νεώτερα
πράγματα. ἴθι δὲ τούτους λαβὼν οὓς σὺ ἔφησθα, χώρει δὲ ἐπὶ
D τὴν πόλιν πράσσων ὅπως ὡς βέλτιστα ἔσοιτό σοι καταγομένῳ
ἐπὶ τὴν πατρίδα." ὁ μὲν ταῦτα εἰπὼν ἑτοίμους παρείχετο
τοὺς ἱππέας, Ἀνδρόνικος δὲ τούτους λαβὼν ἤλαυνεν ἐπὶ Βυ-
V.26 ζάντιον. Ἰωάννης δὲ καὶ Ἐμμανουῆλος ὁ παῖς αὐτοῦ, ὡς
ἐπύθοντο τάχιστα Ἀνδρόνικον σὺν τῷ παιδὶ αὐτοῦ ἐλαύνοντα
ἐπὶ σφᾶς, ἐσῆλθόν τε ἐς τὴν τῆς Χρύσεας οὕτω καλουμένην
ἀκρόπολιν, καὶ παρεσκευάζοντο ὡς πολιορκησόμενοι. Ἀνδρό-
νικος μὲν οὖν ἐλάσας ἐπολιόρκει, μετὰ δὲ ταῦτα ὁμολογίᾳ
χρησάμενος εἷλε τὴν ἀκρόπολιν, εἴς τι κλώβιον ἐμβαλλομένω
μετέωρον, καὶ καθεῖρξεν ἄμφω ἐς πύργον τε, καὶ εἱρκτὴν
βραχεῖαν συνελάσας ξυλίνην πεποιημένην ἐντὸς τοῦ πύργου,
P.33 καὶ τήντε βασιλείαν κατέσχε, τόν τε πατέρα καὶ ἀδελφὸν ἔχων

19. ἐμβαλλομένου RT: corr H, qui haec εἴς τι κλ. ἐμβ. μετέωρον post πύργον ponit, omisso τε

ipsorum auxilio opus habuero. promitto etiam me tibi quotannis daturum tributum maximum: habebo praeterea in urbe iudicem sive praefectum Turcum." rex his auditis respondit "mihi quidem, ut accepi tibi adhuc vim visivam superesse, sermo tuus fuit multo gratissimus. gratiasque ago mortalium et immortalium conditori, qui istud tibi beneficium praestitit. venisti autem ad viros tibi amicos et auxiliares, qui se tibi dabunt promptissime, quodcunque occeperis bellum. ulciscar tamen regem patrem tuum, ut deinceps nunquam contra me res novas moliatur. tu igitur, his quos petiisti assumptis, flecte iter ad urbem; eaque agito quae iudicaveris tibi vel in primis utilia fore, ut in patriam reducaris." rex his dictis confestim, quos flagitaverat, equites instructos dedit; quibus acceptis Andronicus se contulit Byzantium. Ioannes et filius Emanuel, cum esset nuntiatum Andronicum cum filio suo magna manu adventare, ingressi sunt Aureae (sic appellatam) arcem, ibique obsidionem tolerare parabant. Andronicus adveniens urbem obsidione circundat. postea arcem pactionibus in deditionem accepit, ambosque inclusit in carcere ligneo et angusto, quem intra turrim aedificarat; regnumque occupavit, ha-

ἐν φυλακῇ. βασιλεύσας δὲ ἀπέδειξε καὶ τὸν παῖδα αὐτοῦ Ἰωάννην βασιλέα τοῖς Ἕλλησι. κατεῖχε μὲν οὖν ἐπὶ ἔτη τρία ἐς τὴν εἱρκτὴν τήνδε, καὶ ἀνελεῖν οὐκ ἤθελε παραινοῦντος ἐς τοῦτο αὐτῷ συνεχῶς Παιαζήτεω. τῷ δὲ τετάρτῳ ἔτει ἀναπείσαντες ὑπηρέτην, ὃς αὐτοῖς τε προσήει καὶ τὰ ἀμφὶ τὴν τροφὴν ἐκόμιζεν ἐς τὴν εἱρκτήν, ἐπιδοῦναι σφίσι σίδηρον· καὶ κατὰ βραχὺ καταλῦσαί τε αὐτοὺς λέγεται τὴν εἱρκτήν, καὶ ἀποδράντας ἀφικέσθαι παρὰ βασιλέα Παιαζήτην. ὑπισχνουμένους δὲ φόρον ἀπάγειν καὶ στρατιὰν ὅσην ἂν ἐπιτάτ- B τοι σφίσιν αὐτοῖς, ἐπιπέμψας ἄγγελον ἐς τὸ Βυζάντιον ἐπήρετο τοὺς Βυζαντίους καὶ τὴν γνώμην αὐτῶν, τίνα βούλοιντο σφίσι βασιλέα γενέσθαι, Ἐμμανουῆλον ἢ βασιλέα Παιαζήτην· διεπειρᾶτο γὰρ ταύτῃ καὶ περὶ ἑαυτοῦ τῆς γνώμης τῶν Βυζαντίων. οἱ δὲ Βυζάντιοι αἱροῦντο Ἐμμανουῆλον, ἅτε ἀχθόμενοι ἤδη τῇ Ἀνδρονίκου ἀρχῇ. ἐνταῦθα ἐρίζοντε ἄμφω τῶν Ἑλλήνων βασιλέε περὶ τῆς Βυζαντίου βασιλείας, ἐτάξατο φόρον ἀπάγειν ὁ Ἐμμανουῆλος ἐς τρισμυρίους χρυσίνους, καὶ ἑαυτὸν ἄγοντα ἐπὶ στρατιὰν ἕπεσθαι συστρατευόμενον, καὶ οὕτω δὲ παραλαβεῖν ὑπὸ Παιαζήτεω τὴν Βυζαντίου βασιλείαν, καὶ ἐς θύρας φοιτῶντα τόν τε φόρον οἱ ἐτά- C ξατο καὶ τὸν στρατὸν ἀπάγειν ἑκάστου ἔτους, ὡς ἔαρ ὑπέφαινεν. Ἀνδρόνικος μὲν οὖν καὶ Ἰωάννης ὁ παῖς αὐτοῦ ἐν

20. οἱ] ὃν H

bens patrem et fratrem in carcere. cum autem administraret regnum, filium suum Ioannem Graecis regem destinavit. illos vero annis tribus in carcere tenuit, nec tamen obtruncare voluit, quamvis ad id incitaretur a Paiazite. anno autem quarto persuaserunt carceris praefecto, qui alimenta ipsis ministrabat, ut subiiceret ferrum. quo facto dissoluerunt carcerem, et aufugientes festinarunt ad regem Paiazitem, promittentes se tributum maximum pensuros, daturosque milites quotquot imperasset. misso nuntio Byzantium explorabat Byzantiorum animos, quemnam sibi regem dari, Emanuelem an Paiazitem, vellent. hac ratione pulchre expiscabatur ut Byzantii etiam erga se animati forent. at Byzantii elegerunt Emanuelem, iam fastidientes Andronici imperium. exorta est igitur contentio inter ambos reges super Byzantii regno. Emanuel promittebat se tributum quod contineret tres myriades aureorum, numeraturum quotannis; addebatque se profecturum cum illo in militiam quocunque exercitus duxisset. his condicionibus, quas modo commemoravimus, Byzantii regnum a Paiazite accepit, videlicet ut in ianuas profectus tributum, quod imperasset, solveret, militesque semper quot iussisset, vere appetente

ταῖς θύραις διατρίβοντες δίαιταν εἶχον παρὰ βασιλέως, Ἐμμανουῆλος δὲ ἐβασίλευε.

1391 Παιαζήτης δὲ ὁ Ἀμουράτεω, ἔχων μεθ' ἑαυτοῦ τοὺς Ἑλλήνων βασιλεῖς ἐνάγοντας ἐς τοῦτο, ἐστρατεύετο ἐπὶ Φιλαδέλφειαν πόλιν Ἑλληνίδα. ἐριζόντων γὰρ τῶν βασιλέων Βυζαντίου ᾐτεῖτο αὐτοὺς καὶ Φιλαδέλφειαν, οἱ δὲ ἔφασαν ἀποδοῦναι. ὡς δὲ ἄγγελον ἐπιπέμποντος τοῦ βασιλέως Ἐμμανουήλου, ὅπως τοῦ λοιποῦ παραδόντες σφᾶς τῷ Παιαζήτῃ δέχοιντο ἄρχοντα καὶ ἁρμοστὴν Τοῦρκον, οὐκ ἔφασαν ἑκόν- D τας εἶναι καταπροδοῦναι σφᾶς τῷ βαρβάρῳ, καὶ τὸ ἐντεῦθεν ἐπολιόρκει Φιλαδέλφειαν Παιαζήτης, ἔχων καὶ τοὺς Ἑλλήνων βασιλεῖς. οἱ δὲ ἀριστεῦσαί τε αὐτοῦ λέγονται, καὶ ἀναβάντες οὗτοι πρῶτον εἷλον τὴν πόλιν. οὕτω μὲν οὖν ἑάλω Φιλαδέλφεια ἡ τῆς Λυδίας πόλις εὐνομουμένη Ἑλληνίς.

Μετὰ δὲ ταῦτα Παιαζήτης ἤλαυνεν ἐπὶ Σκενδέρεα τὸν τῶν Ἀρμενίων βασιλέα, καὶ ἐπὶ Ἐρτζικὰν πόλιν, τὰ τῶν Ἀρμενίων βασίλεια, καὶ ἐπὶ Λάμαχαν πολίχνιον λεγομένην. λέγεται δὲ οὗτος ὁ Σκενδέρης τῶν βαρβάρων πολλῷ τῶν κατὰ P. 34 τὴν Ἀσίαν ἀνδρειότατος καὶ τὰ ἐς πόλεμον τόλμῃ τε καὶ ῥώμῃ σώματος γενέσθαι οὐδενὸς δεύτερον, ὡς ἐπιόντων ποτὲ αὐτῷ τῶν Ἀσσυρίων πολλάκις ἔργα ἀποδείξασθαι ἄξια λό-

9. ἑκόντες? 17. λεγόμενον H

adduceret. Andronicus et filius eius Ioannes, morantes in ianuis, victum apud regem habuere. Emanuel regno praefuit.

Paiazites Amuratis filius habens secum Graecorum reges, qui ad id eum usque incitabant, arma contra Philadelphiam urbem Graecam vibravit. contendentibus namque inter se Byzantii regibus, petebat rex Paiazites sibi dari Philadelphiam. qui se id facturos promiserunt. cum autem Emanuel misisset praeconem, qui nuntiaret Philadelphiae civibus ut se urbemque dederent Paiaziti, acciperentque cum iudicem tum praefectum Turcum, responderunt se neutiquam paratos esse ut se ipsi proderent barbaro. quo responso irritatus Paiazites urbem exercitibus circumsedit, ducens secum ad id bellum Graecorum reges, qui ibidem virtutis praemia sunt consecuti: primi etenim conscendentes murum urbem cepere. et in hunc modum capta est Philadelphia, urbs Lydiae Graeca, legibus optimis quae fuit fundata.

Postea bellum intulit Paiazites Scenderi Armeniorum regi. praeterea Ertzicam, Armeniorum regni sedem, et Lamacham, sic appellatum oppidulum, bello petiit. Scenderem hunc tradunt barbarorum Asiam incolentium fuisse multo fortissimum, nec ullo mortalium extitisse rei militaris scientia corporisque robore et audacia inferiorem.

γου, τρεψάμενος τοὺς ἐναντίους σὺν ὀλίγοις τοῖς ἀμφ' αὐτόν. τοῦτον δὲ τὸν Σκενδέρεα, ὡς ἀπήχθετο τῇ ἑαυτοῦ γυναικί, V. 27
συλλαβοῦσα αὐτὸν σὺν τῷ παιδὶ διαχρήσασθαι καὶ τὴν βασιλείαν κατέχειν. ἐπὶ τοῦτον δὴ Παιαζήτης ἐλάσας τήν τε Ἐρτζικὰν πόλιν πολιορκῶν παρεστήσατο καὶ τὸν παῖδα Σκενδέρεω εἶχεν ἐν φυλακῇ. μετὰ δὲ ταῦτα τούς τε Τζαπνίδας καταστρεψάμενος, οἳ κατέχουσι τὰ τῆς Κολχίδος ἐπὶ Ἄμαστριν πόλιν καθήκοντα, ἤλαυνεν ἐπὶ Καραιλούκην τὸν Λεύκαμνα Σαμαχίης ἡγεμόνα, καὶ ἐπεξελθόντα σὺν τῇ ἑαυτοῦ B
στρατιᾷ μάχῃ ἐκράτησε, καὶ ἐπολιόρκει Σαμαχίην πόλιν. καὶ ὡς οὐδὲν προεχώρει ἡ τῆς πόλεως αἵρεσις, ἀπεχώρησεν ἀπαγαγὼν τὸν στρατόν, καὶ ἐπανέστησεν ἐπ' οἴκου. μετὰ δὲ ταῦτα ἐλαύνων ἐπὶ τοὺς ἐν τῇ Ἀσίᾳ λοιποὺς ἡγεμόνας, τόν τε Αἰδίνην Σαρχάνην Μενδεσίαν Τεκόην καὶ Μετίνην, τήν τε ἀρχὴν αὐτῶν ἀφείλετο, καὶ ἐκβαλὼν αὐτοὺς τὴν χώραν ὑφ' αὑτῷ ποιησάμενος εἶχεν. οὗτοι δὲ ὡς ἀπελήλαντο τῆς σφῶν χώρας, ἀνέβησαν παρὰ βασιλέα Τεμήρην ἐς Σοῦσαν. ὡς μὲν οὖν ἀναβάντες οὗτοι ἐς ὄψιν ἦλθον τῷ βασιλεῖ, ὕστερόν μοι δεδήλωται. πλὴν γὰρ Καραμάνου τοῦ Ἀλοσουρίου C
ἐπίκλην καὶ Τουργούτεω τοῦ τῆς Φρυγίας ἄρχοντος, οἳ καὶ ἐπιγαμίας αὐτῷ ποιησάμενοι εἰρήνην ἦγον, οἱ λοιποὶ τῶν ἡγεμόνων ἐστερημένοι τῆς ἀρχῆς ἀνέβησαν ἐς Σαμαρχάνδην τὰ

9. Σαμαχιὴλ P   11. ἀνεχώρησεν H

itaque cum quondam ab Assyriis bello lacesseretur, plerumque praeclara militaris virtutis facinora perpetravit, hostesque semper pauca manu fudit. hunc Scenderem cum filio uxor, quam odio prosequebatur, comprehensum interemit, ipsaque ad regni gubernacula evasit. contra Scenderem igitur Paiazites arma movens Ertzicam expugnavit, filiumque Scenderis vinctum in custodiam dedit. postea cum Tzapnidas domuisset, qui Colchidis loca usque ad Amastrum urbem tenent, bellum contra Carailucem et Leucamnam, Samachiae ducem, vertit; quem obviam procedentem cum exercitu praelio vicit, Samachiamque urbem oppugnare coepit. urbis autem istius oppugnatio cum parum succederet, abductis copiis domum reversus est. hinc bellum indixit reliquis qui in Asia erant ducibus, Aedini Sarchani Mendesiae Tecoi et Metini, imperioque eos expulit, expulsorumque regnum occupavit. hi cum forent suis sedibus pulsi, iter instituerunt Susam, ad regem Temirem. ut autem, praeter Caramanum cognomine Alosurium, et Turgetum Phrygiae ducem, venerint in conspectum regis, infra dicetur. hi namque affinitatem iungentes cum Paiazite, pacem consecuti sunt. reliqui, exceptis istis duobus, duces regnis suis exacti ascenderunt Samarchandam, quae Temiris regia extitit. Sarchanem, qui

βασίλεια Τεμήρεω. Σαρχάνην μὲν τὴν πάραλον τῆς Ἰωνίας ἐπιτροπεύοντα, καὶ Μενδεσίαν τοῦ Καλάμεω ἀπόγονον, καὶ Τεκόην τὴν Μαδίαν κατέχοντα τῶν ἑπτὰ ἡγεμόνων ἀπογόνους γεγονέναι φαμὲν τῶν τοῦ Ὀτουμάνεω τὴν τῆς Ἀσίας ἀρχὴν κοινῇ συγκατεργασαμένων, οἳ καὶ Ἀλαδίνεω τοῦ βασιλέως γενέσθαι θεράποντες λέγονται. Μετίνην δὲ καὶ Αἰδίνην, ὅθεν τὴν ἀρχὴν ἐκτήσαντο, οὐκ ἔχω διασημῆναι. τὸν δὲ Αἰδίνην D λέγεται μόνον τῆς ἀπὸ Κολοφῶνος ἔστε ἐπὶ Καρίαν ἦρχε χώρας. Τούρκων μέντοι γένος τούς τε ὑπὸ Τουργούτεω τελοῦντας καὶ ὑπὸ Καραμάνεω καὶ Μετίνῃ καὶ Αἰδίνῃ ἐπίσταμαι σαφῶς εἶναί τε καὶ ὀνομάζεσθαι. καὶ ἐν Καππαδοκίᾳ ὑπαγόμενος τοῦτο μὲν τὴν ὑπὸ Καραϊσούφῃ χώραν τοῦτο δὲ τὴν ὑπὸ τοῖς Ὁμούρεω παισί, καὶ τὰ πλέω τῆς Φρυγίας καταστρεψάμενος, ἤλαυνεν ἐπὶ Ἐρτζικὰν τὰ τῶν Ἀρμενίων βασίλεια, καὶ ἐπὶ τὸν Σκενδέρεω παῖδα, ὃς ταύτης ἡγεῖτο τῆς χώρας ἔστε ἐπὶ Εὐφράτην καὶ τῆς τε Κολχίδος μοῖραν οὐκ ὀλίγην ὑφ' αὑτῷ ποιησάμενος ἦρχε.

Ταῦτα μὲν οὖν γενόμενος ἐν τῇ Ἀσίᾳ καὶ μεγάλα ἀπε-P. 35 δείκνυτο ἔργα· μετὰ δὲ ἐς τὴν Εὐρώπην διαβάς, στρατεύματα ἐπιπέμπων ἔστε Μακεδονίαν τὴν πρὸς Ἰονουνᾶ τοὺς ταύτῃ Ἀλβανοὺς καὶ τὴν χώραν ἐδῄου, καὶ πολίσματα ἄττα

9. Τουργαταρίων τελοῦντ' ἂν καὶ P: corr Hamakerus. 21. ταύτης P: corr H

tutabatur maritimam Ioniae regionem, et Mendesiam Calamis nepotem, Tecoenque, qui regebat Madian, affirmamus fuisse nepotes et posteros septem illorum ducum Otomani, qui coniunctis viribus communibusque consiliis Asiae imperium acquisiverunt; quos et Aladinae regis ministros fuisse constat. Metines autem et Aedines unde regnum nacti sint, explorare nequeo. Aedinem tamen solum memorant a Colophone usque ad Cariam regioni se extendenti imperitasse. Turcos quidem genere et esse et dici certo scio, quotquot sub Turgaturiis, sub Caramano, sub Matine et Aedine degunt. subacta ea Cappadociae regione quae est sub Caraisuphe, nec non illa quam Homuris filii regebant, praeterea in dicionem accepta maxima Phrygiae parte, bellum promovit contra Ertzicam, Armeniorum regiam, et contra Scenderem, qui ea loca longe lateque usque ad Euphratem tenebat, addita non modica Colchidis parte, quam bello in dicionem redegerat.

Haec quidem effecit, cum foret in Asia, magnaque virtutis in conspectum daret opera. postea transiens in Europam, exercitibus immissis in Macedoniam et quae spectat Ionium, Albanorum accolarum regionem populabatur. captis quibusdam Albanorum oppidulis

εὑρὼν τῆς Ἀλβανῶν χώρας ἐπὶ Ἰλλυριοὺς ἤλαυνέ τε καὶ ἐδῄου τὴν χώραν, λείαν τὰ ἐκείνων ποιούμενος. μετὰ δὲ ταῦτα ἐστρατεύετο ἐπὶ Πελοπόννησον, τῷ μὲν λόγῳ ὡς ἐπὶ Φώκαιαν καὶ ἐπὶ Θετταλίαν ἐλαύνων, καταστησόμενος τὰ ἐν τῇ Θετταλίᾳ ὥστε ἐπιτηδείως ἔχειν αὐτῷ, τοῦ δὲ Φωκαίων ἀρχιερέως ἐπαγομένου σφίσιν ἐπὶ χώραν κυνηγῆσαί τε κρατίστην καὶ λειμῶνας γεράνους παρεχομένους πλῆθος ἄπλετον καὶ πεδία ἐνιππεῦσαι τὰ κάλλιστα, τῷ δὲ ἔργῳ ἐπὶ Θετταλίαν τε καὶ τοὺς ταύτῃ ἡγεμόνας Ἐπικερναίους τοὔνομα καὶ ἐπὶ γυναῖκα B τοῦ Δελουῆ ἡγεμόνος Τουντεδουλᾶ. μετὰ δὲ ταῦτα καὶ ἐς V. 28 Πελοπόννησον ἐμβαλών, ἔχων δὴ καὶ τὸν βασιλέως Ἰωάννου παῖδα Θεόδωρον ἡγεμόνα, ἐστρατεύετο. ἀφικόμενος δὲ ἐς Θετταλίαν τήν τε Δομακίην παρέλαβεν, ἐκλιπόντος τοῦ ἐν αὐτῇ ἡγεμόνος Ἐπικέρνεω, καὶ δὴ καὶ Φαρσάλων πόλιν, καὶ ταύτην ὑπὸ Ἐπικερναίων ἐπικρατουμένην, ὑφ' αὑτῷ ἐποιήσατο. προέλαυνε δὲ ἐς τὸ πρόσω, τό τε Ζητοῦνιν τὸ ἐν Θερμοπύλαις καὶ Πάτρας τὰς ἐν τῷ πεδίῳ πρὸς τῇ ὑπωρείᾳ τῶν Λοκρῶν ὄρους κατεστρέψατο, καὶ αὐτῷ προσεχώρησε· καὶ ἄλλα δὲ τῶν ταύτῃ πολισμάτων οὐκ ὀλίγα προσεχώρησεν C αὐτῷ καθομολογίῃ. μετὰ δὲ ταῦτα ἡ Δελουῆ τοῦ ἡγεμόνος γυνή, ἔχουσα θυγατέρα γάμου τε ὡραίαν καὶ ἐγγυημένην

1. ἑλὼν? αἱρῶν H 3. Φωκίδα H 5. Φωκέων H 18. τῶν] τοῦ τῶν?

contra Illyrios arma tulit, vastataque Illyriorum regione opes eorum diripuit et in suum emolumentum convertit. hic peractis expeditionem suscipit contra Peloponnesum, rumore prius sparso, quasi bello esset petiturus Phocidem et Thessaliam subacturus, ut sibi ad res gerendas foret idonea. episcopus autem Phocensium invitabat eum, ostentans regionem venationibus commodissimam, habentem prata quae praeberent infinitam gruum multitudinem, praeterea campos ad equitatum natura quam pulcherrime instructos. ista quidem expeditio verbis in hunc modum parabatur, re vera tamen bellum indicebatur Thessaliae ducibusque, qui ibi agebant, nomine Cernaeis, et uxori Delvis, Delphorum ducis, Trudeludae. post haec quasi in Peloponnesum irrupturus, cum elegisset belli ducem Theodorum Ioannis filium, bellum strenue gerebat. profectus in Thessaliam sui iuris fecit Domaciam, cum eam deseruisset, qui in ea erat, dux Cernaeus. hinc Pharsalicorum urbem in dicionem accepit, quae et ipsa a Cernaeis regebatur. deinde, cum longius processisset, Zetunim urbem Thermopylarum, et Patras sitas in planitie, quae est in radicibus montis Locrensium, in potestatem redegit. praeterea alia oppidula non pauca istius regionis pactionibus in fidem recepit. Delvis Del-

ἀνδρί, ὡς ἐπύθετο βασιλέα ἐπιόντα, ἡγεῖσθαι δὲ αὐτῷ ἐπὶ τάδε τῶν Σαλονῶν ἀρχιερέα, λαβοῦσά τε τὴν θυγατέρα καὶ δῶρα ὅσα ἠδύνατο ὑπήντα τῷ βασιλεῖ. ὁ δὲ τήν τε θυγατέρα ἐδέξατο, καὶ αὐτὴν ἅμα τῇ θυγατρὶ ἐς τὰ ἑαυτοῦ ἤθη ἀπέπεμπε, τὴν δὲ χώραν παραλαβὼν ταύτῃ ἐπέστησεν ἄρχοντα. λέγεται δὲ περὶ ταύτης τῆς γυναικὸς ὡς ἱερέως τινὸς Στράτεω ἐπικαλουμένου ἐρασθεῖσα καὶ ἐς τὸ πρόσω ἀναιδείας D *ἐλαύνων τήν τε ἀρχὴν ἐπέτρεψε τῷ ἱερεῖ, καὶ ἀναιρῇ πολλοὺς τοὺς τὴν Δελφῶν πόλιν ἐνοικοῦντας ἐργασαμένη. διὰ ταῦτα ὑπὸ ἀρχιερέως ἐς βασιλέα διεβλήθησαν, ὡς ἀεὶ μίαν εἰς γυναῖκα χώρας τοσαύτης ἡγουμένην, ὑπὸ ἱερέως μοιχευομένην, ἀνήκεστα κακὰ ποιεῖν τοὺς πολίτας, καὶ διὰ ταῦτα ἐπᾶραι βασιλέα ἐπιόντα στρατεύεσθαι ἐπ' αὐτούς. λέγεται μέντοι περὶ τοῦ ἱερέως τούτου τοῦ τὴν γυναῖκα ταύτην συγγενομένου καὶ ἄλλα οὐκ ὀλίγα ὥστε γυναῖκας πλημμελῆσαι, κατεργαζόμενον δαιμονίῳ τρόπῳ ὥστε ταύτας ἐφέλκεσθαι* P. 36 *ἐπαγόμενον ἐπὶ συνουσίας. Δελουῆς δὲ ὁ τῆς γυναικὸς ἀνὴρ πρόσθεν ἐτελευτήκει νόσῳ. ἦν δὲ οὗτος γένος τῶν Ταρακωνησίων βασιλέων, καὶ ὁπότε οὗτος ἀπὸ Ἰταλίας ἀφικόμενος ἐπὶ Πελοπόννησον κατέσχε τὴν Ἀττικὴν ἅμα καὶ Βοιωτίαν πρὸς τῇ Πελοποννήσῳ, καὶ δὴ καὶ Φώκαιαν καὶ Πάτρας τὰς*

8. *ἐλαύνουσα?* *ἀνιαρὰ* H 10. *ἀεὶ μίαν εἰς*] *ἀεικὲς?*
13. *ἀπᾶραι* P 18. *ἐτετελευτήκει?*

phorum ducis uxor, habens filiam iam nubilem viroque desponsatam, ut intellexit adversum sese cum exercitu pergere regem, cum filia muneribusque quam potuit acceptis maximis regi obviam processit; qui filiam lubens assumpsit, eamque simul cum matre suis moribus ritibusque vivere permisit: regioni autem, quae in dicionem concesserat, ducem praefecit. fama est istam mulierem amavisse sacerdotem quendam nomine Stratem; et ad maiorem impudentiam progressam imperium sacerdoti commisisse, plurimosque Delphorum incolas obtruncasse. hinc delata est episcopo Delphorum apud regem, quasi ipsa sola regat tantam regionem, intolerandisque iniuriis afficiat cives, interim adulterio a sacerdote polluta. his excitatus rex bellum iis intulit. feruntur et alia quaedam de isto sacerdote, qui stupri consuetudinem cum illa muliere habuit, videlicet quod etiam cum aliis deliquerit non paucis mulieribus, dum eas ad concubitum daemoniacis quibusdam incantationibus pelliceret. Delves autem mulieris maritus antea morbo implicitus expiraverat. hic ortus erat de genere Taraconensium regum. qui cum venisset ex Italia in Peloponnesum, obtinuit Atticam et Boeotiam simul cum Peloponneso: nactus est et Phocidem Patrasque urbem extra Thermopylas sitam. reges isti interiecto tandem tempore non parvo principatum amiserunt. quidam

ἐκτὸς Θερμοπυλῶν. οὗτοι μὲν οὖν ὕστερον χρόνῳ οὐ πολλῷ διελθόντι τήν τε ἡγεμονίαν ἀπέβαλον, καὶ οἱ μὲν ἀπενόστησαν ἐπὶ Ἰταλίας, οἱ δὲ αὐτοῦ ἐνέμειναν ἐς ὃ ἐτελεύτησαν. τούτων δ' ἦν καὶ οὗτος ὁ Δελουῆς, ᾧ τὴν γυναῖκα ἀφελόμενος Παιαζήτης ὁ Ἀμουράτεω, καὶ τὴν θυγατέρα ἔχων, ἀπεχώρει.

Ὁ μὲν ἐς Πελοπόννησον ἐσέβαλεν. ὁ μὲν οὖν τῆς Σπάρτης B ἡγεμὼν, ὡς ἐς τὴν Θετταλίαν ἐσέβαλε, τάς τε πόλεις ἐπὶ τὸ ἀσφαλὲς καταστησάμενος, ἀποδρὰς νυκτὸς ᾤχετο ἐς Πελοπόννησον, ὡς ἦν ἐπίῃ, ἀμυνούμενος ᾗ ἠδύνατο τὰ κράτιστα. καὶ ἐμέλλησε μὲν οὐχ ἥκιστα διὰ τοῦτο εἰσβαλεῖν ἐς τὴν Πελοπόννησον, ἀγγελία δὲ ἀφίκετο αὐτῷ ὡς οἱ Παίονες ἡγουμένου Σιγισμούνδου Ῥωμαίων βασιλέως τε καὶ αὐτοκράτορος καὶ Κελτοὶ καὶ Γερμανῶν οὐκ ὀλίγοι συνελέγησαν ὡς ἐπ' αὐτὸν ἐπιόντες, καὶ τόν τε Ἴστρον παρασκευάζοιντο διαβῆναι, καὶ Δάκας δέ, γένος οὐκ ἀγεννές, ἔχοιεν μετ' αὐτῶν, C τῆς τε ὁδοῦ ἡγουμένους, τὴν ἐσήγησιν τοῦ στρατοῦ ποιουμένους. Σιγισμοῦνδος δὲ οὗτος ὁ ἐπὶ Παιαζήτῃ στρατευόμενος ἡγεμών τε Γερμανῶν τὴν ἀρχὴν ἐτύγχανεν ὤν, περὶ Βιέννην τὴν πόλιν τὰ πολλὰ διατρίβων, καὶ χώρας τῶν ταύτῃ Γερμανῶν ἄρχων οὐ φαύλης. Παιόνων μετὰ ταῦτα προσαγομένων σφίσιν αὐτὸς βασιλεύς τε ἅμα καθεστήκει Παιόνων καὶ τῆς Γερμανῶν χώρας ἡγεμών.

7. ἐκέβαλεν P 8. ἐς add H 10. ἀμυνόμενος P : corr H idem ᾗ add. 11. ἐμέλησε P : corr H

eorum reversi sunt in Italiam, nonnullique ibi manserunt, donec mortui sunt. ex horum genere natus est Delves ille Delphorum princeps, cui uxorem et filiam auferens Paiazites Amuratis filius domum reversus est. tandem et in Peloponnesum irruit. verum Spartanorum regionis dux, ut in Thessaliam irrupit urbesque communivit, qua sibi videbantur tutissimae fore, noctu fugiens profectus est in Peloponnesum, fortiter propulsaturus hostem, si accederet.

Proinde non parum ei curae fuit exercitus Peloponneso admovere. interim autem nuntiatum est Paiaziti Pannones, duce Sigismundo Romanorum Caesare et imperatore, et Gallos Germanosque non paucos in unum collectos bellum ipsi inferre decrevisse, iamque Istrum transire parare, allectis et Dacis, hominum genere non ignobili, qui viae sint duces exercitumque ducant in hostilem regionem. Sigismundus ille, qui copias adversus Paiazitem ductavit, primo Germanorum fuit imperator, et plerumque moratus est Viennae, imperitans ibi Germanorum regioni haudquaquam malae. postea allectis Pannonibus, horum rex Germanorumque regionis dux creatus est.

V.29 Ἡ δὲ Γερμανία ἄρχεται μὲν ἀπὸ τοῦ Πυρηνίου ὄρους,
ὅθεν καὶ ὁ Ταρτησσὸς ῥέων ἐπὶ τὸν πρὸς ἑσπέραν ὠκεανόν.
καὶ ἔστι μὲν ἡ ἄνω Γερμανία, ἐφ' ὅσον δὲ προϊόντα καθή-
D κει ἔστε Κολωνίαν καὶ Ἀργεντίνην, πόλεις οὕτω καλουμέ-
νας. τὸ δὲ ἐντεῦθεν καθήκει ἐπὶ ὠκεανὸν τὸν περὶ Κελτι-
κήν τε ἐπὶ δεξιὰ καὶ περὶ Δαστίαν ἐπ' ἀριστερά, ὡς ἐπὶ τὰς
Βρεταννικὰς νήσους. ἔστι δὲ καὶ ἀπὸ Ἴστρου Γερμανία, ἀπὸ
Βιέννης πόλεως ἐπ' αὐτὸν δὲ [ἐς] Ταρτησσὸν προϊοῦσα χώρα,
καὶ ἐπὶ Βράγαν τοὺς πολεμίους. εἴη δ' ἂν ἀπὸ Βιέννης ἐς
ὠκεανὸν ἀνδρὶ εὐζώνῳ πεντεκαιείκοσιν ἡμερῶν ἀνύσαι κατὰ
μῆκος· κατὰ δὲ πλάτος εἴη ἂν καὶ πλέων τούτων βραχύ,
ἀπὸ τῆς Κελτικῆς ἰόντι ἐπὶ τὴν Δανίαν χώραν. εὐνομεῖται
δὲ ἡ χώρα αὕτη μάλιστα δὴ τῶν πρός τε ἄρκτον τε καὶ
ἑσπέραν πασῶν τῶν ταύτῃ χωρῶν ἅμα καὶ ἐθνῶν, ὥστε πό-
P.37 λεις περιφανεῖς καὶ εὐδαίμονας καὶ ὑπὸ σφῶν αὐτῶν ἐς τὸ
ἰσοδίαιτον εὐθυνομένας διῃρημένους, καὶ ἐς τυραννίδας, καὶ
ὑπὸ ἀρχιερεῦσι ταττομένας τοῖς ὑπὸ τοῦ Ῥωμαίων μεγάλου
ἀρχιερέως καθισταμένοις. καὶ πόλεις μὲν ἐς τὸ ἰσοδίαιτον
εὐνομούμεναι εἴησαν αὗται ἔν τε τῇ ἄνω καὶ τῇ κάτω Γερ-
μανίᾳ, Νορόβεργον πόλις εὐδαίμων καὶ Ἀργεντίνη καὶ Ἀμ-
πέργον. καὶ αἱ εἰς ἀρχιερεῖς ταττόμεναι Κολωνία, Βιέννη ἡ
ἐς τὴν κάτω Γερμανίαν ἀνιοῦσα, καὶ ἄλλαι μὲν οὐκ ὀλίγαι

6. Δακίαν? 9. Βοέμους H 12. Δακίαν R, Δασίαν T
16. διῃρημένῃ H 17. ταττομένῃ H

Germania incipit a monte Pyrenaeo, unde Tartesus fluvius fluit in Oceanum, versus Occidentem. et Germaniae pars, qua itur versus Coloniam et Argentinam, urbes sic dictas, superior Germania nuncupatur. hinc pertingit ad Oceanum Gallicum, versus dextram: at versus sinistram patet Pyridastiam usque ad Brittanicas insulas. dicitur Germania ea quoque regio quae ab Istro procurrit, procedens a Vienna usque ad Tartesum flumen et ad Pragam Boemorum. longitudo a Vienna Oceanum usque tantum spatii complectitur, quantum vir agilis itinere viginti quinque dierum conficere potest. latitudo est maior, etiam si quis ingrediatur iter brevissimum a Gallia Celtica versus Dastiam regionem. ista natio gubernatur melioribus legibus quam ulla earum vel regionum vel gentium, quae respiciunt vel Septentrionem vel Occidentem. discreta est in urbes praeclaras et florentes, quae propriis legibus et quam proxime ad aequitatem accedentibus reguntur. dividitur et in principatus, subiectaque est sacerdotibus et episcopis adhaerentibus Romano pontifici. urbes quam maxime ad aequitatem constitutae in superiore et inferiore Germania sunt Noseberga, urbs opulenta, Argentina et Ampergum, quae regun-

πόλεις, ἀποδέουσαι τούτων ὀλίγῳ τινί, ἀμφὶ τὰς διακοσίας.
ἐς δὲ τυραννίδας τρεῖς μάλιστά πῃ διέλοι τις τῆς Γερμανίας
ἡγεμόνας, τῆς τε Ἐτζιλείης πόλεως καὶ Ἀουστρίας καὶ Βλέ- B
νης τῆς ἄνω Γερμανίας γενομένης. ἔστι δὲ γένος τοῦτο μέ-
γα καὶ ἐπὶ πολὺ διῆκον τῶν κατὰ τὴν οἰκουμένην, μετά γε
Σκυθῶν τῶν νομάδων δεύτερον, ὡς εἰ ταὐτὸ φρονοίη, καὶ
ὑφ' ἑνὶ ἄρχοντι ἡγεμόνι, ἀμάχητόν τε ἂν εἴη καὶ πολλῷ κρά-
τιστον. ὑγιεινότατον δὲ ὂν ἅτε ὑπὸ τὴν ἀρκτῴαν μοῖραν τε-
ταγμένον καὶ περὶ τὴν ταύτῃ μάλιστά πῃ μεσόγαιον, θα-
λάττῃ οὐ πάνυ τι προσχρωμένους, εὐνομεῖται μάλιστα δὴ
ἐθνῶν ὧν ἡμεῖς ἴσμεν, οὔτε λοιμοῦ, ὃς δὴ ὑπὸ τῆς τοῦ ἀέ-
ρος σήψεως ἐπιγενομένης μάλιστα ἐπιφοιτῶν τοῖς ἑῴοις
ἀπόλλυσι πολύ τι μέρος τῶν ταύτῃ ᾠκημένων, οὔτε ἄλλων δὴ C
νόσων τῶν ἐς ἡμᾶς πάνυ τι εἰωθότων θέρους τε καὶ φθινο-
πώρου ἐπιφοιτᾶν χωριαζόντων αὐτοῖς θαμά, ὥστε καὶ ἱκανόν
τι ἀπογίνεσθαι τοῦ γένους τούτου, οὔτε σείει ὅ τι καὶ ἄξιον
λόγου. ὕει δὲ θέρους μάλιστα δὴ ἐν ταύτῃ τῇ χώρᾳ. πολι-
τεύεται δὲ κατὰ ταὐτὰ Ῥωμαίοις, ἔστε δίαιταν καὶ ἤθη τε-
τραμμένον, συμφερόμενον τὰ ἄλλα Ῥωμαίοις, καὶ ἐς τὴν
θρησκείαν Ῥωμαίων μάλιστα δὴ τῶν πρὸς ἑσπέραν δεισιδαι-
μονεῖν. νομίζεται δὲ παρὰ τούτοις καὶ μονομαχία μάλιστα

13. ὠκίμων P: corr H 15. τῶν χωριαζόντων P. malim φοιτᾶν ἐπιχωριαζόντων. 17. δὲ P

tur ab episcopis, Coloniaque, a Vienna in inferiorem Germaniam recedens. sunt et aliae urbes non paucae, propemodum ducentae, quae in paucis quibusdam a praedictis differunt. in tres principatus quis dividere posset universos totius Germaniae ducatus, videlicet Atziliae urbes et Austriae et Blenae, quae in superiore Germania sita est. genus hoc hominum magnum est, longe lateque per universum orbem imperat, magnitudineque secundum post Scythas nomades habetur. itaque si concordiae studiosi essent et sub uno degerent principe, plane essent invicti mortaliumque fortissimi. sunt, quantum ad corpora attinet, perquam sani, ut qui sub Septentrionali aetatem agant plaga et circa mediterraneum isthic mare, nullius rei indigentes. nec est gens, quod sciam, quae melioribus regatur legibus. nec ibi saevit pestis, quae ex corrupto nascitur aere, maximeque infestat Orientales, plurimosque ibi habitantes perdit. neque alii morbi, qui aestivo autumnalique tempore reliquis mortalibus graves sunt, Germaniae incolas laedunt. terrae motus rari memoratu digni eam regionem quatiunt. pluvia prae caeteris regionibus aestivo tempore in ista regione uberrima conspicitur. victu moribusque Romanos imitantur, nec caetera quicquam ab his differunt. nec est ulla gens quae superstitiosius Romanorum religionem colat, maxime qua Occi-

D δὴ τῶν ἄλλων ἐθνῶν, ὥστε γῆθεν οὐδ' ἐφ' ἵππων ἀλλήλοις μονομαχεῖν. τὸ δὲ γένος τοῦτο δεξιώτατον ἔστε μηχανὰς ὂν καὶ ἐς τὰ πολεμικὰ ἔργα καὶ ἐς πάσας τὰς τέχνας πολύ τι εὐδοκιμεῖ. φέρει δὲ ἡ χώρα αὕτη, πλὴν ἐλαίου καὶ ἰσχάδων, τἄλλα πάντα οὐκ ἐλάσσω τῶν ἐς τὴν ἄλλην χώραν φερομένων. οἴονται δέ τινες καὶ τηλεβόλους καὶ τηλεβολίσκους ὑπὸ Γερμανῶν ἀρχὴν ἀποδεδειγμένους ἐς ἀλλήλους προελθεῖν καὶ ἐς τὴν ἄλλην οἰκουμένην.

V. 30 Παιονία δὲ ἄρχεται ἀπὸ Βιέννης τῆς Γερμανῶν πόλεως, καὶ ἐπὶ μὲν ἕω τῷ Ἴστρῳ συμπροϊοῦσα καθήκει ἐπὶ Δακούς τε καὶ Τριβαλλούς, ἐπὶ δὲ ἄρκτον ἐπὶ Βοέμους τοὺς Κεχίους καλουμένους καθήκει. ἔνεισι δὲ ἄρχοντες ταύτῃ τῇ χώρᾳ,
P. 38 ἄρχων δὲ ἕκαστος τῆς πατρῴας χώρας, καὶ ὑποτασσόμενος τῷ βασιλεῖ αὐτῶν, ἐς ὅσον νομίζεται σφίσι. νομίζεται δὲ ἐπὶ ῥητοῖς. καὶ ἐπιχωρίῳ μὲν βασιλεῖ οὐ πάνυ τι χρῶνται, ἐπάγονται δὲ ἢ ἀπὸ Βοέμων τοῦ βασιλείου οἴκου ἢ ἀπὸ Γερμανῶν ἢ Πολονίων ἢ καὶ ἄλλων τῶν ταύτῃ ἐθνῶν. συμφέρονται δὲ Γερμανοῖς τά τε ὅπλα καὶ τὴν ἐς τὰ ἤθη αὐτῶν δίαιταν, ἐς τὸ ἁβροδίαιτον ἀποκλίνοντες, ᾗ φασὶ Κελτούς τε καὶ Γερμανούς. νομίζει κατὰ ταὐτὸ Ῥωμαίοις τὰ ἐς θρησκείαν. γένος δὲ τοῦτο ἄλκιμον καὶ ἐς μάχας τόλμῃ προσχρώμενον ἐπιεικεῖ. ποιοῦνται δὲ καὶ ἐπιχώριόν τινα τῶν

denti propinqua est. monomachia apud eos vel maxime celebris est. congrediuntur autem non equis insidentes, verum terrae insistentes. nec facile invenias gentem ad machinas reliquaque opera bellica magis idoneam. in artibus omnibus praerogativa maxima gaudent. quidam credunt tormenta bellica et bombardarios ab ista gente initio demonstratos, et hinc totum pervasisse orbem, ut paucae gentes bombardis nunc careant. reliquorum fructuum, praeterquam olei et ficuum, regio ista feracissima perhibetur.

Pannonia (quae et Ungaria) incipit a Vienna Germanorum oppido, et versus Orientem secundum Istrum procedens attingit Dacos et Triballos. versus Septentrionem excurrit ad Boemos, quos Cephios nuncupant. habet Pannonia et principes: verum singuli patrias regunt regiones, subiecti tamen regi suo certis quibusdam legibus et condicionibus. regem de suo corpore admodum raro constituunt: verum plerumque accersitur ex Boemorum regia familia, aut petitur a Germanis, aut Polonis aut ab aliis gentibus finitimis. Romanos moribus amorumque cultu referunt: caeterum sequuntur victus rationem intemperantiorem, quemadmodum Germani et Galli. religionem sectantur Romanorum. hoc hominum genus eximiae fortitudinis est; mirumque dictu quanta audacia et animositate bella gerant creant de

ἀρχόντων τὰ πρῶτα, ἐς τὴν βασιλείαν ἀνήκοντα, καὶ οἰκονόμον B δὲ ὄντα, καὶ μηδὲ ἄρχοντα ὀνομάζουσι. φωνῇ δὲ χρῶνται οὐδαμῇ παραπλησίᾳ ἑτέρῳ τινὶ τῶν γενῶν, ἀλλὰ ἄλλῃ τὸ παράπαν διενεγκούσῃ τε τῆς Γερμανῶν τε καὶ Βοέμων καὶ Πολάνων. οἴονται δέ τινες τούτους οἱ μὲν Γέτας γενέσθαι τὸ παλαιόν, καὶ ὑπὸ τὸν Αἷμον οἰκοῦντας, ὑπὸ Σκυθῶν κακουμένους, ἀναχωρῆσαι ἐς τήνδε τὴν χώραν ἣν καὶ νῦν οἰκοῦσιν· οἱ δέ φασι Δάκας γενέσθαι. ἐγὼ δὲ ὁποῖον ἄν τι εἴη τὸ γένος τοῦτο τὴν ἀρχήν, οὐκ ἂν ῥᾳδίως εἰπεῖν ἔχοιμι· τοὔνομα μέντοι τοῦτο ὑπό τε σφῶν αὐτῶν καὶ ὑπὸ C Ἰταλῶν καλουμένους, οὐ πάνυ τι καλῶς ἔχοιμι ἑτέρῳ τινὶ ὀνόματι καλεῖν τούτους. ἔστι δὲ αὐτοῖς βασίλεια ἐν Πούδῃ πόλει εὐδαίμονι παρὰ τὸν Ἴστρον.

Σιγισμοῦνδον δὲ τὸν Βιέννης τῆς Γερμανῶν πόλεως ἡγεμόνα ἐπαγόμενοι οὗτοι δὴ οἱ Παίονες βασιλέα τε σφίσιν αὐτοῖς καθίστασαν, καὶ τὰ κατὰ τὴν ἀρχὴν ἐπέτρεψαν αὐτῷ διαθεῖναι ὡς ἔχοι ἐπὶ τὸ ἀσφαλέστερον. οὗτος μὲν οὖν ἐπεί τε τὴν Παιόνων παρέλαβε βασιλείαν, διεπρεσβεύετο πρὸς τὸν Ῥωμαίων ἀρχιερέα, συνήθη τε ὄντα αὐτῷ καὶ ἐπιτήδειον ἐς τὰ μάλιστα, ὥστε ἐπιψηφισθῆναι αὐτῷ αὐτοκράτορι Ῥωμαίων γενέσθαι. τοῦτο μὲν οἱ τῆς Ῥώμης ἀρχιερεῖς τοῖς Κελτῶν D βασιλεῦσι τὸ πρῶτον ἐπεδίδοσαν διὰ τοὺς πολέμους, οὓς θα-

10. ἀπό P 15. ἐπαγόμενον οὗτοι δὲ P 16. τὰ om P 22. πολεμίους P: corr H

sua gente quendam de numero principum, qui reliquorum primus in regiam ascenderit; eumque oeconomum sive procuratorem aut administratorem, nec principem, nominant. lingua utuntur quasi peculiari, quae nihil commercii cum lingua Germanorum et Boemorum Pomanorumque habere deprehenditur. quidam tradunt eos antiquitus Getas extitisse, sedesque habuisse, quas insederint, sub monte Haemo, tandemque pulsos a Scythis concessisse in eam regionem quam nunc tenent. quidam putant eos quondam Dacos fuisse. ego autem, quaenam ipsorum origo sit, dicere non possum. praeterea cum sibi dederint istud nomen ut Pannones vocentur, sicque appellentur ab Italis, non decorum fore ratus sum, si aliud iis imposuero nomen. regia eorum est Buda, urbs florentissima, Istro adiacens.

Sigismundum autem Germanorum imperatorem agentem Viennae vocantes Pannones, declaraverunt regem, eique tradiderunt regnum universum, et quae ad regni curam pertinent, ut omnia sic ordinaret quemadmodum putaret ea fore commodissima. hic ut primum regium honorem iniit, legatos misit ad Romanum pontificem, iam ante sibi familiarem et necessitudine devinctum, rogans ut suum consensum

μά τε καὶ ἀνδρειότατα πρὸς τοὺς ἀπὸ Λιβύης διαβάντας ἐπὶ Ἰβηρίαν βαρβάρους καὶ τὰ πολλὰ τῆς Ἰβηρίας καταστρεψαμένους αὐτοῖς. μετὰ δὲ ταῦτα ἐπὶ τοὺς Γερμανῶν ἡγεμόνας μετενήνεκται ὁ ψῆφος τοῦ Ῥωμαίων ἀρχιερέως. Σιγισμοῦνδον ὡς ὑπισχνεῖτο ὁ ἀρχιερεὺς τήν τε ἀξίαν ταύτην ἐπιτιθέναι, καὶ δὴ μετεπέμπετο ἐπὶ τοῦτο, ὥρμητο μὲν ἐπὶ Ἰταλίαν διὰ τῆς Ἑνετῶν χώρας. οὗτοι μὲν οὖν ὡς ἐπύθοντο Σιγι-
P.39 σμοῦνδον διὰ τῆς χώρας αὐτῶν τὴν πορείαν ποιούμενον, ἔπεμψαν ἄγγελον, προαγορεύοντες αὐτῷ μὴ διιέναι διὰ τῆς χώρας αὐτῶν. ὁ δὲ οὐκ ἔφη πείσεσθαι, ἂν μὴ γνῷ αὐτοὺς πειρωμένους ἔργῳ διακωλῦσαι διαπορευόμενον. παρεσκευάζοντο μὲν οὖν οἱ Ἑνετοὶ στρατὸν καὶ διεκώλυον. ὡς δὲ ᾔσθετο κωλυόμενος, παρετάξατο ἐς μάχην καὶ συνέβαλε τῷ Ἑνετῷ στρατῷ, καὶ ἀπεγένετο αὐτῷ οὐκ ὀλίγα τοῦ στρατεύματος,
V.31 τραπομένῳ τε ἐς φυγὴν καὶ μόλις διαφυγόντι τοὺς ἐναντίους. οὗτος μὲν δὴ ἐπεί τε ἀπέγνω τὴν δι' Ἑνετῶν πορείαν, ἀπῄει
B διὰ τῆς ἄνω Γερμανίας, ἐς τὸν Λιγυρίας τύραννον ἀφικόμενος. ἐντεῦθεν δὲ ἐς Ῥώμην παρεγένετο, καὶ βασιλεύς τε καθειστήκει, ὑπὸ τοῦ μεγάλου ἀρχιερέως ἐς τοῦτο ἀποδειχθείς. μετὰ δὲ ταῦτα ἐδεῖτό τε τοῦ ἀρχιερέως συμβαλέσθαι ἐς τὴν

3. αὐτοῖς συνδιήνεγκαν? 4. ἡ?

praestaret quo Romanorum declararetur imperator. imperatoriam dignitatem Romani pontifices primo contribuere Galliarum regibus, propter hostes ex Libya in Iberiam transvectos fortiter caesos, et ob Iberiam a barbaricis incursionibus liberatam. postmodum eligendi Romanum imperatorem potestas translata est a pontifice ad Germanos. Sigismundus, cum eam dignitatem se daturum respondisset pontifex, accersitus et vocatus est a pontifice, ut imperatoriam dignitatem acciperet. Sigismundus Romam proficiscens iter faciebat per Venetorum regionem. hi, ut primum nuntiatum est Sigismundum per ipsorum regionem transitum facere, miserunt nuntium, qui moneret ut ipsorum regione excederet. hic nuntio Venetorum parere neglexit, nisi cerneret eos re ipsa transitum prohibituros. Veneti igitur congregato exercitu vim facere parabant Sigismundo, nisi confestim sua discessisset regione. ut cognovit Venetos id moliri, copias in aciem eduxit, et cum Venetorum exercitu praelium commisit. amisit autem in eo praelio non modicam exercitus partem; ipseque in fugam compulsus aegre, quo minus caperetur, fuga evasit. cum iam planissime desperaret se posse per Venetorum regionem adire Romam, iter flectit in superiorem Germaniam, pervenitque ad Liguriae sive Mediolani principem. hinc iter Romam instituit; quo cum venisset, imperator a pontifice maximo consalutatus est. postea rogavit pontificem maximum auxilium, quo adiutus expeditionem contra bar-

ἐπὶ τὸν βάρβαρον αὐτῷ ἐκστρατείαν γινομένην, ᾐτεῖτο δὲ αὐτὸν χρήματά τε καὶ ἄνδρας. ὁ δὲ πρός τε τὸν Κελτῶν βασιλέα διαπρεσβευσάμενος καὶ πρὸς τὸν Βουργουνδίας τύραννον διεπράξατο δοθῆναι ἐς ὀκτακισχιλίους, καὶ στρατηγὸν τὸν Βουργουνδίας ἡγεμόνος ἀδελφόν. παρεσκευάσατο μὲν οὖν καὶ αὐτός, συλλέξας στράτευμα ἀπὸ Γερμανῶν ὅσον ἠδύνατο C μισθωσάμενος. ὡς ἤδη αὐτῷ τε τὰ εἰς τὸν πόλεμον παρεσκεύαστο, ἐξήλαυνε, λαβὼν τούς τε Παίονας καὶ Δάκας τῆς ὁδοῦ ἡγεμόνας, εὐθὺ τοῦ Ἴστρου ἐπὶ Παιαζήτην. διεπρεσβεύσατο δὲ καὶ πρὸς τοὺς Ἰταλῶν καὶ Ἰβήρων ἡγεμόνας, χρηματίζοντος δὲ τοῦτο αὐτῷ τοῦ ἀρχιερέως, αἰτούμενος χρήματα καὶ ἄνδρας. καὶ χρήματα μὲν ἐπεπόμφει αὐτῷ ἱκανὰ ὁ ἀρχιερεύς, ἄνδρας τε.

Ὁ μὲν οὖν Παιαζήτης ὡς ἐπύθετο ἐπιόντα οἱ Σιγισμοῦνδον 1396 τὸν Ῥωμαίων αὐτοκράτορα, σὺν πολλῷ στρατεύματι ἐλαύνοντα, παραλαβὼν τὸν τῆς Εὐρώπης τε καὶ Ἀσίας στρατὸν ἅπαντα ἀντεπῄει ἐπὶ Ἴστρον, ᾗ ἐδύνατο τάχιστα πορευόμενος. D στρατοπεδευσαμένου δὲ αὐτοῦ ἀπὸ τοῦ Ἴστρου ἐπὶ σταδίους τεσσαράκοντα, οἱ Κελτοὶ αὐθάδεις τε ὄντες καὶ ἀγνώμονες ὡς τὰ πολλά, ἀξιοῦντες σφῶν αὐτῶν μόνων τὴν νίκην γενέσθαι, ὁπλισάμενοι ἐπῄεσαν πρότεροι ὡς ἀναρπασόμενοι τοὺς βαρβάρους. μάχης δὲ καρτερᾶς γενομένης τρέπονται οἱ Κελτοί, καὶ φεύγοντες ἀνὰ κράτος καὶ οὐδενὶ κό-

baros susceptam conficere posset. flagitabat autem pecuniam virosque. pontifex legatione missa ad Gallorum regem Burgundiaeque ducem effecit ut sibi darentur octo milia militum: belli autem ducem accepit Burgundiae ducis fratrem. Sigismundus quoque se ad bellum parabat, conscribens exercitum ex Germanis, quoscunque potuit mercede conducens. cum iam ad bellum satis foret instructus, assumptis Pannonibus et Dacis, (qui et Valachi) qui itinera monstrarent, recta per Istrum contra Paiazitem copias duxit. legatos quoque misit, consulente id pontifice maximo, ad Hispanorum Italorumque principes, petens ad istam expeditionem milites et pecuniam. pontifex quoque milites misit et pecuniam suppeditavit.

Paiazites, quamprimum didicit Sigismundum Romanorum imperatorem magnis copiis stipatum adversum se pergere, accepto Europae Asiaeque exercitu summa celeritate obviam profectus est hosti usque ad Istrum; castraque communivit ab Istro stadiis quasi quadraginta. Galli autem, ut sunt audaces, plerumque vero imprudentes, cum cuperent victoriam suam facere, arma capiunt barbarosque aggrediuntur quasi eos primo impetu domituri. tandem cum praelium utrin-

σμῳ ἐπιπίπτουσι τῷ σφετέρῳ στρατεύματι, ἐπισπομένων τῶν Τούρκων. ἐνταῦθα ἀναμὶξ γενομένων αὐτῶν, ὡς ἐπέκειντο οἱ βάρβαροι, τρέπονται ἅμα τούτοις οἵ τε Παίονες καὶ οἱ Γερμανοί. ἐπειγομένων δὲ εἰς τὴν τοῦ Ἴστρου διάβασιν P. 40 ἀπώλετο πολλὰ τοῦ στρατεύματος κατὰ τὸν ποταμόν. ἐγένετο δὲ φόνος πολὺς ὀλλυμένων τῶν Κελτῶν καὶ Παιόνων ὑπὸ τῶν ἐναντίων, καὶ ὁ Βουργουντίων στρατηγὸς ἑάλω, καὶ ἄλλοι οὐκ ὀλίγοι Παιόνων τε καὶ Κελτῶν.

Ὁ μὲν δὴ Σιγισμοῦνδος διακινδυνεύσας τὰ ἔσχατα, καὶ παρὰ βραχὺ ἁλῶναι διαφυγών, ἐμβὰς ἐς τριήρη κατὰ τὸν ποταμὸν ἔπλει ἐς Βυζάντιον παρὰ βασιλέα Ἑλλήνων. ἐς λόγους δέ ἀφικόμενος τῷ Βυζαντίου βασιλεῖ, καὶ χρηματίσας αὐτῷ ὅσα ἠβούλετο, ᾤχετο ἀποπλέων ἐπ' οἴκου. Παιαζήτης δὲ ὁ Ἀμουράτεω, ὡς τούς τε Παίονας ἐτρέψατο καὶ Κελ- B τούς, ἐληΐζετο τὴν χώραν αὐτῶν, ἀδεέστερον ἤδη χωρῶν ἐπ' αὐτοὺς καὶ ἀνδράποδα πάμπολλα ἀγόμενος. καὶ δὴ ἐπελαύνων ἐπὶ Πούδην τὰ Παιόνων βασίλεια ἔκαμνεν ὑπὸ τῆς νόσου· ποδαλγίαν γὰρ ἐνόσει. καὶ εἰ μὴ μέντοι ἐνωχλεῖτο ὑπὸ τῆς νόσου, οὐκ ἔχω λογίζεσθαι ὅ τί περ ἂν γένοιτο αὐτῷ ἐμποδὼν ἐπὶ Πούδην τε ἐλάσαι καὶ παραστήσασθαι Πούδην τὰ Παιόνων βασίλεια καὶ καταστρέψασθαι τὴν χώραν αὐτῶν· νῦν δὲ κάμνων ὑπὸ τῆς νόσου ἐπιεικῶς πάνυ

que maxima virtute ferveret, Galli fugam ineunt; incitatissimoque cursu cum agerentur ad suos, insequentibus Turcis et Sigismundi militibus admixtis atrox praelium coortum est. cum acriter instarent Turci, etiam Pannones et Germani fugae Gallorum se sociant. festinantibus autem iis Istrum transire, maxima pars exercitus flumine absumpta est. facta est caedes magna Gallorum et Pannonum pereuntium. dux Burgundionum, qui totius belli imperator electus erat, ab hostibus captus est: capti sunt et alii Pannones Gallique plurimi.

At Sigismundus in maximum vitae discrimen adductus, vixque hostis manus, quo minus caperetur, effugiens, triremem, quae in flumine erat, conscendit, Byzantiumque ad Graecorum regem navigavit. cum plurima cum isto rege disseruisset, et quae volebat expedivisset, domum reversus est. Paiazites Amuratis filius, Gallis Pannonibusque fusis atque fugatis, regionem eorum iam maiore securitate populabatur. quin etiam contra hos exercitus ductabat, mancipiaque plurima capiebat. proficiscens autem hostili animo contra Budam, Pannonum regni sedem, podagra laboravit; nec tamen admodum eo morbo afflictus est. haud tamen assequi queo, quid ei impedimento fore potuisset, cum festinaret adversus Budam, quo minus eam urbem suae

ἀπενόστησέ τε αὐτὸς καὶ τὸν στρατὸν ἀπήγαγεν ἐς τὴν χώραν αὐτοῦ.

Ὕστερον μέντοι ἐπιπέμπων στρατεύματα ἐπὶ Παιονίαν V. 32
καὶ Παιονοδακίαν ἐδῄου τὴν χώραν. χρόνου δὲ ἐπιγενομέ- C
νου ἐπὶ Δάκας καὶ ἐπὶ Μύρξαν τὸν Δακίας ἡγεμόνα ἐστρατεύετο, αἰτιασάμενος αὐτὸν ὡς ὑπάρξαντά τε πολέμου καὶ σὺν τοῖς Παίοσιν ἐπ' αὐτὸν στρατευόμενον. ἔστι δὲ γένος τοῦτο Δάκες ἄλκιμόν τε τὰ ἐς τὸν πόλεμον καὶ οὐ πάνυ τι εὐνομούμενον, κατὰ κώμας οἰκοῦν, πρὸς τὸ νομαδικώτερον τετραμμένον. διήκει δ' αὐτῶν ἡ χώρα, ἀπὸ Ἀρδελίου τῆς Παιόνων Δακίας ἀρχομένη, ἔστε ἐπὶ Εὔξεινον πόντον. ἔχει δὲ ἐπὶ δεξιὰ μὲν καθήκουσα ἐπὶ θάλασσαν τὸν Ἴστρον ποταμόν, ἐπ' ἀριστερὰ δὲ Βογδανίαν χώραν οὕτω καλουμένην. διείργει δὲ αὐτοὺς ἀπὸ Παιονοδακίας ὄρος ἐπὶ πολὺ διῆκον, Πρασοβὸς καλούμενον. ἔχει δ' ὁμόρους ἡ χώρα αὕτη καὶ D
Σκυθῶν τῶν νομάδων μοῖραν οὐκ ὀλίγην, γένος πολύ τι καὶ ὄλβιον, ὑπὸ Καζημίρεω τῷ βασιλεῖ ταττόμενον· ὑφ' ᾧ δὴ καὶ Σκύθαι οἱ νομάδες ταττόμενοι στρατεύονται, ᾗ ἂν ἐξηγοῦνται, αὐτός τε ἀρετὴν παρεχόμενος ἐς πόλεμον ἀξιόλογον. τούτων δὲ ἔχονται Πολάνοι μὲν πρὸς ἄρκτον, Σαρμάται δὲ πρὸς ἕω. Δάκες δὲ χρῶνται φωνῇ παραπλησίᾳ τῇ Ἰταλῶν,

6. πόλεμον P 12. δεξιᾷ P 13. ἀριστερᾷ P 14. ἀπὸ] ἐπὶ P 18. ἐξηγῆται?

dicionis faceret regionemque universam subiiceret. verum peropportune podagra tum laborans reversus est domum: etiam copias in suam regionem abduxit.

Postea missis exercitibus Pannoniam et Pannodaciam vastabat. tempore autem aliquantulo interposito, bellum Myrxae (nostri Marcum vocant) Daciae duci intulit, crimini ei dans quod prior adiungens se Pannonibus contra se bellum gesserit. Dacorum (sive Valachorum, in qnibus et Moldavi) gens bello praestantissima est, nec tamen admodum bonis gubernatur legibus. vicos plerumque incolunt, sequentes pascua. extenditur horum regio ab Pannonum Ardelio, a Pannonum Dacia (quae et Transsylvania) initium sumens, usque ad Pontum Euxinum. a dextra, qua vergit ad mare, Istro fluvio alluitur: a sinistra regionem Bogdaniam appellatam habet. distinguit ipsorum regionem mons longe se porrigens, cui Prasobo (qui olim Haemus) nomen incolae dixerunt. huic regioni adiacent quidam de Scytharum genere non pauci, qui opibus plurimum possunt, subiecti Cazemiro Polonorum regi. istum regem comitantur Scythae nomades, quocunque bellum verterit. 'virtus autem eius in omni bello praeclara habita est. iis finitimi sunt, qua se in Septentrionem pandunt,

διεφθαρμένῃ δὲ ἐς τοσοῦτον καὶ διενεγκούσῃ ὥστε χαλεπῶς
ἐπαΐειν τοὺς Ἰταλοὺς ὁτιοῦν, ὅτι μὴ τὰς λέξεις διασημειου-
P. 41 μένων ἐπιγινώσκειν ὅ τι ἂν λέγοιτο. ὅθεν μὲν οὖν τῇ τοι-
αύτῃ φωνῇ διαχρώμενοι ἤθεσι Ῥωμαίων ἐπὶ ταύτην ἀφίκοντο
τὴν χώραν καὶ αὐτοῦ τῇδε ᾤκησαν, οὔτε ἄλλου ἀκήκοα περὶ
τούτου διασημαίνοντος σαφῶς ὁτιοῦν, οὔτε αὐτὸς ἔχω συμβα-
λέσθαι ὡς αὐτοῦ ταύτῃ ᾠκίσθη. λέγεται μὲν πολλαχῇ ἐλθὸν
τὸ γένος τοῦτο ἐνοικῆσαι αὐτοῦ, οὐ μὴν ὅτι καὶ ἄξιον ἐς
ἱστορίαν ὁτιοῦν παρεχόμενον τεκμήριον. συμφέρεται δὲ Ἰτα-
λοῖς τά τε ἄλλα καὶ τῇ ἐς δίαιταν καταστάσει, καὶ ὅπλοις
τοῖς αὐτοῖς καὶ σκευῇ ἔτι καὶ νῦν τῇ αὐτῇ Ῥωμαίων δια-
χρώμενοι, ἐς δύο μέντοι διῃρημένοι ἀρχάς, ἔστε τὴν Βογδα-
νίαν καὶ αὐτὴν παρ' Ἴστρον χώραν. οὐ πάνυ τι εὐνομεῖ-
B ται. νομίζουσι δὲ ἡγεμόσιν οὐ τοῖς αὐτοῖς διαμένοντες, ἀλλ'
ἐπὶ τὸ ἀεὶ σφίσι πρόσφορον συμμεταβάλλοντες καθιστᾶσιν
ἄλλοτε ἄλλους σφίσι τυράννους. Μύρξαν μέντοι τοῦτον, ἄρ-
χοντα τοῦ γένους τοῦδε τὸ παλαιὸν γενόμενον, ἐπικαλεσάμε-
νοι τύραννον σφίσι κατεστήσαντο, συνελόντες Δᾶνον τὸν πρό-
σθεν τυραννεύοντα αὐτῶν. Μύρξας μὲν οὖν οὗτος παλλα-
κίδι συγγενόμενος οὐκ ὀλιγάκις, καὶ νόθους ἀπὸ τούτου σχὼν
παῖδας ἀνὰ τὴν Δακίαν οὐκ ὀλίγους, ὕστερον προϊόντι τῷ
χρόνῳ καὶ τελευτήσαντος Μύρξεω ἀνεφύοντο τῇ Δακίᾳ θαμὰ

12. διῃρημένον P   13. καὶ αὖ τὴν?   18. ἀνελόντες?

Poloni: qua vero respicit Orientem, Sarmatae. Dacorum lingua similis est Italorum linguae: adeo tamen corrupta et differens, ut difficulter Itali queant intelligere quae istorum verbis pronuntiantur. unde autem lingua moribusque Romanis usi in istam regionem accesserint ibique sedes fixerint, a nullo mortalium accepi, nec aliquem audivi qui ista liquido commemoraret. dicuntur tamen homines undique confluentes in istam regionem penetrasse, haud interim extante aliquo memorabili istius gentis exemplo, quod operae pretium sit ut praesenti historiae intexatur. nihil differunt ab Italis caetera victus ratione, armorum et suppellectilis apparatu etiamnum eodem utentes. quamvis ea gens in duos discreta sit principatus, in Bogdianam videlicet (quae et Moldavia) et Istriam regionem, haud tamen aequo inter se iure vivunt. consueverunt non semper eosdem habere duces: verum prout ipsis videtur commodum, principes mutant, nunc hunc nunc illum sibi principem ordinantes. Myrxam istum, qui avito istorum ducum genere erat ortus, accitum sibi ducem constituerunt, occiso Dano, qui antea rerum potiebatur. Myrxas hic concumbens saepius cum pellice, filios spurios ex ea tulit non paucos in Dacia. hinc mortuo Myrxa nascebantur frequenter alii Dacorum duces, qui

ἡγεμόνες ἄλλοτε ἄλλοι ἔστε ἐπὶ τόνδε τὸν χρόνον καθιστάμενοι ἐς τὴν ἀρχήν. ἐπὶ τοῦτον δὴ τὸν Μύρξαν, ὑπάρξαντα C πρότερον πολέμου ἐς τοὺς βαρβάρους συστρατευόμενον τῷ Σιγισμούνδῳ Ῥωμαίων αὐτοκράτορι, αἰτιασάμενος Παιαζήτης ὁ Ἀμουράτεω ἐστρατεύετο, καὶ τόν τε Ἴστρον διαβὰς ἤλαυνεν ἐς τὸ πρόσω, τήν τε χώραν ἀνδραποδιζόμενος. Μύρξας δὲ συλλέξας στράτευμα ἀπὸ τῆς χώρας ἐπεξελθεῖν μὲν καὶ διαμάχεσθαι οὐκ ἐποιεῖτο βουλήν, τὰς δὲ γυναῖκας καὶ παῖδας ἐς τὸ ὄρος τὸ Πρασοβὸν κατεστήσατο περιποιούμενος. ἐφείπετο δὲ ὕστερον καὶ αὐτὸς τῷ Παιαζήτεω στρατεύματι διὰ τῶν δρυμώνων τῆς χώρας, οἳ δὴ πολλοί τε ἐνυπάρχουσι V.33 καὶ ἁπανταχῇ περιδέουσι τὴν χώραν μὴ βάσιμον εἶναι τοῖς ἐναντίοις μηδὲ εὐπετῆ χειρωθῆναι. ἐφεπόμενος δὲ ἀπεδείκνυτο D ἔργα ἄξια λόγου, μαχόμενός τε εἴ τι διασπασθὲν τῶν πολεμίων ἐπισιτούμενόν πῃ τῆς χώρας τράποιτο ἢ ἐπὶ ὑποζύγια ληιζόμενον, καὶ οὕτω τόλμᾳ μεγίστῃ ἐφεπόμενος τῷ στρατεύματι· περιφανῶς δὲ ἐφεπόμενον αὐτῷ διαμάχεσθαι. καὶ δὴ λέγεται διαπορευομένῳ τῷ στρατεύματι ἐπέκειτο ἐν λύπῃ πάνυ χαλεπῶς, καὶ ἐξετίθει, καὶ διαφθείρων οὐκ ἀνίει. ἔνθα Βρενέζεω θεράποντος γνώμην ἀποδεικνυμένου ὥστε ἐνστρατοπεδεύσασθαι τὸν στρατὸν αὐτοῦ καὶ ἀπαλλαγὴν εὕρασθαι, ἀπὸ τούτου μέγα τὸ ἀπὸ τοῦδε εὐδοκιμεῖν παρὰ βασι- P.42

usque ad hoc tempus in regno durarunt. contra istum Myrxam Paiazites, crimini dans quod prior incipiens bellum socia arma iunxisset Sigismundo Romanorum imperatori, cum exercitu profectus est. traiecto Istro porro progressus praedam mancipiorum multam ex ista regione rapiebat. Myrxas collecta manu non modica suorum, quomodo obviam procedere hosti praeliique potestatem facere posset, nullo modo consultabat. uxores et liberos deponens in montem Prasobum, sequebatur Paiazitis exercitum per glandiferas istius regionis silvas; quae cum plurimae ibi sint, regionem ambiunt, adeo ut eam difficilem accessu hostibus praestent captuque haud facilem. Myrxas sequens Paiazitis exercitum insignia virtutis opera faciebat, impigre cum hostibus manus conserens, sicubi avulsi erant ab reliquo exercitu, aut sicubi frumentatum aut ad praedas pecoris agendas se convertissent. et in hunc modum sequens hostilem exercitum, magna audacia fretus, ex aperto cum hoste conflixit. aiunt Myrxam transeunti exercitui graviter institisse; cumque foret in loco admodum difficili, hostilis exercitus eum adortus est; nec cessavit hostem fortiter mactare. ibi Brenezes regius minister cum bonum dedisset consilium, videlicet ut castra eo loci communirent, mali liberationem invenerunt. ex hoc tempore longe gratissimus fuit regi Brenezes,

λεῖ, καὶ ἐς στρατηγίας χρηματίζοντα ὑπὸ βασιλέως ἐπὶ μέγα χωρῆσαι δυνάμεως. τότε μὲν οὖν αὐτοῦ Παιαζήτης ἐνηυλίσατο, ἐπισχὼν τὴν ἡμέραν ἐκείνην· τῇ δ' ὑστεραίᾳ διεπόρθμευσεν ᾗ ἐδύνατο ἀσφαλέστατα τὸν στρατὸν διὰ τοῦ Ἴστρου.

Οὕτω μὲν οὖν αὐτῷ ὁ ἐπὶ Δακίᾳ στρατὸς ἐπεπρήγει· μετὰ δὲ ταῦτα ἐλαύνων ἐπολιόρκει Βυζάντιον, ἀπὸ αἰτίας τοιᾶσδε. οἱ γὰρ δὴ Ἑλλήνων βασιλεῖς, ὡς αὐτῷ παραγενόμενοι ἐς τὰς θύρας παρῆσαν, καὶ συνεστρατεύοντο ἑκάστου ἔτους. καί ποτε ὄντος βασιλέως ἐν Φερραῖς τῆς Μακεδονίας χώρας καὶ διατρίβοντος, καὶ τοῦ Ἑλλήνων βασιλέως
B φοιτῶντος ἐνταῦθα ἐπὶ τὰς θύρας καὶ τοῦ τῆς Σπάρτης ἡγεμόνος καὶ Κωνσταντίνου τοῦ Ζάρκου παιδὸς καὶ Στεφάνεω τοῦ Ἐλεαζάρου, ἀφικνεῖται ἀπὸ Πελοποννήσου ὁ τῆς Ἐπιδαύρου τὸ παλαιὸν γενόμενος ἄρχων, τοὔνομα Μαμωνᾶς, ὃς ἀφικόμενος παρὰ βασιλέα Παιαζήτη ἐνεκάλει τῷ τῶν Ἑλλήνων βασιλέως ἀδελφῷ ὡς ἀφελομένῳ τήν τε Ἐπίδαυρον καὶ ποιήσαντι αὐτὸν κακά. ἤχθετό τε τῷ Ἑλλήνων βασιλεῖ Παιαζήτης. ἐνῆγε δὲ ἐς τοῦτο καὶ Ἰωάννης ὁ Ἀνδρονίκου τοῦ βασιλέως παῖς, ὃς παρὼν αὐτοῦ τὴν δίαιταν εἶχεν ἀπὸ Παιαζήτεω. καὶ δὴ λέγεται καὶ ἀνελεῖν ὡρμημένον περὶ ὁμιλίας

6. ἐπεπήγει P

electusque ab eo dux tandem maximam nactus est potentiam. Paiazites, siculi consuluerat Brenezes, eo loci castrametatus est, et quiete per eum diem exercitum recreavit. postero autem die exercitum quam potuit tutissime transmisso Istro in suam regionem reduxit.

In hunc modum exercitus, quem contra Dacos duxerat, domum reversus est. his peractis bellum movit contra Byzantium, urbemque tali de causa obsidione cinxit. Graecorum reges concesserant in potestatem Paiazitis: proinde in ianuis degebant quotannis militantes sub Paiazite, quocunque vim belli vertisset. Paiazites, cum quondam foret Pherris Macedoniae ibique moras traheret, Graecorum rex, Spartae dux, Constantinus Nazarci filius, Stephanusque Eleazari filius profecti sunt in ianuas. ibi tum ad regem Paiazitem venit Mamonas ab Peloponneso, qui quondam imperio rexerat Epidamnum; accusabatque Graecorum regis fratrem, ut qui sibi Epidamnum eripuisset et iniuriis plurimis se obruisset. Paiazites indignatione inflammabatur contra Graecorum regem. indignationem hanc regis augebat instigando Ioannes Andronici regis filius, qui praesto erat et victum apud Paiazitem habebat. ferunt quod rex conatus sit eum interficere, cum colloqueretur secum. verum cunctatus est. nec tamen multo post illum interemit. Halies Charatinis filius, qui ei admodum

ἔχοντα, μετέμελεν αὖθις οὐ πολλῷ ὕστερον. ἐπήμυνε δὲ αὐ- C τῷ τὸν ὄλεθρον Ἀλίης ὁ Χαρατίνεω παῖς, ὃς συνήθης αὐτῷ ἐτύγχανεν ὢν καὶ χρήμασιν ὡς τὰ μάλιστα ἐθεραπεύετο ὑπ' αὐτοῦ. συνιόντες δὴ οὖν ἐς ταὐτὸ οὗτοι οἱ ἡγεμόνες ἐν τῷ τότε χρόνῳ, περὶ τὰς θύρας τοῦ βασιλέως διατρίβοντες, ἐδίδοσαν σφίσι λόγους ὡς μηκέτι τοῦ λοιποῦ ἀφίξεσθαι ἐπὶ τὰς θύρας. ἐνταῦθα μὲν οὖν ἐγγυᾶται Κωνσταντῖνος ὁ Ζάρκου, Δραγάσεω δὲ ἀδελφός, ὃς ἐκείνου τελευτήσαντος τοῦ Ζάρκου ἦν ἀνδρῶν ἄριστος τὰ ἐς σύνεσίν τε καὶ πόλεμον, οὐδενὸς λειπόμενος τῶν ἐς ἐκεῖνον τὸν χρόνον, καὶ πρός τε Ἀλβανοὺς καὶ Τριβαλλοὺς πολέμους διαπολεμῶν χώραν τε αὐτῷ ὑπηγάγετο οὐ φαύλην, καὶ ἐπὶ τῇ τελευτῇ αὐτοῦ Κωνσταντῖνος ὁ ἀδελφὸς αὐτοῦ κατέσχε τὴν χώραν καὶ ἐφοίτα ἐς τὰς βα- D σιλέως θύρας. οὗτος ἐγγυᾶται τὴν θυγατέρα τῶν Ἑλλήνων βασιλεῖ, ὥστε ἐμπεδοῦναι σφίσιν αὐτοῖς ὅσα συνέθεντο ἐς τὴν ἀπόστασιν. ἠγάγετο μέντοι οὗτος Ἐμμανουῆλος καὶ πρότερον τὴν τοῦ βασιλέως Κολχίδος θυγατέρα χηρεύουσάν τε, Ζετίνεω δέ τινος Τούρκων ἡγεμόνος γυναῖκα γενομένην, κάλλει τε διαφέρουσαν. ταύτην γὰρ ὡς ἠγάγετο ἀπὸ Κολχίδος ἐς Βυζάντιον, θεασάμενος ὁ πατὴρ αὐτοῦ τότε βασιλεύων, ὡς ἐδόκει αὐτῷ κάλλει τε γυναικῶν πολλῶν εἶναι καλλίστη καὶ τοῖς ἄλλοις ᾗ ἐλέγετο ὑπερφέρουσα, ἑαυτῷ τε ταύτην ἠγάγετο, ἀφελόμενος τοῦ παιδός. ἦν δὲ καὶ ἐν νόσῳ τῇ ποδαλγίᾳ διε-

1. ἀπήμυνε? 11. πολεμίους P: corr H 15. ἐμπεδοῦν? an ἐμπεδοῦσθαι?

familiaris erat multisque opibus ab eo donatus. convenientes igitur in unum duces illi, cum ea tempestate in ianuis agerent, consilium inibant non amplius redeundi in ianuas. Constantinus Zarci filius Dragasisque frater scientia militari facile omnes excellebat, nec ulli prudentia credebatur tum temporis secundus. is bello adortus Albanos et Triballos hostes, in dicionem accepit regionem haud poenitendam. quo mortuo Constantinus frater regionem obtinuit, ianuasque frequentare coactus est. hic promittit Graecorum regi filiam se desponsurum, si rata manserint ea quae super defectione convenerint. duxerat iste Emanuel iam ante regis Colchorum (qui et Trapezuntis imperator) filiam viduam, quae fuerat Zetinis Turcorum cuiusdam ducis uxor, forma supra modum venusta. quam cum Byzantium a Colchide adduxisset, videns eam pater forma praeditam excellenti, necnon aliis excellere quae in muliere dicuntur bona, non dubitavit eam auferre filio sibique connubio iungere. erat autem is adeo adflictus podagra, ut ne stare quidem erectus potuerit. ferunt hunc insanientem amore muliebri plurima indecora commisisse; delectatumque psal-

V. 34 φθαρμένος, ὥστε μηδ' ὀρθούμενον στῆναι οἷόν τ' εἶναι. λέγε- P. 43 ται δὲ οὗτος ταῖς γυναιξὶν ἐπιμαινόμενος κατὰ πολὺ ἄττα ἀπρεπῆ ἐξενεχθῆναι, ἡδόμενος ταῖς τε ψαλτρίαις καὶ συγγενόμενος ἀποθέσθαι τὴν ἐργασίαν τῆς βασιλείας ἐν ὀλιγωρίᾳ πεποιημένος, γανύμενός τε περὶ τὰ τοιαῦτα. οἱ μὲν οὖν ἡγεμόνες ἐν ταῖς θύραις ὄντες τοῦ Παιαζήτεω συνετίθεντο ἀλλήλοις ὡς ἀποστησόμενοι γενομένης τῆς ἐπιγαμίας· μετὰ δὲ ταῦτα, ὡς εἶχεν ἕκαστος, ἀπηλλάττετο ἐπὶ τὴν ἑαυτοῦ χώραν. καὶ βασιλεὺς μὲν Ἑλλήνων, διαφυγὼν βασιλέα Τούρκων, ἀφικνεῖται ἀπὸ Φερρῶν ἐς Βυζάντιον τεταρταῖος, ᾗ λέγεται, B Θεόδωρος δὲ ὁ ἀδελφὸς αὐτοῦ ἀφίκετο ἐπὶ Πελοπόννησον. καὶ οἱ λοιποὶ δὲ ὡς ἕκαστος ἀπήλαυνεν ἐπὶ τὰ ἑαυτοῦ, ἐπιτραπέντες ἰέναι ὑπὸ βασιλέως ἐπὶ τὰ ἑαυτῶν ἤδη ἕκαστος. ὕστερον μέντοι, [ὡς] τοῦ ἐπιγιγνομένου θέρους, ὡς οὐ παρεγένετο Βυζαντίου βασιλεὺς ἐπὶ τὰς θύρας καὶ ἠγγέλλετο τῷ Παιαζήτῃ μηδὲ ἐλθεῖν τοῦ λοιποῦ ἔτι διανοούμενος, ἐπιπέμψας Ἀλίην τὸν Χαρατίνεω, ἄνδρα δὴ τῶν παρ' ἑαυτῷ μέγα δυνάμενον, ἐπέτελλε παρεῖναι αὐτὸν ἐς τὰς θύρας παραγενόμενον· εἰ δὲ μή, πόλεμον προαγορεύειν αὐτῷ βασιλεῖ. ἐλθὼν μέντοι οὗτος ὁ Ἀλίης ἐς τὸ Βυζάντιον δημοσίᾳ μὲν ἔλεγε τὰ ἐπεσταλμένα αὐτῷ ὑπὸ βασιλέως, ἐχρημάτιζε δὲ αὐτῷ, ὡς C ἔνιοι λέγουσιν, ἰδίᾳ συγγενόμενος, μηδαμῶς ἐλθεῖν ἐπὶ τὰς

1. μὴ διορθούμενον P   2. πολλὰ H   22. συγγενόμενον P

triis, harumque consuetudine delinitum, curam decenter administrandi regni negligenter omisisse. postquam nuptiae, ut convenerat, intercessissent, duces ad defectionem adspirant, cum singuli, quantum possent, ad suam regionem dilaberentur. rex Graecorum fugiens Turcorum regem quarto die a Pherris Byzantium, ut perhibent, pervenit. Theodorus huius frater venit in Peloponnesum. reliqui quoque, impetrato a rege commeatu, ad sua redierunt. appetente deinde aestate, Byzantii rex cum se non conferret in ianuas, nunciareturque Paiaziti ipsum nunquam deinceps in ianuas affuturum, decrevit mittere Byzantium Haliem Charatinis filium, cui plurimum fidebat. huic praecepit ut iuberet Graecorum regem venire in ianuas: si renueret, renuenti illico bellum indiceret. Halies autem cum appulisset Byzantium, publice quae habebat mandata regi exponit: privatim vero regi consuluit, in colloquium admissus, ne ianuas adiret. Emanuel respondit se imperata promptissime facturum, sibi vitam non amplius suavem fore dicens, si offendisset regem: se brevi in ianuas, iuxta praeceptum regis, adventurum. deinde abeunte Halie, cûm iam constaret eum nequaquam reversurum in ianuas, arma adversus eum arripuit Byzantiumque oppugnavit. cum eo cum exercitu pergeret, terram

βασιλέως θύρας. Ἐμμανουῆλος μὲν ἀπεκρίνατο ὡς πείθεσθαί τε ἕτοιμος εἴη καὶ βασιλεῖ· μὴ θαρρῶν οὐκέτι βιωτὸν τὸν βίον αὐτῷ ἡγήσαιτο, ἀλλ' ὡς ἐν βραχεῖ παρεσόμενον ἑαυτὸν ὑποδέχοιτο τῷ βασιλεῖ, ᾗ ἂν παραγγέλλοι. ὕστερον μέντοι ἀπιόντος Ἀλίεω, ὡς Παιαζήτῃ δῆλα καθεστήκει μηδὲ διανοεῖσθαι αὐτὸν ἰέναι ἐπὶ τὰς θύρας, ἐπήλαυνέ τε καὶ ἐπολιόρκει Βυζάντιον. ἐπελαύνων δὲ τήν τε γῆν ἔκειρε καὶ τὴν χώραν ἑκάστην ἐδῄου, καὶ κώμας ἀνδραποδισάμενος τὰς προαστειούς, ὡς οὐδὲν προεχώρει ἡ τοῦ ἄστεος αἵρεσις, ἀπεχώρησεν αὐτὸς ἐπ' οἴκου. ἐπιπέμπων δὲ στράτευμα πανταχῇ ἀνὰ πᾶν ἔτος ἐπολιόρκει τὴν μακρὰν γενομένην πολιορκίαν ἐπὶ δέκα ἔτη, ἐν οἷς πολλά τε τῆς πόλεως ταύτης ἀπεγένετο ὑπὸ D λιμοῦ διαφθαρέντα καὶ ἐπὶ τὸν βάρβαρον ἀπιόντα. τὴν μὲν οὖν Σηλυβρίαν αὐτὸς κατεῖχε Παιαζήτης, ἐπετρόπευε δὲ ταύτης Ἰωάννης ὁ Ἀνδρονίκου παῖς, ὃς διαφυγὼν ἀπὸ Βυζαντίου τὸν πατρωόν, ὡς οὐχ ἠδύνατο, παρεῖχεν αὐτὸν ἐς ὅ τί περ ἂν αὐτῷ χρήσαιτο ὁ πατρωὸς Βυζαντίου τότε βασιλεύων. ὁ δὲ πέμπων αὐτὸν ἐς Ἰταλίαν, διαπραξάμενον αὐτὸν ὅσα γε δὴ ὑπετίθετο, ἔπεμπε παρὰ Ἰαννυΐους ἐπικουρίας δεησόμενον δῆθεν· κρύφα δὲ πέμπων τοῖς Ἰαννυΐοις ἐπέτελλεν ἐν φυλακῇ τε ἔχειν αὐτὸν μηδαμῇ μεθιέντας. ὁ δὲ χρόνου ἐγγινομένου διαφυγὼν τοὺς Ἰαννυΐους, καὶ ἀπὸ Ἰταλίας ἀνέβη P. 44 παρὰ βασιλέα Παιαζήτην, ὃς πολιορκῶν Βυζάντιον καὶ ἄγων αὐτὸν τήν τε Σηλυβρίαν παρεστήσατο ὁμολογίᾳ καὶ ἐπέστησεν

3. ἡγήσατο P   4. ᾗ H, ῇ P   14. Συλληβρίαν P

eorum singulasque regiones gravissima vastitate afflixit, suburbanaque omnia diripuit. urbis oppugnatio cum ei non succederet, reversus est domum; singulisque annis mittebat exercitus, peragebatque longam illam obsidionem, quae decennio duravit. haec obsidio plurimum damni Byzantiis invexit: plurimi namque fame necati sunt, plurimi quoque desciverunt ad barbarum. Syllebria in potestatem Paiazitis venit. huius moderator erat Ioannes Andronici filius, qui fugiens Byzantio, ne incideret in patrui iras Byzantium regentis, cum fuga neutiquam sibi consulere posset, se ipse patruo tradidit, ut eo ad suum uteretur arbitrium. patruus eum misit in Italiam; ubi cum imperata exequutus esset, legatus ire iussus est ad Ianuenses, auxilium oraturus; quibus tamen occulte nuntium miserat, ut Ioannem advenientem in vincula coniicerent nec quoquam abire paterentur. hic tandem interiecto tempore, cum diu in carcere latuisset, erupit; carcereque liberatus, relicta Italia, contendit ad regem Paiazitem, ea tempestate Byzantium oppugnantem; a quo amice susceptus est, et

ἄρχοντα. μετὰ δὲ ταῦτα ἐλαύνων ἐπὶ Βυζάντιον, ὡς οὐ
προεχώρει αὐτῷ ἡ Βυζαντίου αἵρεσις προσβαλόντι, λιμῷ ἐξε-
πολιόρκει. καὶ εἷλεν ἂν τὴν πόλιν, εἰ μὴ ὁ Τεμήρης ἐλαύ-
νων μεγάλῃ χειρὶ ἠγγέλλετο ἐπ' αὐτόν, ὅτε δὴ καὶ αὐτὸς
ἑάλω ὑπὸ Τεμήρεω καὶ τὰ πολλὰ τῆς ἀρχῆς αὐτοῦ ἀπώλετο
τῆς ἐν τῇ Ἀσίᾳ.

Ὡς μὲν οὖν τὸ Βυζάντιον Παιαζήτης πολιορκῶν οὐκ
ἀνίει, καὶ ἔγνω βασιλεὺς Ἑλλήνων τόν τε λεὼν τετρῦσθαι ἐς
V. 35 τὸ χαλεπώτατον, καὶ οὐκ εἶχεν ὅπως τοῦ κακοῦ ἐξαπαλλαγῇ,
B ἐπέτρεψέ τε τὸ Βυζάντιον τῷ ἀδελφιδῷ Ἰωάννῃ, τῷ Ἀνδρο-
νίκου παιδί. ὡς γάρ οἱ ἤχθετο Παιαζήτης ὅτι δι' αὐτὸν οὐ
προεχώρει ἡ Βυζαντίου αἵρεσις, καὶ ἐν ὑπόπτῳ καθειστήκει,
ἀποφυγὼν βασιλέα ἐσῄει ἐς Βυζάντιον. καὶ αὐτὸν ἄσμενός
τε ἐδέξατο ὁ πατρῷος βασιλεὺς Βυζαντίου, καὶ τὴν πόλιν
ἐπιτρέψας ᾤχετο ἀποπλέων ἐπὶ Ἰταλίαν, ἐπικουρίας δεησόμε-
νος ἐς τὴν ὑπὸ τῶν πολεμίων πολιορκίαν μακρὰν καθεστη-
κυῖαν, μὴ περιιδεῖν τὴν πόλιν ἀπολλυμένην. ὡς δὲ κατὰ τὴν
Πελοπόννησον ἐγένετο, κατέθετο μὲν αὐτοῦ ἐν Πελοποννήσῳ
τὴν γυναῖκα αὐτοῦ παρὰ τῷ ἀδελφῷ, αὐτὸς δὲ ἀπέπλει ἐς
C Ἰταλίαν. τραπόμενος δὲ ἐπὶ Οὐενετῶν καὶ χρηματίσας αὐ-
τοῖς ὅσα ἠβούλετο, ᾤχετο ἐπὶ τὸν Λιγυρίας τύραννον, Με-
διολάνου δὲ ἡγεμόνα· ὁ δὲ φιλοφρονησάμενός τε αὐτὸν τὰ

exercitu armato Syllebriam pactionibus in dicionem accepit, Ioannemque eidem rectorem dedit. reversus Byzantium, cum eam urbem vi expugnare non posset, fame eos debellandos esse statuit. urbem eam certe cepisset, nisi Temires nuntiatus esset magna manu adversus ipsum adventare. quod quidem eo tempore accidit, quando a Temire Paiazites captus pleraque Asiani imperii amisit.

Paiazites cum nihilominus a Byzantii oppugnatione cessaret, sciretque Graecorum rex suas copias in artum coactas, nec posset invenire huic urgenti malo remedium, Byzantium patrueli suo Andronici filio Ioanni commisit. nam Ioanni huic graviter iratus erat Paiazites, quasi ipse in causa esset quominus Byzantium in dicionem veniret. laborans igitur sinistra apud regem Paiazitem suspicione, ne eius iram experiretur, fuga se Byzantium recepit. huius adventus patruo Byzantii regi perquam gratus extitit, qui urbem patruelis fidei commendans navigavit in Italiam, petiturus auxilium contra longam illam obsidionem, ne videlicet urbem istam insignem pereuntem negligeret. cum venisset in Peloponnesum, uxorem suam deposuit apud fratrem, ipseque conscensa navi iter in Italiam maturavit. cum adiisset Venetos, iisque quae vellet explanasset, iter ad Liguriae principem Mediolanique ducem instituit; a quo comiter exceptus, pecunia equis

εἰκότα, καὶ χρήματα παρεχόμενος, ἀπέπεμψεν ἐπὶ τῶν Κελτῶν βασιλέα, ἵππους τε αὐτῷ παρεχόμενος καὶ τῆς ὁδοῦ ἡγεμόνας. ὡς δὲ ἐγένετο ἐπὶ τὸν Γαλατίας βασιλέα, ἐδεῖτο αὐτοῦ μὴ προέσθαι πόλιν βασιλίδα Ἑλλήνων ὑπὸ βαρβάρων πολιορκουμένην, προσήκουσαν ἀγχοτάτω τῷ βασιλέων Γαλατίας οἴκῳ. τοῦτον οὖν μεμηνότα εὑρὼν καὶ ἐν φυλακῇ ὑπὸ τῶν ἀρίστων κατεχόμενον ὥστε θεραπεύεσθαι τὴν νόσον αὐτοῦ, διέτριβεν αὐτοῦ ἐπὶ συχνόν τινα χρόνον. Κελτῶν δὲ τὸ γένος τοῦτο μέγα τε ὂν καὶ ὄλβιον καὶ παλαιόν τε καὶ ἐφ' D ἑαυτῷ μέγα φρονοῦν, ὑπερέχειν τε τῶν ἄλλων τῶν πρὸς ἑσπέραν ἐθνῶν, ἀξιοῦν ἑαυτῷ μετεῖναι τῆς ἡγεμονίας τε καὶ Ῥωμαίων βασιλείας. ἔστι δ' ἡ χώρα αὐτῶν πρὸς ἕω μὲν τῇ Λιγύρων χώρᾳ, πρὸς μεσημβρίαν δὲ τῇ Ἰβηρίᾳ, καὶ πρὸς ἄρκτον τῇ Γερμανίᾳ, καὶ πρὸς ἑσπέραν τῷ ὠκεανῷ καὶ ταῖς Βρετανικαῖς νήσοις· διήκει δὲ ἀπὸ Ἄλπεων τῶν ἐκτὸς Ἰταλίας ἔστε ἐπὶ ὠκεανὸν καὶ ἐπὶ Γερμανοὺς ὁδὸν ἡμερῶν μάλιστα ἑπτακαίδεκα, ἀπὸ Ἰταλίας ἐς ὠκεανόν, ἀπὸ δὲ Ἰβηρίας ἐπὶ Γερμανίαν ὁδὸν μάλιστά πῃ ἐννεακαίδεκα. ἔστι P. 45 δὲ Παρίσιον πόλις ἐν ᾗ τὰ Κελτῶν βασίλεια, εὐδαιμονίᾳ τε καὶ ὄλβῳ προφέρουσα. καὶ πόλεις οὐκ ὀλίγαι τῆς Γαλατίας, ὑπ' αὐτῷ δὴ τῷ βασιλεῖ ταττόμεναι ἐς τὴν σφῶν διοίκησιν. εἰσὶ δὲ ἡγεμονίαι τε καὶ ἡγεμόνες δυνάμει τε προύχοντες καὶ ὀλβιώτατοι, ὑπ' αὐτῷ δὲ τῷ βασιλεῖ ταττόμενοι

10. φρονοῦν H, φρονῶν P 12. χώρα] χώρᾳ ὅμορος?

viaeque ductoribus oblatis, missus est ad Galliarum regem. cum processisset in conspectum Gallorum regis, rogavit ne Byzantium urbem Graecorum regiam, genere Galliarum regibus iunctam, in summum discrimen deductam despiceret. regem autem Gallorum invenit furiosum et diligenti custodia ab optimatibus asservatum, donec morbus curaretur rexque sanitatem reciperet: longo igitur tempore ibi haesit. gens Gallorum est admodum antiqua opulentaque. proinde cum nimium sibi tribuat, eo quod superet reliquas Occidentis gentes, etiam Romani imperii moderamen sibi vindicant. horum regionis terminus Orientalis est Ligurum regio, meridionalis Hispania, septentrionalis Germania: versus Occidentem Oceano Britannicisque clauditur insulis. longitudo eius colligitur ab Alpibus, quae sunt extra Italiam, usque ad Oceanum et Germanos itinere maxime decem et septem dierum, ab Italia usque ad Oceanum; ab Hispania usque in Germaniam se extendit itinere maxime decem et novem dierum. Lutetia, ubi regni sedes, divitiis opibusque et reliqua felicitate excellit. sunt quoque in ista regione urbes non paucae regi subiectae, quae propriis reguntur legibus. ducatus et duces istius regionis ditissimi et

καὶ ἐς τὰ βασίλεια παραγινόμενοι αὐτῷ, ὅ τε τῆς Βουργουντίας ἡγεμὼν χώρας πολλῆς τε καὶ μεγάλης, καὶ πόλεων ἄλλων τε καὶ τῆς Βρουγίων πόλεως καὶ Κλοζίων παραλίων καὶ Γαντύνης πόλεως εὐδαίμονός τε καὶ μεγάλης καὶ μεσογαίου.
B *ἔστι δ' αὐτῷ ἡ Βρουγίων πόλις πάραλος παρὰ τὸν ὠκεανόν, ἀντικρὺ τῆς Βρετανικῆς Ἀγγλίας οὕτω καλουμένης νήσου, ἐς ἣν ὁρμίζονται νῆες ἀπό τε τῆς ἡμετέρας τῆσδε θαλάσσης καὶ ἀπὸ τῶν ἐς τὸν ὠκεανὸν πόλεων τῆς τε Γερμανίας Ἰβηρίας Ἀγγλίας Δακίας καὶ τῶν λοιπῶν δυναστειῶν. διέχει δὲ αὕτη ἡ πόλις ἀπὸ Ἀγγλίας σταδίους πεντήκοντα καὶ ἑκατόν. ἡ δὲ χώρα αὕτη καλεῖται Φλανδρία, καὶ εἰσὶ τούτοις τοῖς ἡγεμόσι Βουργουντίας ἔργα ἀποδεδειγμένα ἄξια λόγου ἐς τὴν Κελτικὴν χώραν πρός τε αὐτὸν βασιλέα τῆς Γαλατίας καὶ πρὸς τοὺς Βρετανούς. μετὰ δὲ ταῦτα ἡγεμὼν ἐπὶ τῆς ἠπεί-*
C *ρου Βρετανίας ἔχεται ἐκ τῆς γῆς τῆς τοῦ βασιλέως χώρας. ἐπὶ δὲ τούτοις ἡγεμὼν τῆς . . . . τούτων δὲ ἔχεται χωρῶν ἡγεμόνος Σαβωΐας χώρα, μεγάλη τε καὶ ὑπερκαλλής, ἐπὶ Λι-*
V. 36 *γυρίαν καθήκουσα. πρὸς δὲ τὴν πάραλον χώραν τῆς Γαλατίας ὧδε ἄν μοι διακέοιτο πρὸς ἱστορίαν. ἡ μέντοι Ἰανύη πύλη τις οὖσα τῆς Γαλατίας ἐπέχει χώραν, ἐπὶ τὴν Προβεντζίαν καθήκουσα, ἧς ἄρχει ὁ τοῦ οἴκου τοῦ βασιλέως τῆς Γαλατίας Ῥογέριος βασιλεύς. ἦν μητρόπολις ἡ Νίτια Προ-*

1. *παραγενόμενοι* P 14. *Βρετανιούς* P *ἐπὶ τῆς*] *τῆς ἐπὶ*?

opulentissimi, qui regi parent, semper in aulam eius accedentes. horum de grege est Burgundiae dux, imperitans regioni magnae necnon urbibus plurimis; inter quas etiam recensetur Brugensium urbs et Cloziorum maritimorum, necnon Gantyna, urbs magna et florens opibus. est autem Brugensium urbs maritima, Oceano adiacens e regione Angliae, insulae sic appellatae; ad quam et naves a nostro mari et ab urbibus in Oceanum vergentibus, ab Germania Hispania Anglia Daciaque et a reliquis regionibus appellunt. Flandria isti regioni nomen est. extant autem Burgundiae ducum egregia facinora, edita adversus Galliam Galliaeque regem, praeterea adversus Anglos. postea dux continentis Britannicae finitimus est, prodiens ex ea terra quae pertinet ad regionem regis. ultra hos conterminus est dux * * * * his regionibus adnexa est Sabaudia, regio amplissima et pulcherrima, ad Liguriam usque excurrens. quantum autem spectat ad maritimam Galliae regionem, in hunc modum mihi ad praesentem historiam adhibita sit. at ianua, quae est quasi porta Galliae, amplectitur regionem quae versus Provinciam vergit, quam imperii habenis temperat Rogerius rex, ortus ex inclyta Galliae regum prosapia. Nicia metropolis est Provinciae. hinc sequuntur et aliae urbes, inter

βεντζίας. πόλεις δὲ ἔχονται ἥ τε Ἀβινιὼν πόλις, καθ' ἣν γέφυρα ἐπέστη μεγάλη δὴ τῶν κατὰ τὴν οἰκουμένην, ἔστε ἐπὶ Βαρκενώνην χώραν ἐλθεῖν.

Αὕτη μὲν οὖν ἡ χώρα τῆς Γαλατίας, ὡς συνελόντι διεξιέναι· τὸ δὲ γένος τοῦτο Κελτῶν λέγεται παλαιόν τε καὶ D ἔργα πρὸς τοὺς ἀπὸ Λιβύης βαρβάρους ἀποδεδειγμένον λαμπρά, καθ' ὃν δῆτα χρόνον βασιλεῖς Ῥωμαίων καὶ αὐτοκράτορες ἀπεδεικνύοντο οἱ τῶν Κελτῶν βασιλεῖς. Κάρουλον δὲ μάλιστα δὴ τῶν βασιλέων τούτων τὸν πρὸς τοὺς Λίβυας πόλεμον ἀνελόμενον, συνεπιλαμβανομένου τοῦ τε ἀδελφιδοῦ αὐτοῦ Ὀρλανδίου, ἀνδρὸς τόλμῃ τε καὶ ἀρετῇ τὰ ἐς στρατὸν ἐπισήμου γενομένου, καὶ Ῥινάλδου καὶ Ὀλιβερίου καὶ ἄλλων τῶν ταύτῃ ἡγεμόνων, Παλατίνων καλουμένων, συνδιαφερόντων αὐτῷ τὸν πόλεμον, καὶ πολλαχῇ κατὰ τὴν Γαλατίαν μὲν πρῶτα, μετὰ δὲ ταῦτα κατὰ Ἰβηρίαν τρεψάμενον τοὺς ἐναντίους νίκας ἀνελέσθαι περιφανεῖς. καὶ κλέος αὐτῶν ἀνὰ Ἰταλίαν καὶ Ἰβηρίαν καὶ δὴ καὶ Γαλατίαν μέγα ἐς τόδε ἀεὶ εὐφημούμενον ᾄδεται ὑπὸ πάντων. Λίβυες γὰρ διαβάντες τὸν P. 46 πρὸς Ἡρακλείους στήλας πορθμὸν κατέσχον τε κατὰ βραχὺ προϊόντες τὴν Ἰβηρίαν, μετὰ δὲ ταῦτα Ναβάρρην τε χειρωσάμενοι καὶ Πορτουγαλλίαν χώραν, ἔστε ἐπὶ Ταρακῶνα ἐλαύνοντες, τὰ ἐς τήνδε αὖ τὴν χώραν καταστρεψάμενοι ἐσέβαλον ἐς τὴν Κελτικήν. Κάρουλος μὲν οὖν καὶ οἱ σὺν αὐτῷ πόλε-

17. τόνδε P

quas commemoratur Tabiniorum urbs, quae pontem habet maximum eorum qui in orbe sunt, qua patet aditus ad Barcenonem regionem.

In hunc modum, quantum breviter potui, descripta sit Gallia. vetustate dicunt gentem hanc plurimum excellere, praeterea saepius magna cum gloria fudisse barbaros ex Libya profectos, praesertim eo tempore quo Gallorum reges et Caesares imperiique Romani reges eligebantur. Carolum autem ferunt prae reliquis regibus strenue rem gessisse adversus Poenos (qui et Saraceni); cui auxilio venere Orlandus vir eximia fortitudine scientiaque militari illustris, et Rinaldus Oliberiusque, nec non alii duces Palatini nuncupati. qui ubique, cum in Gallia tum in Iberia, fugantes hostes plurimas insignes nacti sunt victorias. eorum gloria adhuc hodie laudibus apud Italos Gallos Hispanosque celebratur. Poeni enim ea traiicientes ubi Herculis columnae visuntur, incursionem fecerunt in Iberiam, quam summa celeritate occuparunt. hinc Navarram capientes, Portugalliaeque regionem qua patet usque ad Tarraconem, et quae ad hanc pertinent, subigentes, devenerunt et in Galliam. Carolus cum suis obviam his

μον ἐξενεγκόντες πρὸς τούσδε τοὺς Λίβυας μεγάλα ἀπεδείκνυντο ἔργα, ἄνδρες γενόμενοι ἀγαθοί, καὶ τῆς τε Κελτιβήρων καὶ Κελτικῆς χώρας ἐξελάσαντες ἐς τὴν Γρανάτην πόλιν ὀχυρωτάτην ἐπὶ τοῦ ὄρους τοῦ ἐς ὠκεανὸν καθήκοντος. παρ' B αὐτὸν δὲ τὸν πορθμὸν κατὰ βραχὺ προϊόντες τήν τε Ἰβηρίας χώραν πολλὴν κατασχόντες ᾤκουν καὶ συνελαύνοντες ἐπολιόρκουν. καὶ τήν τε χώραν ἀπεδίδοσαν τοῖς ἑαυτῶν προσήκουσι, τὴν Ἰβηρίαν καὶ Ναβάρην καὶ Ταρακῶνα, καὶ τοὺς σφῶν αὐτῶν προσήκοντας ὑπὸ βαρβάρων πολιορκουμένους ἀπέλυόν τε τῆς πολιορκίας, καὶ τὴν χώραν ἐπιδιελόμενοι σφίσιν ᾤκουν, ἀπολαβόντες ἕκαστος τὸ ἀνῆκον αὐτῷ μέρος. καὶ οὗτοι μὲν ταύτῃ κάλλιστα θέμενοι τὸν πόλεμον ἐς τόδε ἀεὶ ὑμνοῦνται ὡς ἄνδρες γενόμενοι ἀγαθοί. καὶ Ὀρλάνδον μὲν τόν γε στρατηγὸν ὑπὸ δίψους ἐκπολιορκηθέντα ἀποθανεῖν, C Ῥινάλδον δὲ διαδεξάμενον τὸν πόλεμον καταλιπεῖν τοῖς Ἰβηρίας βασιλεῦσιν. οἱ δὲ διαδεξάμενοι τόνδε τὸν πόλεμον ἐς ἔτι καὶ νῦν τοὺς Λίβυας τούτους ἄγειν καὶ φέρειν νομίζουσι. τὸ δὲ γένος τοῦτο Λιβύων γλώττῃ μὲν διαχρῆται τῇ Ἀραβικῇ, καὶ ἤθεσι δὲ καὶ θρησκείᾳ τῇ Μεχμέτεω, ἐσθῆτι δὲ τοῦτο μὲν βαρβαρικῇ τοῦτο δ' αὖ καὶ Ἰβηρικῇ.

Οἱ μὲν οὖν Κελτοὶ ἐς τοῦτο παραγενόμενοι μέγα φρονοῦσιν ἐπὶ τούτοις, καὶ γένος οἴονται τὸ ἑαυτῶν εὐγενές τε

7. ἑαυτοῦ P: corr H   13. Ὀρμᾶνδον P   15. Ῥιμαῖον P

egressus egregia facinora patravit. nam Carolus principesque quos supra nominavimus, expulerunt eos Celtiberorum et Gallorum regione. qui fugientes receperunt se in Granatam urbem munitissimam, sitam in monte qui in Oceanum se proiicit. ab isto portu paululum progressi Hispaniam bello adorti sunt, multamque nacti regionem ibi habitarunt. at Carolus principesque sui hostiliter eos persecuti sunt. regionem autem bello partam genere propinquis dederunt, Iberiam videlicet, Navarram et Tarraconem. propinquos a barbaris obsessos obsidione liberarunt. tandem regionem inter sese distribuentes, singuli partem ad se pertinentem acceperunt. qui cum in hunc modum bellum confecissent, ab omnibus etiam hodie canuntur, ut qui fuerint viri spectatae virtutis. Hormindus dux siti debellatus occubuit. Rhimaeus succedens in bellum coeptum, tandem id Hispaniae regibus reliquit. qui suscepto bello etiamnum res Poenorum agere et ferre putantur. gens ista Libyca linguam Arabicam in usu habet, moribus et religione imitantur Mechmetem: vestitu utuntur partim barbarico partim Hispanico.

Galli rebus praeclare longe lateque gestis superbientes, se nobilitate et claritate reliquas Occidentis gentes longe antecedere putant.

καὶ διαπρέπον διὰ πάντων δὴ τῶν πρὸς ἑσπέραν γενῶν. δι-
αίτῃ δὲ χρῶνται οἱ Κελτοὶ ἁβροτέρᾳ τῆς Ἰταλῶν διαίτης καὶ
σκευῇ τῇ ἐκείνων παραπλησίᾳ, φωνὴν δὲ προΐενται διενεγκοῦ-
σαν μὲν τῆς Ἰταλῶν φωνῆς, οὐ μέντοι τοσοῦτον ὥστε δόξαι D
ἑτέραν εἶναι τῆς Ἰταλῶν φωνῆς τὴν γλῶτταν ἐκείνων. ἀξιοῦσι
δὲ πρωτεύειν ὅποι ἂν παραγένωνται τῶν ἐς τὴν ἑσπέραν γε-
νῶν. ὑφίεντο μέντοι τῆς ἀγνωμοσύνης, ἐπεί τε ὑπὸ Ἄγγλων
τῶν τὴν Βρετανίαν οἰκούντων ἔθνος διαπολεμῆσαν τήν τε χώ- V. 37
ραν αὐτῶν κατεστρέψαντο, καὶ αὐτοὺς καὶ τὴν ἡγεμονίαν
ἀφελόμενοι, ἐπὶ τὴν μητρόπολιν αὐτῶν Παρίσιον συνελάσαν-
τες, ἐπολιόρκουν. τὴν δὲ αἰτίαν αὐτῶν τῆς διαφορᾶς φασὶ
γενέσθαι ὧδε. ἔστι πόλις Καλέδη οὕτω καλουμένη ἐν τῇ
παραλίῳ χώρᾳ τῆς Κελτικῆς, παρὰ τὸν ὠκεανόν, οὐ πάνυ τι
ἐπίσημος, ἐν ἐχυρῷ δὲ ᾠκημένη, ἔς γε τὸν ἀπὸ Γαλατίας P. 47
ἀπόπλουν ἐς τὴν Βρετανικὴν ἐπιτηδείως ἔχουσα, καὶ ἐν καλῷ
τοῦ πορθμοῦ ᾠκημένη παρέχεται ἐντεῦθεν ὁρμωμένοις ἐς τὴν
Κελτικὴν ἐσβαλεῖν. ταύτην τὴν πόλιν ὁ τῶν Βρετανῶν βα-
σιλεύς, τοῖς ἐν τῇ πόλει προδοσίαν συνθέμενος, εἷλεν ἐπιβου-
λῇ, καὶ κατασχὼν ἐτυράννευε ταύτης. ἀπαιτοῦντι δὲ τὴν πό-
λιν ταύτην τῷ Γαλατίας βασιλεῖ οὐκ ἔφη ἑκὼν εἶναι ἀποδι-
δόναι, καὶ φρουρὰν ἔφαινον διαπορθμεύοντες ἀπὸ τῆς νήσου
ἐπὶ τὴν πόλιν. τὴν μέντοι πόλιν ἐπελαύνων ἐπολιόρκει ἐπὶ

7. ὑπὸ om H 8. διαπολεμῆσον P: corr H 18. τῆς ἐν τῇ πόλει προδοσίας P

victus horum paulo quam Italorum delicatior: in suppellectili nullam invenias differentiam. lingua Gallorum differt a lingua Italorum, nec tamen adeo ab ea recedit ut eam aliam ab Italorum lingua dixeris. primas semper ferre volunt, quascunque Occidentis accesserint gentes. verum aliquantulum de ista inscitia remiserunt, postquam Angli, genus hominum Britanniam incolens, illam gentem debellaverunt regionemque et ipsos suae dicioni iunxerunt. cum eos regno spoliassent, exercitum Lutetiam adduxerunt, eamque urbem obsidione circumdedere. discordia autem inter Gallos Anglosque exorta huiusmodi principium habuit. urbs est, Caledam nomine vocant, sita in maritima Celticae Galliae regione, iuxta Oceanum. claritate non admodum celebris habetur: verum locus ubi aedificata est, natura censetur munitissmus. commodissime hinc ex Gallia in Britanniam navigatur. tanta quoque portus commoditas est, ut praebeat viam facilem irruendi in Galliam. rex Britannorum proditionem paciscens cum oppidanis istam urbem per insidias in potestatem accepit; captam suo imperio rexit. Gallorum regi oranti ut sibi restituatur ea urbs, respondit nunc non esse sibi in animo ut reddat

συχνὸν χρόνον· μετὰ δέ, ὡς οὐ προεχώρει αὐτῷ οὐδὲν πο-
λιορκοῦντι, ἀπήγαγε τὸν στρατὸν ἐπ' οἴκου ἀναχωρῶν. ὕστε-
B ρον δὲ ὁ Βρετανῶν πολύ τι στράτευμα ἀθροίσας, καὶ δια-
βάντες ἐς Γαλατίαν τὴν χώραν ἐδῄουν. καί πῃ συμμίξαντες
τῇ Κελτῶν μοίρᾳ οὐκ ὀλίγῃ, καὶ μαχεσάμενοι, διέφθειρον τὸ
πλέον τῆς Κελτικῆς. ἐγένετο δὲ ὧδε. ὡς ἐπὶ διαρπαγὴν τῆς
χώρας ἐτράποντο οἱ Ἄγγλοι, ἐπήλαυνον ὀπίσω ἀπάγοντες
λείαν· καταλαβόντες δὲ αὐτοὺς οἱ Κελτοὶ πρὶν ἢ φθῆναι δια-
σωθέντας ἐς τὴν Καλέδην, περιστῆσαί τε αὐτοὺς κυκλωσαμέ-
νους ἔν τινι λόφῳ. ὡς δὲ ἐν ἀπόρῳ τε εἴχοντο οἱ Βρετανοί,
μὴ οὐκ ἔχοντες ὅποι τράπωνται γενόμενοι, διεμηνύοντο ὥστε
τὴν λείαν ἀποδοῦναι καὶ τὰ ὅπλα, ἐφ' ᾧ ἐπιτραπῆναι σφί-
C σιν ἀσινέσιν ἀπιέναι ἐς τὴν ἑαυτῶν. οἱ δὲ οὐκ ἔφασαν ἐπι-
τρέπειν ἀπιέναι, εἰ μὴ δώσουσι δίκην ὧν εἰς τοὺς Κελτοὺς
ἐξυβρίσαντες τὴν χώραν αὐτῶν διαρπάζουσιν. ἐνταῦθα ὡς
ἔγνωσαν οἱ Βρετανοὶ ἐς τὸ ἔσχατον τοῦ κακοῦ ἀφιγμένοι,
μαχόμενοι τοῖς Κελτοῖς ὀλίγοι πρὸς πολλοὺς ἄνδρες ἐγένοντο
ἀγαθοί· τρεψάμενοι δὲ τοὺς ἐναντίους ἐδίωκον φεύγοντας,
καὶ διέφθειρον αὐτοῦ ταύτῃ πολλούς. Κελτοῖς δέ, φασί τι-
νες, φεύγειν αὐτοὺς ἐν ταῖς μάχαις οὐ θέμις νομίζεται, ἀλλὰ
μαχομένους αὐτοῦ τελευτῆσαι· καὶ ἀπὸ τούτου Κελτοὶ σφᾶς
ἀξιοῦσι προέχειν τῶν ἄλλων γενναιότητι καὶ ἐπισημοτάτους

7. ἀπήλαυνον? 8. ὀφθῆναι P 9. περιστῆναί? 19. Κελτοὺς P: corr H

urbem. praesidio quoque eam firmarunt Angli, traiicientes eo ab insula. at ubi Gallus copias urbi admovit, eam longo tempore obsidione pressit. postea cum oppugnatio parum procederet, exercitum reduxit domum. transeuntes itaque Britanni cum suo' rege denuo Gallorum regionem populabantur; et adcurrentes cum Gallorum manu non modica, praelium commisere, ac maximam horum partem penitus deleverunt. iu hunc modum ista clades accepta est. Angli cum ad regionis praedam essent conversi, quicquid rapuissent, portabant retro, ut in sua ea deportarent. Galli ubi deprehendissent eos in hunc modum agere, insequi statuere. priusquam tamen in conspectum hostium venissent, Angli Caledam in locum munitissimum sese receperunt. verum Galli deinceps cinxerunt eos suis copiis, constitutos in colle quondam. Angli in ancipiti versantes discrimine, et quo se verterent nescii, dicere iubent Celtis se praedam reddituros armaque tradituros, si incolumes in suam regionem redire permittantur. Galli responderunt se non prius eos dimissuros quam poenas iniuriarum vastataeque regionis dederint. hinc sentientes Britanni in extremo se versari periculo, manus conserentes cum Gallis, pauci

εἶναι ἁπάντων. τοὺς μέντοι Βρετανοὺς ἀπὸ τοῦδε ἀδεέστερον (D) ἤδη χωρεῖν ἐπὶ τὰς πόλεις τῶν Κελτῶν πολιορκοῦντας καὶ κατὰ βραχὺ προϊόντας, μαχέσασθαί τε τὴν μάχην ἐν τῷ Λύπης πεδίῳ οὕτω καλουμένῳ· ἐν ᾧ οὐδὲν πλέον ἔχοντες οἱ Ἄγγλοι τῇ προτεραίᾳ ἐνηυλίσαντο, καὶ μετὰ ταῦτα τῇ ὑστεραίᾳ μαχεσάμενοι ἐφόνευον τοὺς Κελτοὺς μαχομένους φύρδην τε καὶ ἀναμίξ, καὶ χωρὶς ὡς ἕκαστον ἐπιχωροῦντα, ὥστε ἀποθανεῖν. τὴν μέντοι χώραν σχεδόν τι σύμπασαν ὑπαγόμενοι οἱ Βρετανοὶ ἐχώρουν ἐπὶ τὰ βασίλεια, τὴν πόλιν αὐτὴν τοῦ Παρισίου. καὶ ἦσαν δὲ τὰ Κελτῶν πράγματα προσδό- (P. 48) κιμα ἐπὶ τὸν ἔσχατον ἤδη ἀφίξεσθαι κίνδυνον. δεισιδαιμονοῦσι τοῖς Κελτοῖς, ὡς τοιαύτῃ κατείχοντο συμφορᾷ, καθ' ὃν δὴ χρόνον ἄνθρωποι μάλιστα εἰώθασιν ὡς τὰ πολλὰ ἐπὶ δεισιδαιμονίαν τρέπεσθαι, γυνή τις τὸ εἶδος οὐ φαύλη, φαμένη (V. 38) ἑαυτῇ χρηματίζειν τὸν θεόν, ἡγεῖτό τε τῶν Κελτῶν ἐπισπομένων αὐτῇ καὶ πειθομένων. ἐξηγεῖσθαί τε τὴν γυναῖκα, ᾗ δὴ ἔφασκε σημαίνεσθαι ἑαυτῇ ὑπὸ τοῦ θείου, προελθεῖν τε συλλεγομένους τοὺς Βρετανοὺς καὶ ἀναμαχομένους. οὐδὲν πλέον ἐχόντων τῶν Ἄγγλων ἐπηυλίσαντό τε αὐτοῦ, καὶ τῇ ὑστεραίᾳ αὖθις, ἤδη θαρροῦντες τῇ γυναικὶ ἐξηγουμένῃ, ἐπὶ τὴν μάχην ἐπῄεσαν, καὶ μαχεσάμενοι ἐτρέψαντό τε τοὺς πολεμίους καὶ ἐπεξῆλθον διώκοντες. μετὰ δὲ ταῦτα ἥ τε γυνὴ ἀπέθανεν ἐν τῷ πολέ- (B)

18. τοὺς] ἐπὶ τοὺς?

cum multis, viros fortissimos se exhibuere. hostes fugam inire compellunt; fugientes persequuntur, plurimosque eo loci trucidant. verum quidam docent nequaquam fas esse Gallis fugere: proinde nec fuga sibi consuluisse, sed fortiter praeliantes ibi occubuisse. hinc existimant Galli se fortitudine gloriaeque splendore anteire reliquas gentes. at Britanni cum victoria essent potiti, minore iam cum metu arma movere contra Gallorum urbes, quas obsederunt; paulatimque progressi, tandem praelium fecerunt in campo Lypae (moeroris) sic dicto. verum cum eo die victoriam non essent assecuti, castris positis quieverunt. at die postero praelio redintegrato Gallos constipatos et confertos, separatos quoque, ut quemque nacti erant, neci dant. hinc regionem Galliae propemodum universam subiicientes Britanni profecti sunt contra Lutetiam regni sedem. iam periculum gravissimum Gallis impendebat: proinde ad superstitiones, ut in huiuscemodi fortunis fieri solet, convertuntur. erat mulier forma haud illiberali, quae dicebat sibi cum deo esse colloquium. haec regebat Gallos, qui ipsam sequebantur. mulier autem cum foret militiae dux, indicabat numinis indicio se scire Britannos cum exercitu accedere. commissa tandem pugna, cum victoriam Angli non essent adepti, in

μῳ τούτῳ, καὶ οἱ Κελτοὶ ἀνέλαβόν τε σφᾶς καὶ ἐρρωμενέστεροι ἐγένοντο πρὸς τοὺς Βρετανοὺς μαχόμενοι, καὶ τὰς πόλεις σφῶν ἀπολαμβάνοντες διεσώζοντο αὖθις τὴν βασιλείαν αὐτῶν, ἄχρις οὗ πολλάκις διαβάντων ἐς τὴν Γαλατίαν στρατῶν πολλῶν καὶ μεγάλων ἀπὸ Βρετανίας, μαχεσαμένους τοὺς Κελτοὺς φέρονται πλέον τῶν Βρετανῶν, ἐς ὃ δὴ συνελαύνοντες αὐτοὺς ἐς τὴν Καλέδην ἐξελάσαι αὐτοὺς ἐκ τῆς χώρας.

Βρετανικαὶ νῆσοι καταντικρὺ τῆς Φλανδρίας τρεῖς οὖσαι, ἐπὶ μήκιστον δὲ ὠκεανοῦ καθήκουσαι, ὁτὲ μὲν μία νῆσος C τυγχάνει οὖσα, ὁπότε πλημμυρία, ὁτὲ δ' αὖθις τρεῖς, ὁπότε τὰ ὕδατα ἐς ἄμπωτιν γιγνόμενα ἀναστρέφοιτο. δικαιοτέρα δ' ἂν λέγοιτο μία αὕτη ἡ νῆσος, ἐπεὶ καὶ μία τε οὖσα καὶ κατ' αὐτὸ διήκουσα πολιτεύεται, φρονοῦσά τε κατὰ ταὐτὸ καὶ ὑφ' ἑνὸς ἀρχομένη τὰ ξύμφορα ἑαυτῇ ἐπισκοπεῖ. ἔστι δ' ἡ περίοδος τῆσδε τῆς νήσου ἐς πεντακισχιλίους μάλιστα σταδίους. γένος δὲ ἐνοικεῖ τὴν νῆσον πολύ τε καὶ ἄλκιμον, πόλεις τε ἔνεισιν αὐτοῦ μεγάλαι τε καὶ ὄλβιαι, καὶ κῶμαι ὅτι πλεῖσται. ἔστι δ' αὐτοῖς βασιλεύς, καὶ μητρόπολις αὐτῶν, ἐν ᾗ καὶ βασίλεια, Λούνδρας, τοῦ βασιλέως, ὑπ' αὐτὸν δὲ ἡγεμονίαι ἐν τῇ νήσῳ ταύτῃ οὐκ ὀλίγαι, κατὰ ταὐτὰ τοῖς Κελτοῖς διατιθέμεναι τῷ σφετέρῳ βασιλεῖ· οὔτε γὰρ ἂν ῥᾳδίως ἀφέλοιτο

6. φέρεσθαι H 11. δικαιότερον? 19. Λούνδρας post αὐτῶν ponit H

castra se receperunt. postero die freti virtute mulieris, quae exercitum ductabat, praelii potestatem faciunt. eo in praelio hostes fugarunt, fugientes persecuti sunt. mulier illa in eo praelio desiderata est. at Galli cum recepissent animos, iamque fortitudinis collegissent famam, fortiter contra Britannos dimicantes urbes suas recuperarunt, regnumque tutati sunt. quamvis plurimi et maximi exercitus a Britannia in Galliam transirent, tamen Galli semper victoriam pugnantes invenere. hostes fugere coegerunt Caledam, tandemque penitus eos e Gallia pepulerunt.

Britannia et insulae tres sunt e regione Flandriae, longe lateque Oceanum occupantes. una sita est eo loci ubi maris inundatio sive aestuarium conspicitur. reliquae tres sunt, ubi aquae in gurgitem conversae revertuntur. rectius quis dixerit istas insulas unam esse, quoniam una existens; et ad eandem sese extendens, iisdem legibus et moribus iisdem gubernatur; et uni subiecta magistratui, quae sibi utilia sunt prospicit. insulae huius ambitus continet quinque maxime milia stadiorum. eam tenet gens populosa et fortis. habet urbes magnas et opibus florentes, nec non vicos quamplurimos. rex eam gentem imperio temperat. Londras regni metropolis et sedes habetur. sunt in ista regione principatus non pauci, qui

βασιλεὺς τούτων τινὰ τὴν ἡγεμονίαν, οὔτε παρὰ τὰ σφῶν ἔθιμα D ἀξιοῦσιν ὑπακούειν τῷ βασιλεῖ. ἐγένοντο δὲ τῇ νήσῳ ταύτῃ συμφοραὶ οὐκ ὀλίγαι, παραπλεούσῃ αὐτῇ, ἐς διαφορὰν ἀφικνουμένων τῶν ἡγεμόνων πρός τε τὸν βασιλέα καὶ πρὸς ἀλλήλους. ἄλλα τε καὶ δὴ φέρει ἡ νῆσος αὕτη, οἶνον δὲ οὐδαμῇ, οὐδὲ ὀπώρας πάνυ τι, σῖτον δὲ καὶ κριθὰς καὶ μέλι. καὶ ἔρια ἔστιν αὐτοῖς οἷα κάλλιστα τῶν ἐν ταῖς ἄλλαις χώραις, ὥστε καὶ ὑφαίνεσθαι αὐτοῖς πάμπολύ τι πλῆθος ἱματίων. νομίζουσι δὲ γλώσσῃ ἰδίᾳ πάμπαν, καὶ οὐδενὶ συμφέρεται ἐς τὴν φωνήν, οὔτε Γερμανοῖς οὔτε Κελτοῖς οὐδὲ ἄλλῳ οὐδενὶ τῶν περιοίκων. σκευῇ δὲ τῇ αὐτῇ χρώμενοι τοῖς Κελτοῖς, καὶ ἤθεσί τε τοῖς αὐτοῖς καὶ διαίτῃ. νομίζεται δὲ τούτοις τὰ τ' P. 49 ἀμφὶ τὰς γυναῖκάς τε καὶ τοὺς παῖδας ἁπλοϊκώτερα, ὥστε ἀνὰ πᾶσαν τὴν νῆσον, ἐπειδάν τις ἐς τὴν τοῦ ἐπιτηδείου αὑτῷ οἰκίαν ἐσίῃ καλούμενος, κύσαντα τὴν γυναῖκα οὕτω ξενίζεσθαι αὐτόν. καὶ ἐν ταῖς ὁδοῖς δὲ ἁπανταχῇ παρέχονται τὰς ἑαυτῶν γυναῖκας τοῖς ἐπιτηδείοις. νομίζεται δὲ τοῦτο καὶ ἐς τὴν Φραντάλων χώραν, τὴν ταύτῃ πάραλον, ἄχρι Γερμανίας. καὶ οὐδὲ αἰσχύνην τοῦτο φέρει ἑαυτοῖς κύεσθαι τάς τε γυναῖκας αὐτῶν καὶ τὰς θυγατέρας. Λονδρῶν δὲ ἡ πόλις δυνάμει τε προέχουσα τῶν ἐν τῇ νήσῳ ταύτῃ πασῶν πόλεων,

3. παρὰ πλείους αἰτίας? 9. συμφέρονται? 15. ἐσήει P
17. τοῖς] ἐν τοῖς P 20. ἀνδρῶν P: corr H

obtemperant regi non secus ac in Galia fieri supra memoravimus. nec quisquam rex facile his principatum eripuerit; nec praeter suas consuetudines statutaque regi obsequi tenentur. ea insula plurimas calamitates experta est, gerens inimicitias cum multis principibus, cum rege quoque inimicitias suscipiens et intestinis seditionibus interdum laborans. profert regio ista vinum nullibi; nec reliquorum fructuum admodum fertilis est. frumenti autem et hordei et mellis lanaeque plurima est affluentia, adeo ut his longe reliquis regionibus uberior sit; plurimas itaque vestes contexunt. lingua utuntur propemodum peculiari, qua nec Germanos nec Gallos nec alios finitimos populos referunt. quotidiano vitae usu, moribus quoque et victu nihil a Gallis discrepant: parva ipsis uxorum liberorumque cura est. itaque per universam insulam hic mos servatur, quando quis amici domum vocatus ingreditur, ut primum cum amici uxore concumbat, ut deinde benigne hospitio excipiatur. in peregrinationibus quoque mutuis utuntur uxoribus amici. eadem consuetudo observatur in Phrantalorum regione ibi maritima, usque ad Germaniam. nec probrosum ducunt uxores et filias in hunc modum impregnari. metropolis eius insulae viris opibus potentia reliquas ur-

ὄλβῳ τε καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ οὐδεμιᾶς τῶν πρὸς ἑσπέραν B λειπομένη, ἀνδρίᾳ τε καὶ τῇ ἐς τοὺς πολέμους ἀρετῇ ἀμεινόνων τῶν περιοικούντων καὶ πολλῶν ἄλλων τῶν πρὸς ἥλιον δύνοντα. ὅπλοις δὲ χρῶνται θυρεοῖς μὲν Ἰταλικοῖς καὶ ξί- V. 39 φεσιν Ἑλληνικοῖς, τόξοις δὲ μακροῖς, ὥστε καί ἱστῶντας ἐς τὴν γῆν αὐτοὺς τοξεύειν. ποταμὸς δὲ παρ' αὐτήν γε τὴν πόλιν ῥέων, σφοδρός τε καὶ μέγας, ἐς τὸν πρὸς Γαλατίαν ὠκεανὸν ἐκδιδοῖ, ἀπὸ τῆς πόλεως ἐς σταδίους δέκα τε καὶ διακοσίους ἐπὶ θάλασσαν, καὶ πλημμυρίᾳ ἀναβαίνειν τὰς ναῦς εὐπετῶς πάνυ ἐπὶ τὴν πόλιν· καὶ μέντοι ἐπιστρέφει τὰ ὕδατα τὰ ἔμπαλιν γινόμενα, χαλεπῶς ἐπὶ τὰ ῥεύματα ἀνιόντα, ἀντικόπτειν ἐπὶ τὴν πόλιν ἰόντα. κατὰ μέντοι ἄμπωτιν, C ἔν τε τῇ παραλίῳ χώρᾳ τῆς Γεγευτίας καὶ ἐν αὐτῇ τῇ νήσῳ, ἐς ἄμπωτιν γινομένων τῶν ὑδάτων τὰς ναῦς ἐπὶ ξηρὰν γίνεσθαι, περιμενούσας ἐς ὃ ἀναπλημμυρίζει αὖθις τὰ ὕδατα. πλημμυρεῖ δὲ ἐς τὸ μέγιστον ἐπὶ πήχεις βασιλικοὺς πεντεκαίδεκα, τοὐλάχιστον δὲ ἐπὶ ἕνδεκα. νυκτὸς μὲν οὖν καὶ ἡμέρας ἀπορρέοντα πλημμυρεῖ αὖθις ἐπανιόντα. σελήνης δὲ κατὰ μέσον οὐρανὸν γιγνομένης, ἔστε τὸν καθ' ἡμᾶς καὶ ἐς τὸν ὑπὸ τὴν γῆν ὁρίζοντα, τρέπεσθαι ἐπὶ τὴν ἐναντίαν τὰ ὕδατα κίνησιν. χρὴ οὖν διασκοπεῖσθαι περὶ τῆς κινήσεως ταύτης τῶν ὑδάτων, τῇ δ' ἐπισκεπτομένους. τὴν γὰρ σελήνην ἐπιτροπεύειν

9. πλημμυρεῖ P

bes antecedit; divitiis quoque et reliqua felicitate omnes urbes Occidentem spectantes facile superat. fortitudine et virtute bellica ea gens melior finitimis et aliis plurimis Occidentis populis censetur. quantum ad armorum habitum attinet, scuta Italica et gladios Graecos gestant. missilibus utuntur oblongis, adeo ut plerumque ea stantes in terram defigant. flumen Themesis nomine istam urbem alluit, magnum et rapidum, quod in Gallicum mare effunditur ab urbe stadiis decem et ducentis; ibique restagnat adeo ut facile navibus hinc ad urbem accedere liceat. et sane aqua refluit aegre in fluvium ascendens propter urbis obiectum, fluens per gurgitem, qui est in regione maritima Gegeutiae. ubi autem aqua in insula se receperit in gurgitem, naves in sicco destitui constat, expectantes donec inundatio aquarum solita redeat. inundatio aquae excrescit, ubi plurimum, ad cubitos regios quindecim: ubi vero minimum, ad undecim cubitorum mensuram augescit. nocte igitur et die recedentes, postea remeant aquae, idque bis in spatio viginti quattuor horarum. luna cum fuerit in medio caelo horizontis nostri et eius qui subter terram est, in contrarium motum aquae discedunt. verum ut causas huius reciprocationis investigemus, in hunc modum nos inquisitionem

τε τὴν τῶν ὑδάτων φύσιν ὑπὸ τοῦ θεοῦ τετάχθαι οἰόμεθα. οὐκ ἂν δὴ ἀσυμφώνως ἔχειν πρός τε τὴν φύσιν τε αὐτῆς D καὶ τὴν κρᾶσιν ἣν εἴληχε τὴν ἀρχὴν ὑπὸ θεοῦ τοῦ μεγίστου βασιλέως, πρὸς μὲν τὴν κίνησιν αὐτῆς μετεωρίζουσαν ἐφέλκεσθαί τε ἐφ' οἷ τὰ ὕδατα, ἐς ὃ ἐπὶ τὴν μεγίστην ἀνάβασιν γένηται τοῦ οὐρανοῦ, κἀντεῦθεν αὖθις κατιοῦσαν ἐπανιέναι τὰ ὕδατα, μηκέτι συνανιόντα αὐτῇ ἐς τὴν ἄνοδον· ἐπειδὰν δὲ αὖθις ἐς τὴν κάθοδον γινομένη ἄρξηται γίνεσθαι ἐς τὸ ἄναντες, τὸ ἐντεῦθεν αὖθις ἐπανιόντα πλημμυρεῖν. συμβαίνει μέντοι καὶ ὑπὸ πνευμάτων ἐς τοῦτο συμβαλλομένων κινεῖν ἔτι μᾶλλον τὰ ὕδατα, ὅθεν ἂν δεχόμενα ᾖ τὴν ἀρχὴν τῆς κινήσεως. φέροιτο δ' ἂν ταῦτα κινούμενα διττὴν τήνδε τὴν P. 50 κίνησιν ἐπὶ τὴν τοῦ παντὸς τοῦδε τοῦ οὐρανοῦ κίνησιν, τήν τε αὐθαίρετον καὶ δὴ βίαιον γενομένην, ὡς ἂν μὴ ἐς σύμφωνόν τινα ἁρμονίαν γινομένης τῆς κινήσεως, πολυειδῆ τε καὶ ὡς μάλιστα ᾗ ἂν τὸ ἥδιστον ἐπί τε τῇ θεωρίᾳ καὶ ὄψει καὶ ἀκοῇ, καὶ ἐς ὅρον τινὰ σύμφωνον τῇ τοῦ παντὸς τοῦδε ψυχῇ, ὡς ἂν αἰσθομένῃ μᾶλλόν τι ἐνεγκουσῶν τῶν κινήσεων καὶ ἀλλήλαις συμφερομένων ἔς τινα ὁμοειδῆ συμφωνίαν ἔχοντι ἄλλην τὸ ἥδεσθαι. ἐντεῦθεν τήν τε ψυχῆς κίνησιν, τὴν ἀρχὴν ἐκεῖθεν λαμβάνουσαν, ἐπὶ τὴν διττὴν ἐκείνην φορὰν κινεῖν αὖθις τὰ σώματα, αὔξοντά τε δὴ καὶ φθίνοντα. καὶ

5. οἷ] ᾧ P   21. τὴν] τὸ P: corr H

facere oportet. lunae sidus a deo ordinatum est, ut aquarum naturam administret. hinc credimus lunae naturam et temperaturam, quam initio a deo magno rege accepit, non abhorrere ab aquarum natura. nam cum suo motu se in altum recipiat, attrahit aquas sub se sitas, donec ad maximum sui motus ascensum pervenerit. deinde ipsa descendente aquae refluunt, non amplius quam donec fuerit in descensu ipsam sequentes. ubi autem ad ima sui cursus descenderit et in altum iterum assurgere inceperit, aquae redeuntes inundant. verum si accesserint venti, accidit ut aquae magis moveantur. undecunque tamen motus principium aquae susceperunt, constat eas duplici motu moveri, imitantes huius universi caeli motum, qui partim naturalis partim violentus censetur. itaque nisi in harmoniam anni a parte sibi consona motus iste recesserit, plurimae et variae motus species exoriuntur. et sane in primis suave speculationi iucundumque visui et auditui spectaculum fuerit, si in debitam mensuram quandam huius universi anima contracta fuerit, quasi sentiat suos motus et inter se commisceat, debitamque harmoniam, quae plurimum delectationis contineat, pulchre constituat. ab hoc motu duplici etiam anima nostra motum duplicem accipit, et dupliciter corpora movet, partim quidem

B μὲν δὴ καὶ ἐπὶ κίνησιν τήνδε τὴν ὁρμὴν ἐπιδέχεται τῷ παντὶ τῷδε συμφερομένην ἡ ἡμετέρα ψυχή. τῇ μὲν αὐθαιρέτῳ τήν τε γένεσιν καὶ αὔξησιν ἕπεσθαι ἀνάγκῃ, τῇ δ' αὖ βιαίῳ καὶ ἀκουσίῳ κινήσει τήν τε φθίσιν αὖ καὶ τελευτὴν ἐπισκομένην συμβαίνειν τοῖς τῇδε οὖσι.

Ταῦτα μὲν ἔστε τὴν τοῦ ὠκεανοῦ κίνησιν καὶ τὴν τῇδε αὖ διττὴν ζώων ἐμψύχων κίνησιν, ὅσα τε ψυχὴν ἴσχει ἐνταῦθα καὶ κίνησιν κινεῖται ἡντιναοῦν. τὰ μέντοι ἐς τήνδε τὴν θάλασσαν ὕδατα οὐ τὴν αὐτὴν ἐκείνην ἀνάγκῃ κινεῖσθαι κίνησιν, ἀλλ' ὡς ἔχει τε ἕκαστα πνευμάτων τε καὶ τόπων ἐς τὴν κίνησιν βιαζομένων αὐτά, ἢ φύσεως ἔχοι ἂν καὶ ῥοπῆς,
C πρὸς ἣν ἂν κινοῖτο δὴ ταῦτα κίνησιν.

Ταῦτα μὲν οὖν ἐς τὴν τῶν ὑδάτων τοῦ ὠκεανοῦ κίνησιν, καὶ ἐπὶ πλεῖστον δὲ τῆσδε τῆς θαλάσσης, ἐς τοσοῦτον ἀπερρίφθω· ἐπάνειμι δὲ ἐπ' ἐκεῖνα τῆς ἀφηγήσεως, ὅθεν ταύτῃ ἀπετραπόμεθα. βασιλεὺς γὰρ δὴ Ἑλλήνων, ὡς ἐπὶ τὸν βασιλέα Κελτῶν ἀφίκετο, φρενίτῃ τε ὄντα δὴ κατέλα-
V. 40 βεν, οὐκ ἐξεγένετό οἱ ὁτῳοῦν ἄλλῳ τῶν κατὰ τὴν Γαλατίαν ἡγεμόνων ὧν ἕνεκα ἀφίκετο χρηματίσαι· καὶ διὰ ταῦτα συμβουλευόντων τῶν αὐτοῦ ταύτῃ ἀρίστων ἐπέμενε θεραπευθῆναι τὸν βασιλέα, συχνόν τινα διατρίβων αὐτοῦ χρόνον. ὡς δὲ ἐπετείνετο ἐπὶ μακρότερον τοῦ νοσήματος, οὐχ οἷός τε ἦν
D ἔτι ἐπιμένειν αὐτῷ, ὑπέστρεψε διὰ Γερμανίας τε καὶ Παιο-

19. ὧν add H 23. αὐτοῦ H

ut crescant, partim vero ut decrescant. nam dum huius universi motum anima nostra comitatur, necessitas exigit ut motus naturalis generationem et augmentum, violentus vero corruptionem et interitum naturalium corporum gignat.

Haec quidem, quantum attinet ad Oceanum, et ad duplicem eorum quae animam habent motum, quocunque tandem motu impellatur, dixisse sufficiat. at humorem qui in nostro est mari, non necesse est isto agitari motu: verum pro natura ventorum et locorum, quibus opportunus est, motus ciere solet humor.

Illa commemoravimus hactenus, quia spectare visa sunt praecipue ad Oceani reliquorumque marium plerumque motum. nunc unde digressi sumus, redeundum est. rex Graecorum cum in Galliam venisset, regem Gallorum phrenesi laborantem offendit; nec potuit a quoquam Galliae ducum impetrare ea propter quae iter in Galliam intenderat. quapropter consulentibus id optimatibus, qui ibi erant, moras trahere statuit, donec rex curareretur. cum autem morbus in longum protraheretur, manere diutius non fuit ausus. proinde transita Germania et Pannonia domum rediit. Paiazites ea tempestate

νίας. Παιαζήτης δὲ τότε Βυζάντιον ἐπολιόρκει προσέχων ἐντεταμένως, καὶ ἐπὶ Πελοπόννησον πέμψας στρατόν, ἀποχρούσων μυριάδας πέντε, καὶ Ἰαγούπην τὸν τότε αὐτῷ Εὐρώπης στρατηγόν, αὐτὸς εἶχεν ἀμφὶ τῇ ἑαυτοῦ ἀρχῇ τῇ περὶ τὸ Βυζάντιον. Ἰαγούπης μὲν σὺν τῷ Βρενέζῃ, τότε δὴ ἀρξαμένῳ εὐδοκιμεῖν, ἐσέβαλον ἐς τὴν Πελοπόννησον· καὶ Βρενέζης μὲν πολλάκις ἐσβαλὼν καὶ τότε καὶ μετὰ ταῦτα ἐδῄου τὴν Πελοπόννησον, ἀλλὰ καὶ τὰ περὶ Κορώνην τε καὶ Μεθώνην χωρία, Ἰαγούπης δὲ ὁ τῆς Εὐρώπης ἡγεμὼν ἀφικόμενος ἐς τὸ Ἄργος ἐπολιόρκει. τὸ δὲ Ἄργος τοῦτον τὸν χρόνον κατεῖχον. ἀπέδοτο δὲ Θεόδωρος ὁ τῆς Σπάρτης ἡγεμών, P. 51 ὡς ἀπέγνω τοῖς Ἕλλησι τὴν σωτηρίαν τῷ τε Βυζαντίῳ, πρὸς δὲ καὶ τῇ Πελοποννήσῳ, καὶ ἐπὶ ξυροῦ ἀκμῆς ἤδη ἑστηκότα τὰ τῶν Ἑλλήνων πράγματα· τότε Ἄργος ὅμορον ὂν Ναυπλίῳ, πόλει τῶν Ἑλληνικῶν, ἀπέδοτο οὐ πολλοῦ. καὶ Σπάρτην δὲ τοῖς ἀπὸ Ῥόδου Ναζηραίοις ἐς λόγους ἀφικόμενος ἀπέδοτο πολλοῦ τινός. οἱ μὲν Σπαρτιᾶται ὡς ᾔσθοντο προδεδομένοι ὑπὸ τοῦ σφῶν αὐτῶν ἡγεμόνος (ἀπῆν γὰρ τότε), ἐνάγοντος τοῦ Σπάρτης ἀρχιερέως κοινῇ τε συνιέντες σφίσι λόγον ἐδίδοσαν, καὶ συνίσταντο ἀλλήλοις, καὶ συνετίθεντο ὡς οὐδενὶ B ἐπιτρέψοντες εἰσελθεῖν ἐς τὴν πόλιν τῶν Ναζηραίων, πᾶν δὲ ὅ τι ἂν δέοι χαλεπὸν πεισομένους πρὸ τοῦ Ναζηραίοις τοῖς

11. κατεῖχον οἱ Οὐενετοί H 19. συνιόντες?

oppugnationi urbis Byzantiae intentus erat. misit quoque in Peloponnesum exercitum, qui complectebatur quinque myriades hominum. his praefecit Iagupen, eo tempore Europae ducem. ipse autem incumbebat Byzantii oppugnationi, ut et id regnum sibi subiiceret. Iagupes et Brenezes, qui tum clarescere incipiebat rebus fortiter gestis, incursionem fecere in Peloponnesum. et quidem Brenezes, cum saepius Peloponnesum tentasset, tandem ad populationes animum convertit, devastans Peloponnesum et alia Coronae Methonaeque finitima loca. Iagupes Europae dux, cum exercitu accedens, Argos urbem oppugnare aggressus est; eamque eo tempore obtinuit. at Theodorus Spartae dux hanc urbem vendiderat, cum Graeci iam desperarent de Byzantii Peloponnesique salute, ipsorumque res in gravissima pericula adductae essent. tunc igitur, cum Graecorum res in ancipiti haererent periculo, Argos urbem Nauplio Graecorum oppido finitimam vendidit haud magno pretio. Spartam tamen, cum in colloquium venisset cum Rhodi Nazaraeis, iis magna pecuniae vi vendidit. Spartani cognito se traditos esse a suo duce, qui eo tempore aberat Rhodi, admoniti a suo episcopo, qui id indicium fecerat, in comitium evocantur. ibi multis ultro citroque iactatis, coniuratio-

Λατίνων πείθεσθαι. ἐστήσαντο δὲ σφίσι καὶ τόν γε ἀρχιερέα ἄρχοντα ἐπὶ τούτῳ. καὶ ἐλθόντων τῶν Ναζηραίων προηγορεύοντο ἀπαλλάσσεσθαι τὴν ταχίστην· εἰ δὲ μή, περιέψεσθαι ὡς πολεμίους. οὗτοι μὲν οὖν ᾤχοντο ἀπαλλασσόμενοι ὡς ἐπὶ τὸν ἡγεμόνα, ὡς οὐδὲν ἐς τοῦτο σφίσι προεχώρει· Θεόδωρος δὲ ὁ τῆς Σπάρτης ἡγεμὼν ὡς ᾔσθετο τὸ πρᾶγμα, ὡς τοὐναντίον ᾗ ἐβούλετο περιέστη αὐτῷ, λόγους τε ἔπεμπεν αὖθις παρὰ τοὺς Σπαρτιάτας, ἀποπειρώμενος εἰ
C δέξαιντο ἔτι αὐτὸν αὖθις ἐπανιόντα. ὡς δὲ διαπειρωμένου προσίεντο τοὺς λόγους, ἐσῄει δὲ τὴν πόλιν, ὅρκια ποιησάμενος μηκέτι τοῦ λοιποῦ ἐπὶ νοῦν βαλέσθαι τοιοῦτον. τότε οἱ Οὐενετοὶ φρουρὰν ἐς τὴν ἀκρόπολιν ἀποφηνάμενοι κατεῖχον.
1397 ἐπὶ τοῦτο δὲ τὸ Ἄργος Ἰαγούπης ὁ Παιαζήτεω βασιλέως στρατηγὸς ὡς ἐστρατεύετο, ἐπολιόρκει τε ἀνὰ κράτος, καὶ προσβάλλων τῷ τείχει θαμὰ οὐκ ἀνίει. μετὰ δὲ οὐ πολὺν χρόνον, ὡς ἀπὸ δυοῖν ἅμα τόποιν προσβάλλων ἐπειρᾶτο τοῦ χωρίου, γίνεταί τι δεῖμα τοῖς ἐν τῇ πόλει πανικὸν τοῖς ἐπὶ τῷ εὐωνύμῳ τῆς πόλεως μέρει ἀμυνομένοις, ὡς δόξαν αὐτοῖς ἄνθρωπόν τινα τῶν ἐπιχωρίων φήσαντα εἰπεῖν ὡς ἑάλω ἡ
D πόλις ἀπὸ τοῦ δεξιοῦ, καὶ ἐκλιπόντας τὸ χωρίον τοῦτο ἰέναι δρόμῳ ἐπὶ τὸ δεξιόν, ἐνταῦθα δὲ ἀναβεβηκότας τὸ τεῖχος τοὺς πολεμίους ταύτῃ ἑλεῖν τε κατὰ κράτος τὴν πόλιν καὶ

3. περιόψεσθαι P

nem faciunt, et unanimiter conspirant se nulli Nazaraeorum aditum ad se concessuros: immo quidvis potius mali subituros quam Latinorum Nazaraeis parere velint. quo res ista maiore auctoritate gereretur, episcopum ducem creant. venientibus Nazaraeis edicunt ut continuo suis finibus discederent: sin minus, se eos pro hostibus habituros. hi igitur, cum conatus omnes caderent irriti, abiere, quasi profecturi ad ducem Theodorum. Theodorus ubi rescivit rem longe aliter quam agitasset animo evenisse, legatos ad Spartanos misit tentaturus eorum animos, si redeuntem denuo suscipere vellent. ut autem tentantis admiserunt orationes, regressus est in urbem, fidem dans, interposita iurisiurandi religione, se nihil huiusmodi amplius in animum inducturum. ea tempestate Veneti praesidio arcem firmarunt, eamque obtinuere. contra Argos urbem, ut eam oppugnaret, summa vi Iagupes copias duxit; aggressusque murum saepius nihil proficiebat. nec multo post cum urbem duobus in locis simul adortus esset, eam capere summa ope nitebatur. oppidanis autem, qui in sinistra urbis parte resistebant, panicus terror spectro viso iniicitur. putabant enim se vidisse virum quendam indigenam, dicentem urbem in dextra parte, qua oppugnabatur, captam esse. relicto itaque loco isto, citato agmine contenderunt ad dextram urbis partem. hinc ho-

ἀνδραποδίσασθαι πόλιν περιφανῆ τε καὶ παλαιάν. ἀνδράποδα δὲ λέγεται γενέσθαι ἐντεῦθεν τοῖς Τούρκοις ὡς τρισμύρια. κα- [V.41] τοικίσαι μὲν τούτους λέγεται βασιλεὺς ἐς τὴν Ἀσίαν· οὐκ ἔχω δὲ τοῦτο συμβαλέσθαι ὡς εἴη ἀληθές, οὐ δυνάμενος ἐξευρεῖν διαπυνθανομένῳ ὅποι τῆς Ἀσίας οὗτοι κατῴκηνται ὑπὸ Παιαζήτεω βασιλέως.

Ἰαγούπης μὲν οὖν ὡς τὸ Ἄργος ἠνδραποδίσατο, ἀπήγαγε τὸν στρατόν· μετὰ δὲ ταῦτα Βρενέζης τε αὐτίκα ἐπὶ [P.52] μέγα ἐχώρει δυνάμεως, ἐμβάλλων τε ἐς τὴν Πελοπόννησον καὶ ἐς τὴν παράλιον Μακεδονίαν ἐπὶ τοὺς Ἀλβανούς, μεγάλα καὶ ἐπίσημα ἔργα ἀποδεικνύμενος τῷ τοῦ βασιλέως οἴκῳ, στρατηγὸς μὲν οὐκέτι ἀποδειχθεὶς ὑπὸ βασιλέως, τῶν δὲ Τούρκων ἑπομένων αὐτῷ, ὅποι ἂν ἐξηγοῖτο, ὡς εὐτυχεῖ τε γενομένῳ τὰ ἐς πόλεμον καὶ πλουτίζοντι τὰ στρατεύματα, ὅποι ἂν ἐπίοι στρατευόμενος. τοὺς γὰρ δὴ ἱπποδρόμους καλουμένους τοῦ γένους τοῦδε, μήτε μισθὸν μήτε ἀρχὴν ἔχοντας ὑπὸ τοῦ βασιλέως, ἐπὶ διαρπαγήν τε καὶ λείαν ἀεὶ διωθέντας ἕπεσθαι ὅποι ἄν τις ἐξηγῆται αὐτοῖς ἐπὶ τοὺς πολε- [B] μίους, αὐτίκα ἕκαστον ἱππεύοντά τε καὶ ἕτερον ἀγόμενον ἵππον ἐς τὸ ἱππόδρομον τῆς λείας, ἐπεὶ δὲ ἐν τῇ πολεμίᾳ γένωνται, σύνθημα λαμβάνοντες ὑπὸ τοῦ στρατηγοῦ, ἀναβάντες οὓς περιάγουσιν ἵππους, θεῖν ἀνὰ κράτος, μηδέν τι ἐπέχον-

2. κατοικῆσαι P 5. διαπυνθανόμενος H 9. συμβάλλων P: corr H 15. ἐπίῃ P 17. εἰωθότας?

stes sumptis animis muros superarunt, urbemque illam gloria et vetustate praestantem vi occupavere penitusque diripuere. inde collegerunt Turci mancipiorum tres myriades; quae omnia in Asiam deportarunt, ibique habitare iusserunt. nec tamen potui invenire ut credam id verum esse; nec praeterea cognoscere potui, quis locus, ut eum incolerent, ipsis in Asia a rege Paiazite ascriptus sit.

Iagupes direpta Argo, urbe antiquissima, exercitum abduxit inde. postea etiam Brenezes brevi magnam potentiam nactus est, cum intrasset infesto agmine Peloponnesum et maritimam Macedoniam, contra Albanos fortiter dimicans. nec amplius electus est dux regiae domus: verum Turci eum sequebantur promptissime, quocunque exercitum duxisset, quia ubique felici rerum utebatur successu, exercitusque ditabat, quocunque militatum abiisset. equites enim Turcorum quidam, qui proprio nomine notantur, nec mercedem nec magistratus honorem a rege accipiunt: semper sequuntur, quocunque qui eos eduxerit, conversi ad praedam et spolia diripienda. horum singuli binos equos habent: uni insident, alterum desultorium abducunt secum, cuius opera in praedis agendis utuntur. quando autem

τας, καὶ σκεδαννυμένους σύντρεις διαρπάζειν ἀνδράποδα, καὶ ὅ τι ἐς ἄλλο προχωροίη. ταύτῃ ἐπίσταμαι τούς τε μετὰ Ἀμουράτεω τοῦ Ὀρχάνεω καὶ τοὺς τότε δὴ ἐπὶ Παιαζήτεω διαβάντας ἐς τὴν Εὐρώπην ὠθῆσαί τε καὶ ταύτῃ ἑλομένους σφίσι βιοτεύειν, καὶ ἐπιδόντας παραχρῆμα ἐνίους μέγα ὀλβίους ἐν βραχεῖ γίνεσθαι, ἁπανταχῇ τε τῆς Εὐρώπης οἰκήσαν- C τας, ἀπὸ τῆς τῶν Σκοπίων πόλεως ἐπὶ τὴν Τριβαλλῶν χώραν καὶ Μυσῶν καὶ κατὰ τὴν Μακεδονίαν, μετὰ δὲ ταῦτα περὶ Θετταλίαν οἰκῆσαι πολλούς.

Ἐπὶ μὲν οὖν Παιαζήτεω λέγεται μοῖραν οὐκ ὀλίγην Σκυθῶν ἐπὶ Δακίαν ἐλθοῦσαν πρεσβεύσασθαι πρὸς Παιαζήτην, αἰτεῖσθαι αὐτῶν τοὺς ἡγεμόνας χρήματά τε καὶ ἀρχήν, ἐφ' ᾧ διαβάντας τὸν Ἴστρον συνδιαφέρειν αὐτῷ τοὺς ἐπὶ τῇ Εὐρώπῃ ἐναντίους πολέμους. τὸν δὲ ἡδόμενον τῷ λόγῳ προσίεσθαι τὴν αἴτησιν αὐτῶν καὶ ὑπισχνεῖσθαι μεγάλα. διαβάντων δὲ ἐκείνων κατοικῆσαι αὐτοὺς ἀνὰ τὴν Εὐρώπην, θεραπεύοντας τοὺς ἡγεμόνας αὐτῶν ἀνὰ μέρος ἕκαστον, καὶ D σκεδασθέντας οὕτω αὐτοὺς χρησίμους γενέσθαι ἔστε ἱπποδρόμους καὶ ἐς πόλεμον. ὕστερον μέντοι Παιαζήτης ὀρρωδῶν μή τι νεωτερίσωσιν οἱ ἡγεμόνες αὐτῶν συνιόντες σφίσι, συλλαβὼν τούτους ἀπέκτεινε. τῶν δὲ Σκυθῶν καὶ νῦν ἔτι ἀνὰ τὴν Εὐρώπην πολύ τι πλῆθος πολλαχῇ σκεδασθέντων ἐστιν

14. τοῖς — ἐναντίοις H

venerint in terram hostilem, accepto signo a duce conscendunt equos, quos ad id expeditos circumducunt: currunt citissime, nihil morantes, et dispersi rapiunt mancipia, et quaecunque casus obtulerit. eo modo novi illos, qui cum Orchanis filio Amurate et cum Paiazite ea tempestate in Europam transierant, ad praedas se convertisse et id vivendi genus sibi elegisse; incredibilique incrementó brevi sumpto maximas acquisivisse opes, habitantes undique per Europam, ab Scopiorum urbe usque ad Triballorum Mysiorumque regionem, etiam per Macedoniam dispersos. deinde circa Thessaliam plurimos quoque aetatem egisse constat.

Imperante Paiazite fama est non modicam Scytharum manum venisse in Daciam, et hinc legatos misisse ad Paiazitem, qui peterent pecuniam et regionem, quibus freti transituri essent Istrum cum Paiazite, et bella Europae gesturi. Paiazites plurimum delectatus illorum sermone munera magna promisit, si traiicerent, quemadmodum essent polliciti, Istrum, dicens se ipsis assignaturum Europae agros, ut singuli ibi viventes suos duces sectarentur. qui in hunc modum per Europam dispersi equites facti sunt optimi reique militaris peritissimi. deinceps Paiazites timens ne duces illi Scytharum Europae

ἰδεῖν. καὶ ὑπὸ Ἀμουράτεω μέντοι ἐν τῇ Μακεδονίᾳ ἢ περὶ
Θέρμην καὶ ἐν τῇ παρὰ Ἀξιὸν ποταμὸν χώρᾳ κατῴκισται,
ἀγαγόντος μέγα τι πλῆθος Τούρκων τε ἐς τοῦτον τὸν χῶρον
καὶ κατοικίσαντος. καὶ τὸ τῆς Ζαγορᾶς πέδον οὕτω καλού-
μενον ὑπὸ Ἀμουράτεω κατῳκίσθη, καὶ ἡ Φιλιπποπόλεως χώ- P.53
ρα. ἡ μέντοι Χεῤῥόνησος ἡ ἐν τῷ Ἑλλησπόντῳ καὶ πρότε-
ρον ὑπὸ Σουλαϊμάνεω κατῳκίσθη τοῦ ἀδελφοῦ. Θετταλία δὲ
καὶ ἡ περὶ τὰ Σκοπία χώρα καὶ ἡ Τριβαλλῶν ἀπὸ Φιλιππο-
πόλεως ἔστε ἐπὶ τὸν Αἷμον καὶ τὴν Σοφίαν οὕτω καλουμέ-
νην κώμην, Παιαζήτης ὁ Ἀμουράτεω κατοικίσας τήν τε Ἰλ-
λυριῶν καὶ Τριβαλλῶν ἐληΐζετο χώραν. ἐπιδιδόασι μὲν οὗτοι V.42
οἱ χῶροι πρός γε πολεμίων, καὶ ὕστερον μετὰ ταῦτα ἑτέρων
ἐκ τοῦ ταύτῃ ἐπιῤῥεόντων αὐτοῦ, ὧνπερ ἂν ἐπυνθάνοντο ἐπι-
τηδείως σφίσιν ἔχειν τὴν χώραν πρός τε ἀνδράποδα καὶ ἐς
τὴν ἄλλην οὐσίαν τὴν ἀπὸ τῶν πολεμίων, καὶ ὅπῃ ἂν μάλι-
στα μὴ ἀντικόπτῃ ὑπὸ τῶν πολεμίων. Παιαζήτης δὲ ὡς ἐς B
τὴν Ἀσίαν διαβὰς ἐπὶ Ἐρτζικὰν πολιορκῶν παρεστήσατο,
προϊὼν Μελιτηνὴν τὴν ἐπὶ τῷ Εὐφράτῃ ἐπολιόρκει τε καὶ
προσέβαλε μηχανὰς παντοίας προσάγων τῷ τείχει. καὶ ἐπὶ
χρόνον μὲν ἀντεῖχε, μετὰ δὲ ταῦτα προσεχώρησε καθ' ὁμο-
λογίαν.

1. ἡ περὶ Θέρμην καὶ ἡ παρὰ H 17. ἐπεὶ H, omisso antea ὡς

λείπεσθαι ὅτῳ μὴ εἴη χῶρος αὐτῷ ἀποδεδειγμένος. καὶ τήν τε ἀγορὰν σιτίζεσθαι ἐκέλευε κατὰ τὰ δεδογμένα ἐπὶ τοῦ λοιποῦ στρατεύματος. κινεῖν δὲ τούς τε ἄρχοντας αὐτῶν ἑκάστους θαμὰ ἐπὶ τὰ ὑπὸ τῶν μεγάλων στρατηγῶν παραγγελλόμενα, ὥστε ξυμβαίνειν κατάσκοπον εἰσιόντα ἐς τὸ Τεμήρεω στρατόπεδον λεληθέναι πώποτε, οὔτε ξένον, ὃς ἂν παρὼν τυγχάνῃ ἐν τῷ στρατοπέδῳ. τούτους δὲ αὖ ἀνδρὶ ἑτέρῳ ἐπιτετράφθαι, καταλύειν παρ' ἑαυτῷ τοὺς ξένους, εἰ τυγχάνοιεν παραγενόμενοι ἐς τὸ στρατόπεδον σίτου δεόμενοι. ὥστε νεύματι τοῦ μεγάλου βασιλέως κινεῖσθαι πάντα δὴ τὸν στρατόν, D ἐφ' ὅ τι ἂν γένοιτο, καὶ ἐκείνου δὴ ἄγοντος τὰ πάντα ἐφ' ἑνὶ συνθήματι ἰέναι αὐτίκα ἐν τάχει παραγενόμενος, ἐπὶ τὴν χρείαν καθίστασθαι αὐτίκα μάλα ἰόντα. ἑσπέρας δὲ γενομέ- V. 48 νης, ὁπότε τὸ σύνθημα λαμβάνοιεν οἱ στρατιῶται ὑπὸ τοῦ μεγάλου ἡγεμόνος, θεῖν δρόμῳ αὐτόν τινα ἕκαστον ἐπὶ τὴν ἑαυτοῦ σκηνὴν ἐς τοὺς συσκήνους ἰόντα. γενομένων δὲ ἐν ταῖς σκηναῖς τῶν στρατιωτῶν, τὰς φυλακὰς περινοστεῖν τε τὸ στρατόπεδον, εἴ τινα τόπον ἴδοιεν ἐκτὸς τῶν σκηνῶν γενόμενον, τοῦτον λαβόντες ἐτιμωροῦντο. εἰ δέ τις κατάσκοπος παρὼν τύχῃ ἐν τῷ στρατοπέδῳ, οὐκ ἔχων ὅποι τράποιτο, λεί- P. 61 πεσθαι ἐκτὸς τῶν σκηνῶν καὶ οὕτως αὐτίκα ἁλίσκεσθαι. ταύτῃ

5. ξυμβαίνειν οὔτε κατ.? 16. ἐν om P

lebat, ubi aditi fuissent manipulorum duci, suo parere singulos ductori. cum venissent in syssitia, nullus erat cui non esset locus designatus. cibum mercari iussit in reliquum exercitum, iuxta ea quae communi consensu decreta fuerant. imperavit ut singuli duces minores frequenter, sicut praeciperent maiores duces, suos monerent, ne eos otio torpescere sinerent. hinc contigit ut nullus explorator vel peregrinus aliquis clam in Temiris castra penetrare et in iisdem morari posset. ordinavit virum, cui hoc negotii imposuit ut peregrinos, si qua re indigerent, advenientes hospitio exciperet. qua propter haec diligens disciplina effecit, ut universus iste exercitus ad nutum et arbitrium regis, quocunque vellet, facile moveretur, eoque ducente exciti uno signo confestim advolarent, parati se regi utendos dare quacunque in re voluisset. vespera appetente, accipientes signum a duce suo magno, singuli maturant iter ad tentoria et ad contubernales suos. ubi autem milites in tentoria sua se receperunt, vigiles ad hoc creati in castris oberrant, si quem inveniant extra tentoria morari. si talis occurrerit, eum capientes supplicio capitali subdunt. si autem quis explorator accesserit in castra, is, ut cui nullus sit ascriptus locus, extra tentoria cubare cogitur. proinde rerum omnium ignarus, dubiusque quo se vertat, continuo a vigilibus in vincula ducitur. hic modus et haec est forma syssitiorum regis. Chaidares re-

μὲν δὴ λέγεται γίνεσθαι τὰ Τεμήρεω συσσίτια· Χαϊδάρην δὲ τόν γε ἑταῖρον αὐτῷ ὀξύν τε ἐς τὸ ὑπηρετεῖν αὐτῷ τὰ δέοντα γεγονέναι, ἐποτρύνειν τε αὐτὸν βασιλέα ἐπὶ τοὺς πολέμους, μηδαμῇ ἐς ῥαστώνην τρεπόμενον.

Λέγουσι δὲ Μυρξίην, ἐπείτε παρέλαβε τὴν Σεμαρχάνδης βασιλείαν, διαχρήσασθαι τρόπῳ τοιῷδε. ἐπεί τε σὺν τούτοις ἅμα περιιὼν Τεμήρης λῃστής τε καθειστήκει καὶ ἐχρηματίζετο, διαλεγομένων ἐπ' εὐτυχήματι τῶν ἑταίρων, καὶ εὐφημιζόντων Τεμήρην ὡς ἐν βραχεῖ ἤδη ἐς τὰ Σεμαρχάνδης βασίλεια παρεσομένου, ὑπολαβὼν ὁ Μυρξίης "ἀλλ' ὦ τᾶν" ἔφη, B "τοιαῦτά ἐστι τὰ Σεμαρχάνδης βασίλεια ὥστε οὐκ εὐπετῆ χειρωθῆναι ὑπὸ Τεμήρεω, ἀνδρὸς λῃστοῦ καὶ ἰδιώτου. εἰ δ' εἴη ποτὲ τοῦτο αὐτῷ γενέσθαι ὥστε ἐπὶ τὴν Σεμαρχάνδης ἀρχὴν περιέναι, μὴ ἔτι περιιὼν διαγενοίμην, ἀλλὰ τεθναίην αὐτίκα ἐψευσμένος." ταῦτα μὲν σπουδῇ ἐῴκει ὑποδείκνυσθαι, συντυχίᾳ δέ τινι οὐκ ἀγαθῇ χρήσασθαι ἐς τὸ ἀπόφθεγμα. χρόνου δὲ ἐπιγινομένου, ὡς ἐς τὴν ἀρχὴν παρεγένετο τῆς πόλεως, τιμῆσαι μὲν ἀρετῆς ἕνεκα ὑπὲρ τὸν Χαϊδάρην, φάσκοντα δὲ αὐτῷ ὡς ἐκεῖνο δὴ τὸ ἔπος ἐπὶ μαρτύρων ἄλλων εἰρη- C μένον αὐτῷ δέοι μεταδιώκειν, ὅπερ διισχυριζόμενος ὑπέλαβεν ἑαυτὸν θανάτῳ, ἀναμιμνήσκων ὡς εἴπερ ἐς τὰ Σεμαρχάνδης βασίλεια παραγένοιτο, ψευσθείη τε αὐτὸς τῆς γνώμης, ἔνοχος

20. ὑπέβαλεν? 21. ἐς om P

gis amicus laborumque socius, ei admodum diligenter in necessariis ministrare novit. regem quoque incitare nunquam destitit ut bella aggrederetur plurima, ne otio et quiete corrumperetur.

Aiunt Myrxiem, antequam Temires ad Semarchandae regnum evasisset, tale quippiam fecisse. cum Temires cum suis oberraret, latrociniis gaudens, accidit ut familiares Myrxiis de felice rerum Temiris successu dissererent, eoque tandem venirent ut dicerent eum brevi etiam Semarchandae regnum consecuturum. at Myrxies respondit "regnum Semarchandae firmius est quam ut occupari possit a latrone et privato homine. sin aliquando contigerit ut Semarchandae regno iste potiatur, precor non amplius superstes maneam, sed confestim ut mendax obtruncer." haec quidem serio, non ioco locutus est. nec tamen satis prosperum sermo ille habuit eventum. deinde tempore interposito, cum urbis regimen Temires esset adeptus, honores maiores Myrxies quam Chaidares apud regem invenit. hinc commotus Chaidares dixisse fertur tempus iam esse ut sermo ille quem locutus fuerat Myrxies, ad rem conferatur: extare enim eius sermonis testes plurimos. ut igitur sermo ille effectum sortiretur, Myrxiem capitali supplicio subdi iussit Temires, in memoriam redi-

εἶ τοῦ θανάτου ὑπὸ Τεμήρεω. διηπόρει τε ὅπως ἂν αὐτῷ θεραπεύοιτο τὴν δεξιὰν παρασχόντι τῷ βασιλεῖ, ἰδιώτῃ τότε ὄντι, μὴ παραβῆναι τὴν συνθήκην. ἔλεγε δὲ πρὸς Μυρξίην τοιάδε. "οἶσθα, οἶμαι, ὦ Μυρξίη, σύ τε καὶ σύμπαντες οἱ ἄλλοι, ὅσοι ἐπὶ τήνδε τὴν ἀρχὴν τὰ πράγματα προηγάγομεν.
D δύο τούτω ὡς μάλιστα ἡμῖν ἐπιβεβαιωσάμενοι ἐπὶ τὴν βασιλείαν παρῄειμεν, σπουδήν τε ἅμα ὡς οἷόν τε μεταδιώκοντες, καὶ ἐμπεδοῦντες ἡμῖν ὅ τι ἂν συνθέμενοι τοῖς τε ἐπιτηδείοις καὶ ἐναντίοις, οὐχ ὅπως δὴ ὅρκῳ, ἀλλὰ καὶ λόγῳ ἐψηφισμένοι ὦμεν αὐτοῖς, ὡς οὐδὲν ἔτι οὐδαμοῦ ὂν ἀσφαλέστερον οὐδὲ ἐχυρώτερον ἔρυμά τε καὶ ὅπλον ἐς τὸν βίον τόνδε ἀνθρώπῳ ἢ συμφώνῳ τε εἶναι ἐς τὰ πάντα καὶ μὴ διαφωνοῦντι φρονεῖν ἄλλοτε ἄλλως, ἐπειδὴ πολλάκις ἔφαμεν τούτῳ μόνῳ ἴσχειν ὁμοιότητα τῷ θεῷ. ὅτου δ' ἂν τῶν ἀνθρώπων μηδὲν
P. 62 ὑγιὲς εἴη λέγοντος, πῶς ἂν δὴ πράττοντος εὖ γένοιτ' ἂν πώποτε αὐτῷ; μέμνησο δὲ ὡς ἐμοῦ τῆς δεξιᾶς λαβόμενος ἔφησθα τεθνάναι ἕτοιμος εἶναι, εἰ ἐπὶ τὰ βασίλεια πάριμεν. καὶ ἐπὶ μαρτύρων δὲ τοῦτό σοι εἰρημένον συνθέσθαι. ὥρα οὖν
V. 49 σοι τά τε λεχθέντα ἐπιτελέσαι, καὶ τὴν δεξιὰν τὴν ἡμετέραν ἀπολύσασθαι τῆς συνθήκης." Μυρξίης δὲ ἀμείβετο τοῖσδε. "ἀλλ' ὅπως μὲν, ὦ βασιλεῦ, ἐπὶ τήνδε τὴν ἀρχήν, ὅπως σοι

1. εἴη? 4. οἶσθα] οἴεσθαι P σύ] δύο P 7. παρείημεν P 12. ἢ om P

gens se nactum esse Semarchandae regnum, ipsumque falsum esse animo, proinde mortis reum teneri. dubitabat autem quo pacto eum mori cogeret, qui olim regi privato adhuc dextram societatis dedisset, ne pactis contravenire videretur. orationem igitur huiusmodi cum Myrxie habuit. "haud arbitror latere vos, o Myrxies, vosque duo et reliqui omnes quibus artibus imperium auxerimus. duo illa semper summa diligentia sectati sumus, dum nobis regnum amplissimum pararemus, nempe studium vehemens in rebus gerendis, et ut bona fide coleremus pacta quae cum amicis hostibusque fecissemus. nec solum iuramento, verum et sermone declaravimus nos concordiam cum iis agitare, quasi nihil ubique terrarum et tutius armisque omnibus firmius in vita humana inveniri possit, quam concordiam amplecti nec ab amicis dissentire, nunc hoc nunc aliud sequi consilium proponentes; siquidem saepe commemoravimus nos illo solo dei imaginem repraesentare. si autem quis mortalium nihil sani unquam dixerit, quomodo si quid facere aggrediatur, ei bona obvenient? meministine, meam cum prehenderes manum, te dicere, si Semarchandae nanciscerer regnum, paratum te esse oppetere mortem? haec igitur, cum sub multis testibus ea pronuntiaris, tempus est ut conficias, nostramque dextram isto pacto liberes." Myrxies, ut dicendi finem fecit rex, talem

γένοιτο, καὶ σὺ οἶσθα καὶ πάντες οὗτοι οἱ συμπαρόντες συνίσασι, καὶ ὡς πάντα τὰ ἔσχατα ὑποδυόμενος, ὥστε σοὶ εὖ γενέσθαι ὁτιοῦν. καὶ τραύματα δὲ ἔστιν ἰδεῖν ὅσα λαβὼν οὐδὲ πώποτε ὑπελογιζόμην δεινὸν πρὸ τοῦ χαρίζεσθαι. εἰ δέ ἐστιν B ὁτιοῦν ἡμῖν εἰρημένον, οὐκ ἀγαθῇ τύχῃ δέοι ἂν μὴ χαρίζεσθαι τοῖς ἐπιτηδείοις, ὑφ' ὧν μεγάλα εὖ πεπονθὼς εἴης. ἐκεῖνο δή, βασιλεῦ, ἰδιωτέρῳ μὲν ὄντι τἀνθρώπῳ οὐ πάνυ τι ἐμπεδοῦντο καὶ ἑαυτοῦ βίον. ἐπειδὰν δέ σοι τὸ ἄρχειν ἑτέρως ἀφίκηται, τότε δὴ οὐ θεμιτὸν ᾖ παραβῆναι εἴ τι συνέθετο. καὶ ἡμῖν ὁ θεὸς πολλὰ ἀγαθὰ παρέχεται διὰ τὸ συγγνώμην ἴσχειν τοῖς ἐξαμαρτάνουσιν ἐς ἡμᾶς ὁτιοῦν. ἢν δέ μοι καὶ ταύτην παραιτουμένῳ χαρίσαιο τὴν ἁμαρτίαν, καὶ πλείω τούτων σοι γένοιτο ἀγαθά." ταῦτα λέγων οὐκ ἔπειθε φάσκοντα δεῖν συγγνώμην ἴσχειν οἷς ἂν μὴ ἑκούσια ᾖ τὰ ἁμαρτήματα. πῶς δ' ἂν σώζοιτο αὐτῷ ἡ τύχη, μὴ τὸν ἀντίπαλον C διωσαμένῃ; ταῦτα εἰπὼν τόν τε Μυρξίην διεχρήσατο, καὶ ἐπένθει αὐτὸν δημοσίᾳ ἐπὶ συχνόν τινα χρόνον, θάψας βασιλικῶς.

Μετὰ δὲ ταῦτα ἐπὶ Ὑρκανοὺς ἐστρατεύετο καὶ τὴν ταύτῃ θάλασσαν, καὶ ἔθνη τε οὐκ ὀλίγα ἐς τὴν θάλασσαν τήνδε Ὑρκανίαν ἐνοικοῦντα παράλια κατεστρέφετο. λέγεται δὲ αὕτη

1. συνίσουσι P 19. ταύτης P 20. θάλασσαν. Τὴν δὲ P

exorsus est orationem. "verum enimvero, o rex, ad hoc imperium ut deveneris, et tu nosti et omnes quotquot praesto sunt. nec horrui summa vitae adire discrimina, ut istam tibi parares felicitatem. vulnera videre est, quae accepi dum tibi inservire et gratificari cupio. at enim si quid temere diximus, an non id aequum est mihi adversa fortuna utenti et amicis, a quibus beneficiis affectus fueris, condonare? illud autem, o rex, privato homini non admodum impedimento fuerit. ubi autem alia regni affulserit forma, tum non fas est, si quid pactus fueris, irritum facere et transgredi. etiam deus plurima nobis bona largitur, si in nos deliquentibus veniam dederimus. si igitur mihi peccati impunitatem concesseris, maiora a deo tibi obvenient tandem bona." his dictis non persuasit Temiri, qui respondebat "venia danda est erroribus eorum qui quid praeter voluntatem admiserint. quo pacto autem fortunam retinere potero propitiam, si hostem meum non necavero?" haec ubi locutus est, Myrxiem peremit. peremptum regaliter sepelivit longoque tempore luxit.

Posthaec bellum sumpsit adversus Hyrcanos et contra gentes quae mare Hyrcanum accolunt; quas omnes perdomuit. idem mare et Caspium dicitur, versus meridiem Saccas habens accolas et Caddusios; triginta milibus stadiorum versus Orientem et Septentrionem accolas habens Massagetas, genus hominum bellicosum. longum est viginti

καὶ Κασπία ἐς τὴν τοῦ ἔθνους τούτου ἐπωνυμίαν· διήκει δὲ κατὰ μεσημβρίαν Σάκας τε ἔχων καὶ Καδδουσίους ἐπὶ σταδίους τρισμυρίους, πρὸς ἕω δὲ καὶ βορρᾶν Μασαγέτας, γένος ἄλκιμόν τε καὶ ἐν πολέμοις εὐδοκιμοῦν, ἐπὶ σταδίους δισμυρίους μάλιστα. τοῦτο δὲ τὸ γένος ἐλαῦνον ἐπὶ τὴν Περ-
D σῶν χώραν λέγεται καταστρεψάμενον πολίσματα κατασχεῖν ἔστιν ἅ, καὶ Τεμήρη τοῦ γένους τούτου γενόμενον σὺν τοῖς Μασαγέταις ὁρμᾶσθαι ἐπὶ τὴν Σεμαρχάνδης ἀρχὴν καὶ Ἀσσυρίων τὴν χώραν καταστρεψάμενον ἔχειν. τὴν μέντοι θάλασσαν ταύτην ὑπὸ ποταμῶν ἐς αὐτὴν οὐκ ὀλίγων ἐκδιδόντων μεγίστην τε γίνεσθαι καὶ ἐπὶ πολλοὺς σταδίους διήκειν, οὐδαμῇ ἐκδιδοῦσαν, ᾗ λέγεται, εἰς τὴν ἐκτὸς θάλασσαν. διώρυχα μέντοι ἐπυθόμην ἔγωγε ἀπὸ ταύτης διήκειν καὶ ἐς τὴν Ἰνδικὴν θάλασσαν ἐκδιδεῖν. ἐνοικοῦσι δὲ τὴν θάλασσαν τήνδε ἔθνη πολλά τε καὶ ἄλκιμα. καὶ ἰχθύας μὲν φέρει αὕτη ἡ θάλασσα πολλούς τε καὶ ἀγαθούς, φέρει δὲ καὶ ὄστρεα μαρ-
P. 63 γαρίτας ἔχοντα, ᾗπερ δὴ καὶ ἡ Ἰνδικὴ θάλασσα. καὶ πλοῖα πολλὰ πλεῖ τὴν θάλασσαν ταύτην, παρὰ ἀλλήλους ἐπιπλέοντα φορτίων πλέα. ἔστι δὲ αὕτη ἡ θάλασσα πρὸς ἕω μάλιστα τῆς Ἀσίας, ἐς ἣν ἐκδιδοῖ ὅ τε Ἀράξης ποταμὸς μέγιστος καὶ Χοάσπης πρὸς ἕω ῥέων, καὶ ποταμοὶ δὲ ἄλλοι οὐκ ὀλίγοι. τὰ μέντοι ἐς τήνδε τὴν θάλασσαν ἔθνη ὑπὸ Καδδουσίων τε ἄρχεσθαι πρόσθεν ἔφαμεν, καὶ τούς γε φόρους αὐτῶν ἐς τὴν Καδδουσίων πόλιν ἔτους ἑκάστου ἐπάγειν ἐπὶ τούτους.

2. τε] δὲ P 5. ἐλαύνων P 24. ἀπάγειν?

milibus stadiorum. Massagetae dicuntur profecti esse in Persiam, ibique multas occupasse urbes. ferunt etiam Temirem ex isto hominum genere ortum cum Massagetis festinasse contra Semarchandae regnum, et debellata Assyriorum monarchia id obtinuisse. mare autem istud cum sit receptaculum multorum et magnorum fluminum, maximum Cyrum nomine esse cognovimus; et ad plurima stadia excurrit, nullibi in exterius mare, quemadmodum dicitur, se fundens. attamen ego fossam audivi ex isto mari progredi, qua in Indicum mare effunditur. accolunt mare istud gentes plurimae et bellicosae. etiam pisces suppeditat plurimos et bonos. largitur et ostreas, quae margaritas habent. supra hoc mare Indicum mare visitur. naves onerariae plurimae navigant vicissim nunc hoc, nunc illud mare. mare istud versus Orientem, maxime ea parte qua Asia est, vergit. in hoc se effundunt Araxes fluvius maximus, et Choaspes versus Orientem fluens, et alii fluvii plurimi. gentes quidem illas quae mari huic adiacent, a Caddusiis regnari et tributa quotannis in Caddusiorum urbem inferre aiunt.

Ὡς τοὺς Ὑρκανίους ὑπηγάγετο Τεμήρης καὶ τὸν βασιλέα τούτων ἀνεῖλεν, ἐστρατεύετο ἐπὶ Καδδουσίους. καὶ οὗτοι μὲν συλλέξαντες στρατιὰν μεγίστην παρεσκευάζοντο ὡς ἀμυνούμενοι, ἣν ἐπίῃ Τεμήρης· Τεμήρης δὲ ὡς ᾔσθετο τούτους B στρατευομένους, πέμπει Χαϊδάρην ἐπὶ τὴν πόλιν αὐτῶν ὡς ἑλοῦντα τὴν ταχίστην καὶ πολιορκήσοντα· αὐτὸς δὲ ἐπέμενεν ἐστρατοπεδευμένος παρεγγυτάτω τοῖς Καδδουσίοις. ἐνταῦθα δὲ ὡς ἐπύθοντο οἱ Καδδούσιοι τοὺς πολεμίους ἐς τὴν πόλιν αὐτῶν ἰόντας, τὰ ἔμπαλιν γενόμενοι ἵεντο οὐδενὶ κόσμῳ ἐς τὴν πόλιν. ἐνταῦθα ἐπιτίθεται αὐτοῖς ἰοῦσιν ἐπὶ V. 50 τὴν πόλιν Τεμήρης σὺν τῷ ἑαυτοῦ στρατῷ, καὶ τεταραγμένοις ἐμβαλὼν ἐτρέψατο, καὶ διώκων ἐπὶ τὴν πόλιν ἤλαυνε, καὶ πολιορκήσας ἐπὶ χρόνον τινὰ παρεστήσατο.

Μετὰ δὲ ταῦτα ἐστρατεύετο ἐπὶ Ἀραβίαν. γένος δὲ C Ἄραβες μέγα τε καὶ ὄλβιον καὶ ἀνὰ τὴν Ἀσίαν οὐδενὸς τὰ εἰς εὐδαιμονίαν λειπόμενον, παλαιόν τε ὂν καὶ ἐπὶ πολὺ τῆς Ἀσίας διῆκον, προσχρώμενόν τε τῇ θαλάσσῃ τῇ ἐρυθρᾷ καλουμένῃ. ἔστι δὲ ἡ χώρα αὕτη μεγίστη τε καὶ καλλίστη οἰκῆσαι τῶν κατὰ τὴν Ἀσίαν χωρῶν. οἰκεῖται δὲ ὑπὸ ἀνδρῶν δικαιοτάτων καὶ τὰ ἐς θρησκείαν αὐτῶν σοφωτάτων. καὶ βασιλέα νομίζουσιν οὐ τύραννον, ἀλλ' ἐς τὸ ἰσοδίαιτον μᾶλλον καὶ ἰσόνομον καθιστάμενον σφίσιν. ἔστι δ' αὐτοῖς βασί-

6. ἑλῶντα R, ἑλόντα P   πολιορκήσαντα P

Hos bello appetere instituit Temires, ubi devicerat Hyrcanos horumque regem a mortalium numero subtraxerat. at Caddusii contrahebant copias quam potuere maximas, fortiter repugnaturi accedenti Temiri. Temires ut didicit Caddusios in armis esse, quam primum Chaidarem mittit oppugnatum ipsorum urbem, et ut eam subito caperet. ipse autem expectabat rei eventum quam proxime Caddusiis castra sua locans. Caddusii ut intellexere hostem in ipsorum urbem contendere, palantes nullo ornatu et ipsi in suam urbem iter instituere. Temires venientes ex insidiis adoritur; acieque instructa eos aggressus fudit, fusosque insequens ad urbem usque tractus, eam, cum aliquanto tempore oppugnasset, tandem cepit.

His ita peractis Arabiam bello petere statuit. Arabes genus hominum opulentum magnum et antiquum, nulli, quantum ad felicitatem attinet, cedens, esse certo constat; multamque Asiae partem occupat, utens mari quod Rubrum nominamus. est autem Arabum regio latissima et ad habitandum omnium Asiae regionum pulcherrima. viri iustissimi, et quantum ad religionem pertinet, sapientissimi eam tenent. creantes regem, non tyrannum, sed virum aequitatis amantissimum et maxime aequalitatem respicientem, eligunt. Arabici re-

λεια ἐν τῇ πόλει τῇ παρὰ τὴν θάλασσαν, ... καλουμένη, μεγάλη τε καὶ πλούτῳ προφέρουσα. ὁμορεῖ δὲ τῇ τε Αἰγύπτῳ καὶ Περσῶν χώρᾳ καὶ Ἀσσυρίων. ἀπὸ γὰρ Κολχίδος D καὶ Φάρους χώρας ἐς τὴν θάλασσαν τὴν ἐς τὴν κοίλην Συρίαν, ἐς τὴν Λαοδίκειαν καλουμένην πόλιν, εἴη δ' ἂν ὁδὸς ἡμερῶν . . . . ἀνδρὶ εὐζώνῳ πεζῇ διαπορευομένῳ τὴν χώραν, καὶ τὸ ἐντεῦθεν τῆς κάτω Ἀσίας ὡσεὶ χερρόνησον γεγενῆσθαι, καὶ τήν τε Ἀραβίαν ἐκτὸς γίνεσθαι τῆς Ἀσίας. ἔστι δὲ ἡ χώρα αὕτη ἐπίφορος, καὶ δένδρων τε καὶ φοινίκων πεπληρωμένη, καὶ ἐν μέσῳ δυοῖν ποταμοῖν περίρρυτος γενομένη καρπούς τε ἐκφέρει ὑπερφυεῖς τῷ μεγέθει καὶ πολλαπλασίους, ὥστε εὐδαίμονα ὑπὸ τῶν παλαιοτέρων κεκλῆσθαι ἀνδρῶν. διὰ ταῦτα ἐπὶ ταύτην τὴν Ἀραβίαν, ὅτι Καδδουσίοις ὑπ' αὐτοῦ
P. 64 πολεμουμένοις συνεμάχει αἰτιασάμενος, ἐστρατεύετο. καὶ δὶς μὲν ἐμαχέσατο τῷ Ἀράβων στρατεύματι, καὶ οὐδ' ὡς ἠδυνήθη τρέψασθαι· μετὰ δὲ διαπρεσβευσάμενος, ὥστε στρατιὰν δοῦναι καὶ φόρον ἀπάγειν τοῦ ἔτους, ὅσον ἂν σφίσιν ἐπιτάττοι, σπονδάς τε ἐποιήσατο καὶ τὸ . . . . ἐπ' αὐτὸν Ἀράβων πρέσβεις, οἳ καὶ ἀφικόμενοι προΐσχοντό τε τὴν χώραν τοῦ ἥρωος μὴ λεηλατεῖν, καὶ ἐδέοντο σφᾶς, ἅτε γένος τε ὄντας τοῦ νομοθέτου, καὶ πατέρας εἶναι τῶν ἐς τήνδε τοῦ ἥρωος τελούντων θρησκείαν. νομίζεται δὲ τοῦτο τὸ γένος εὐσεβές τε καὶ ἅγιον, ὅτι τε προῆλθεν ἐκ τῆς χώ-

16 καὶ δδ' ὡς P

gni sedes est urbs iuxta mare sita, quam vocant, magna opibusque vigens. finitima est ea gens Aegypto, et Persarum Assyriorumque regionem attingit. nam a Colchide et Pharus regione ad mare quod porrigitur in Coelesyriam, usque ad urbem Laodiceam dictam, fuerit iter dierum viro expedito, pedestri itinere regionem transeunti. hinc inferioris Asiae istam partem scimus in Chersonesi formam redigi, Arabiamque extra Asiam relinqui. est autem Arabia plurimis arboribus palmisque consita, et in medio duorum fluminum sita, ab utroque undique alluitur. fructus profert supra modum tum magnos tum multiplices. hinc veteres occasionem sumentes eam Felicem appellavere. hanc regionem armis infestis aggressus est Temires, incolis crimini dans operam strenue navatam Caddusiis, cum eos bello statuisset domare. bis conflixit cum Arabum exercitu. cumque eos victos dare non posset, legatos mittens, militibus tributoque, quod quotannis penderent, imperatis, pacem cum eis fecit. ea tempestate, priusquam in foedus coiretur, Arabum legati ad Temirem accessere, poscentes ne regionem herois, qui et ipsi de genere legislatoris essent, vastare pergerent. huic orationi adiiciebant, ut velint esse patres

ρας αὐτῶν Μεχμέτης ὁ νομοθέτης, καὶ σὺν τῷ Ὁμούρῃ τὴν B νομοθεσίαν δεξαμένῳ ἐπὶ τὴν τῆς Ἀσίας ἀρχὴν προεληλύθεισαν, μεγάλα ἀποδειξάμενοι ἔργα.

Ὁ μέντοι νομοθέτης τούτων ὁ Μεχμέτης παῖς λέγεται γενέσθαι Ἀλίεω, ἀπὸ Ἀραβίας τῆς εὐδαίμονος. ἐκθέμενον δὲ τὴν νομοθεσίαν αὐτοῦ ἀρχὴν μέντοι μηδὲν βιάζεσθαι, ἀναπείθοντά τε τοὺς Ἄραβας καὶ Σύρους μετὰ ταῦτα· μετὰ δὲ ταῦτα προσλαβόμενον τοῦ Ἀλίεω δυνάστου τε τῆς χώρας καὶ ἐπιτηδείου αὐτῷ, ὡς μάλιστα ἐπιόντα, προσάγεσθαι αὐτῷ ἐς τὴν νομοθεσίαν, ὅποι ἂν ἐπίῃ, τοὺς τὴν χώραν οἰκοῦντας. ἀνίει τε τὴν νομοθεσίαν ἔστε τὴν ῥαστώνην καὶ τὴν τοῦ θείου βακχείαν μέντοι, συνεχῆ δὲ ὡς μάλιστα μελέτην. νο- C μίζεται γὰρ αὐτῷ τετράκις τῆς ἡμέρας προσεύχεσθαι τῷ θεῷ, ὑπ' οὐδενὸς κωλυόμενον εἰς τοῦτο, ὥστε μὴ προσεύξασθαι. τῇ δὲ τῆς Ἀφροδίτης ἡμέρᾳ κοινῇ τε ἅπαντας ἐς τοὺς ναοὺς ἰόντας προσεύχεσθαι νομίζεται, μηδ' ὁτιοῦν μήτε ἄγαλμα μήτε ἄλλο τι τῶν γεγραμμένων προσλαβόμενον σφίσιν ἐς τὴν προσευχὴν ἐν τοῖς ναοῖς. ἱερεῖς τε σφίσιν καθιστῶντες, ὥστε πρὸ τοῦ ναοῦ ἐς περιωπήν τινα πύργον πεποιημένον V. 51 ἀναβαίνοντα προσεύχεσθαι τῷ θεῷ μεγάλῃ φωνῇ καὶ ἀεὶ τὰς νομιζομένας εὐχὰς ποιεῖσθαι κεκραγότα γεγωνότερον. ἐς μὲν οὖν τὴν προσευχὴν αὐτοῦ γένος δὲ τοῦτο ἴσμεν ἐς τὰ D

eorum qui herois religionem sectentur. gens illa non profana, verum sacra sanctaque creditur, quia edidit Mechmetem legislatorem, qui illis stipatus, ut qui eius suscepissent leges, progressus sit ad Asiae imperium, cum Arabes ubique magna virtutis ostenderent facinora.

Aiunt legislatorem Mechmetem fuisse filium Haliis, Arabiam felicem incolentis. initio legislationis suae nihil vi egit, sed persuasione primum Arabes, deinde Syros cepit. postea in suam sententiam traduxit Haliem regionis administratorem, qui cum ipsi foret intima familiaritate coniunctus, facile omnes terrae suae incolas Mechmetis leges suscipere coegit. leges enim istae nihil aliud quam quietem et numinis quendam furorem perpetuamque meditationem continebant. nam inter caetera lex est ut quater diurno tempore deum adorent; nec sinant, quaecunque tamen inciderint, ab ista lege se avocari. veneris die omnes uno consensu frequentes in templa commeant, orationibus operam dantes. legem habent, quae edicit ut nullam imaginem neque aliam picturam in templa admittant, precationem ad deum transmittentes. eligunt sacerdotes, de quorum grege unus extra templum in turris pinnaculum ad id comparatum ascendit magnaque voce deum adorat. preces solemnes semper maiore voce peragere solent. hoc modo Turci preces suas concelebrant; at-

μάλιστα ἐντεταμένον, μηδ' ὁτιοῦν ἀνιέναι προσδεχομένους· ἐς δὲ τὰ ἄλλα τά τε ἐς δίαιταν καὶ ἐς τὸν βίον αὐτοῖς οὔτε κεκολασμένον νομίζεται, ὥστε μὴ ἐς τὸ τοῦ βίου ἡδὺ πολιτεύεσθαι· οὕτω τὴν φύσιν μηδαμῇ βιάζεται. γυναῖκας μὲν γὰρ ἄγεσθαι, παλλακίδας μέντοι ἀπὸ ἀνδραπόδων, ὅσας ἂν ἕκαστος οἷός τε εἴη τροφὴν παρέχεσθαι ἐς τὸν βίον. γυναῖκας δὲ κουριδίας ἄγεσθαι ἐς τὰς πέντε, καὶ τούς τε ἀπὸ ἀνδραπόδων παῖδας νομίζεσθαι σφίσιν οὐ νόθους. ἂν δὲ ἀπὸ παλλακίδων ἐλευθέρων γένωνται σφίσι παῖδες, νόθοι τε αὐ-
P. 65 τοῖς νομίζονται, καὶ οὐκ εἰς τὴν πατρῴαν οὐσίαν εἰσέρχονται. ὠνοῦνται δὲ καὶ τὰς κουριδίας, ὅσου ἄν τις βούλοιτο ἐκδοῦναι τὴν ἑαυτοῦ θυγατέρα. λαμπάδων δὲ προενηνεγμένων σφίσιν ἐς τοὺς γάμους ἄγονται τὰς γυναῖκας. ἂν δὲ ἀχθεσθεὶς τῇ γυναικὶ ὁ ἀνὴρ ἐπείπῃ τοῦ λοιποῦ ἀπὸ τριῶν σπληνῶν ἀποσχέσθαι αὐτῆς, ἤδη ἠλλοτρίωται τῷ λόγῳ ἡ γυνὴ τοῦ ἀνδρός. νομίζεται δὲ αἴσχιστον, ἣν ἄν τις ἀποπέμψηται, αὖθις αὐτὴν ἀγαγέσθαι· ἂν δὲ μὴ ὑπὸ ἑτέρου μοιχευθῇ, οὐκ ἔξεστιν ἀγαγεῖν. οἴνῳ δὲ χρῆσθαι ἀθέμιτον ἀπαγορεύει τῷ γένει τούτῳ, καὶ μὴ λουσάμενον μὴ ἐξεῖναι αὐτῷ ἐς τὴν
B προσευχὴν ἰέναι. δεκατείαν δέ τινα ἐξελόμενος τῷ θεῷ τοῦ ἔτους, ἐς νηστείαν αὐτοὺς προάγεται ἐς τριάκοντα καὶ ἐπέ-

11. ὅσον P 14. ἀχθεσθείη P

que tanta utuntur diligentia in iis perficiendis, ut interim nihil vel laboris vel alterius rei suscipiant, quo minus ipsae interrumpantur. quantum ad caetera, videlicet ad victus rationem et ad reliquum vitae modum attinet, constat eos nullis inhiberi poenis: adeo feruntur, quo minus voluptariam sectentur vitam, affectibus nunquam non obtemperantes. uxores enim ducunt, pellicesque ex mancipiorum grege numero tot diligunt quotquot quilibet alere potest: uxores autem virgines accipiunt nemine prohibente, donec quinque sibi copulaverint. liberos ex mulieribus captivis natos non spuriorum numero habent. sin autem ex pellicibus liberos ferant, eos spurios censent, nec paternae hereditatis participes fiunt. mercantur virgines, quando quis suam vult elocare filiam. faces ipsis praeferuntur, quando nuptiale festum celebrant. maritus si parum dextre erga uxorem fuerit affectus, edicit se a tribus splenibus ab ipsa avellendum. si ad istum modum uxor repudiata fuerit a viro, turpissimum esse creditur eam quam repudiaverit recipere. nec recipere eandem nisi ab alio adulterio inquinatam licet. vino uti nefas ducunt Turci. nec audet aliquis de isto genere, nisi lotus, frequentare orationes. etiam decimas quasdam quotannis seponunt deo. ieiunium Mechmetes imperavit isti hominum generi, quod durat triginta diebus aut etiam amplius. diebus istis omnibus nihil vel esculenti vel poculenti admittunt. ve-

κεινα ἡμέρας. τῆς μέντοι ἡμέρας ὅλης μηδ' ὁτιοῦν προσίεσθαι μήτε τροφῆς μήτε πόσεως, ἑσπέρας δέ, ὅταν ἄστρα φαίνηται, σιτίζεσθαι· πάντων δὲ μάλιστα τὸν χρόνον τοῦτον μὴ ἐξεῖναι οἶνον πιέσθαι τὸ παράπαν. περιτέμνεσθαι δὲ τὸ αἰδοῖον χρῆναι παντάπασιν. Ἰησοῦν δὲ θεοῦ τε ἀπόστολον γενέσθαι νομίζει, καὶ ἐξ ἀγγέλου τοῦ Γαβριὴλ καὶ ἐκ τῆς Μαρίας, παρθένου τε οὔσης καὶ μηδενὶ ἀνδρὶ συγγενομένης, γεννῆσαι Ἰησοῦν, ἥρωά τινα μείζω ἢ κατὰ ἄνθρωπον· καὶ ἐς τὴν τελευτὴν τοῦδε τοῦ κόσμου, ἐπειδὰν ἐς κρίσιν τῶν σφίσι βεβιωμένων καθιστῶνται οἱ ἄνθρωποι, τόν γε Ἰησοῦν C φασὶν ἄγεσθαι διαιτητὴν τοῦ κόσμου. συὸς δὲ μὴ ἅπτεσθαι θέμις εἶναι, καὶ τά γε ζῶα πάντα ἐσθίουσιν, ἂν μέντοι ἐπὶ σφαγὴν γένωνται. θεὸν μὲν οὖν ἕνα ἐφιστῶσι τῷδε τῷ παντί, ὑπηρέταις δὲ χρώμενον τοῖς πυρίνοις, ᾗ φασί, νόοις. πεπομφέναι δὲ Μεχμέτη ἐς τὰ ἐλλιπῆ τοῖς πρότερον ἐπιπεμφθεῖσιν ὑπὸ θεοῦ ἐς τὴν οἰκουμένην νομοθέταις. κάθαρσιν δὲ ἡγοῦνται τήν τε περιτομὴν σφίσι πάντων δὴ μάλιστα, ἐν ᾗ καὶ γάμους ποιοῦνται. ταφὰς δὲ αὐτοῖς παρὰ τὰς ὁδοὺς νομίζεται γίνεσθαι, καὶ μηδὲν ἄλλο ἐξεῖναι θάπτειν. θάπτουσι δὲ λούσαντες καὶ ξυρῷ ἅμα τὸ σῶμα. νομίζεται δ' ἔτι καὶ τό- D δε, ὃς ἂν μὴ πείθηται τῷ νόμῳ, τελευτᾶν τῷ σιδήρῳ. Ἀρμενίους δὲ μόνους τῶν ἄλλων ἐθνῶν διαφερομένων σφίσιν ἐς τὴν θρησκείαν οὐκ ἀνδραποδίζεσθαι, ὡς Ἀρμενίων τινὶ

spere demum, ubi iam coruscarint astra, ad cibum capiendum congregantur. nulli autem licet, isto praesertim tempore, vinum gustare prorsus. mentulam totam circuncidere solent. confitentur Turci Iesum dei esse apostolum. deum etenim ex angelo Gabriele et Maria virgine, quae nullum cognoverat virum, Iesum genuisse, heroa quendam homine maiorem sive augustiorem. in novissimo die, quando universale iudicium peragetur, aiunt Iesum mundi iudicem sive arbitrum fore. suem attingere Turci haud fas arbitrantur. reliqua animalia edunt, si mactata fuerint. deum universi esse moderatorem haud ambigunt, dicentes eum uti ministris mentibus, ut vocant, ignitis. existimant autem Mechmetem venisse missum a deo, ut ea replerentur in quibus defectum patiebantur prisci a deo prodeuntes legislatores. circuncisionem iudicant esse purgationem omnium praecipuam: proinde circuncisionis tempore nuptias contrahunt. solet istud hominum genus sepulcra iuxta vias collocare, nec in ullo alio loco sepelire licet. sepulturae autem mandant cadavera lota et omni a parte rasa. est et alia lex, quae iubet parere legislatori: non obtemperantem gladio ultore ferit. ex Armeniis solis, quamvis ab ipsis in religionis negotio dissentiant, mancipia non rapiunt, quia Arme-

προειρηκότι τὸ [γὰρ] κλέος αὐτοῦ ἐς τὴν οἰκουμένην ἐσόμενον. διὰ τοῦτο μὴ ἐπιτρέπειν ἀνδραποδίζεσθαι Ἀρμενίους.

Ταῦτα μέντοι ἐς τὴν νομοθεσίαν ἀποδεδειγμένους αὐτῷ
V. 52 ὡς πλεῖστον τῆς οἰκουμένης κατέχειν μέρος, καὶ ἐπὶ μέγα ἐλθεῖν ἔστε τὴν Ἀσίαν καὶ ἐς τὴν Λιβύην καὶ ἐς μοῖραν τῆς Εὐρώπης οὐκ ὀλίγην, τὴν ἐς Σκύθας τε καὶ τοὺς νῦν
P. 66 Τούρκους, καὶ ἐς τὴν Ἰβηρίαν τούς γε Λίβυας. λέγεται δὲ τελευτῆσαι ἐπὶ παιδὶ Ἀλίῃ βασιλεύοντι Ἀραβίας· ἐκεῖνόν τε γὰρ ὡς νομοθέτην προσέμενόν τε, καὶ πειθόμενοι αὐτῷ, ἐφ' ὅ τί γε ἂν ἐξηγοῖτο, ἐπέτρεψάν τε αὐτῷ τὰ πράγματα καὶ σφᾶς αὐτοὺς χρῆσθαι ὅπως ἂν βούλοιτο. μετὰ δὲ ταῦτα στρατόν τε συναγείρας ὡς πλεῖστον, ἐπῄει τῆς τε Αἰγύπτου καὶ τῆς ἄλλης Ἀραβίας ἔστιν ἃ καταστρεψόμενος, καὶ τὴν ψάμμον διαβὰς τῆς Ἀραβίας τὰ τῇδε αὐτοῦ ἔθνη ὑπηγάγετο. βασιλεύσας ἔτη . . . . ἐτελεύτησε δὲ ἐν χωρίῳ τινὶ Μεκέ, οὑτωσὶ καλουμένῳ. καὶ ὅ τε στρατὸς καὶ οἱ τὴν χώ-
B ραν οἰκοῦντες ἔθαψαν αὐτὸν μεγαλοπρεπῶς καὶ ἐπένθησαν μεγάλως. καὶ τελετὰς αὐτῷ ποιοῦνται οἱ Ἄραβες ἀνὰ πᾶν ἔτος ὡς ἥρωί τε καὶ ὑπὸ θεοῦ τάχα ἐς τὴν νομοθεσίαν σφίσιν ἀνδρὶ εὐαγεῖ ἀποδεδειγμένῳ. τά τε ἐς τὴν νομοθεσίαν ἐπιεικῆ τε καὶ οὐ τυράννῳ γενομένῳ οὕτως γεγενῆσθαι.

Ἐπεὶ δὲ ἐτελεύτησεν, Ὁμούρης ὁ τῶν μαθητῶν αὐτοῦ

nus quidam vaticinatus est gloriam Mechmetis per universum orbem propagandam. estque haec unica causa, viri honori id tribuentes, quod nulla ab Armenis mancipia abducant.

Haec quidem ubi Mechmetes legibus sanxisset, plurimam orbis partem occupavit. in Asia Libya et Europae regione non modica, quae se extendit ad Scythas et ad eos qui hodie sunt Turcos, usque ad Iberiam non parva Mechmetis extitit auctoritas. mortuus esse traditur filio suo Aliae Arabiam regente. hunc enim legislatorem ubi promptis animis assumpsisset, ei obedierunt in omnibus, quocunque tandem ipsos eduxisset. etiam rerum suarum summam isti commiserunt, ut ipsis pro suo arbitrio uteretur. hinc copias contraxit plurimas, quas contra Aegyptum duxit, et reliquae Arabiae quaedam subegit. transiens autem loca arenosa Arabiae, gentes ibi morantes suo imperio adiunxit. cum regnasset annis * * defunctus est in loco quodam cui nomen est Mecha. milites regionisque incolae magnifice exequias duxerunt et graviter eum luxere. quotannis in eius honorem sacra faciunt Arabes. heroa etenim quendam eum esse putant, eundemque ut virum sanctum a deo ordinatum, ut ipsis leges ferret, quem in dandis legibus non tyrannum, at virum quendam aequitatis vel in primis amantem iudicarunt.

Mortuo Mechmete, Homures discipulorum spectatissimus a filio

δοκιμώτατος, ὑπὸ τοῦ παιδὸς αὐτοῦ τὴν ἀρχὴν παραδεξάμενος, καὶ τὸν στρατὸν ἅμα ἀγόμενος, πρῶτον μὲν ἐπὶ Συρίαν ἐλαύνων τήν τε χώραν ὑπηγάγετο, τὰ μὲν πολεμῶν τὰ δὲ ἀναπείθων τε, σπενδόμενος ἐπὶ ῥητοῖς. μετὰ δὲ ταῦτα Κίλικάς τε ἐχειρώσατο καὶ Φρύγας καὶ Μήδους τε καὶ Ἴωνας, C πρὸς δὲ καὶ τὰ ἄνω τῆς Ἀσίας ἐπιὼν κατεστρέφετο, τήν τε νομοθεσίαν ἐπιβεβαιούμενος τοῖς ἀνὰ τὴν Ἀσίαν ἔθνεσι τῶν βαρβάρων, καὶ τῶν ξυμμαθητῶν αὐτοῦ ἔς τινας ἄλλους ἄλλῃ διαπέμπων, πείθειν τε πειρώμενος. καὶ τάφον τῷ Μεχμέτῃ πολυτελῆ κατασκευασάμενος αὐτοῦ ὑπερεγένετο. τελετάς τε ἐπετέλει αὐτῷ μεγάλας τε ἀνὰ πᾶν ἔτος, καὶ τοὺς ἄλλους ἔπειθεν αὐτῷ τε προσεύχεσθαι καὶ ἐς τὸν τάφον αὐτοῦ φοιτῶντας δικαίους γίνεσθαι· καὶ νῦν ἀπό τε τῆς Ἀσίας καὶ τῆς Λιβύης καὶ ἀπὸ τῆς Εὐρώπης δὴ οὐκ ὀλίγοι ἰόντες ἐς τὸ μνῆμα τοῦ Μεχμέτεω μέγα τε σφίσιν οἴονται ἐς εὐδαι- D μονίαν αὐτοῖς φέρειν τὸ τοιοῦτον. πορεύονται δ' οἱ μέν, οἱ δὲ ἀργυρίου τελοῦσι τοῖς ὑπὲρ σφῶν αὐτῶν βουλομένοις ἰέναι. ἔστι δ' ἡ ὁδὸς χαλεπωτάτη ἰέναι διὰ τὴν ψάμμον, ἐπὶ καμήλων δὲ τὴν τροφὴν φερουσῶν καὶ τὸ ὕδωρ· ἀφθόνῳ γὰρ οὐκ ἔχουσι χρῆσθαι αὐτῷ τὸ παράπαν. καὶ οὕτω δὴ τὰ ἐπιτήδεια συσκευασάμενοι σφίσιν ἀναβαίνουσί τε ἐπὶ τὰς καμήλους, σημείοις διαχρώμενοι ἐς τὴν πορείαν ταῖς τοῦ μα-

2. ἑλόμενος T   3. τὰ δὲ] τά τε P   18. ἵεσθαι RT

eius regni moderamen accepit, assumptoque exercitu contra Syriam profectus est, regionemque plurimam partim vi partim persuasione foederibusque in dicionem acquisivit. hinc in dicionem venere Cilices Phryges Medi et Iones. ad haec suo imperio admovit quasdam superioris Asiae regiones. in religione sua gentes Asiae barbaras confirmavit, et quosdam discipulorum suorum in alias regiones dimisit, cupiens easdem in suam religionem recipere suadela. sepulcrum quoque pretiosum in honorem Mechmetis adornans ibi manebat. sacra quoque magna quotannis in honorem Mechmetis fieri procuravit. persuasit aliis plurimis ut Mechmetem adorarent. eos quoque iustos fieri asseverabat qui ipsius sepulcrum inviserent. etiam hodie non pauci ab Asia et Libya Europaque Mechmetis sepulcrum adeunt, putantes se hinc maximum colligere religionem et probiores fieri. quidam ex ipsis istam peregrinationem ingrediuntur: quidam argentum numerant iis qui pro ipsis peregrinationem suscipiunt. via autem quae ad sepulcrum ducit, est asperrima et difficillima. eundum enim est per arenam, non citra camelorum alimenta portantium opem. nec aqua, qua utantur, ad manum prompta est sufficiens omnino. in hunc igitur modum necessaria praeparantes camelos conscendunt,

γνήτου ἀποδείξεσιν, ᾗ δὴ ἀπὸ τῆς ἄρκτου ἐπιλεγόμενοι ὅποι
τῆς οἰκουμένης ἴεσθαι δεῖ αὐτούς. τούτῳ τεκμαιρόμενοι τὴν
P. 67 ὁδὸν διαπορεύονται. ἐπειδὰν δὲ ἀφίκωνται ἐς χώρας αὖθις
τινὰς ἐν οἷς ἔνεστιν ὕδωρ, ὑδρευσάμενοι αὖ ἐντεῦθεν ἀπιοῦ-
σι, καὶ ἀφικνοῦνται ἡμέραις τεσσαράκοντα τὴν ψάμμον δια-
βάντες ἐς τὸ σῆμα τοῦ Μεχμέτεω. λέγεται δὲ τὸ σῆμα τοῦτο
ὑπὸ λίθων πολυτελεστάτων κατασκευασθῆναι, καὶ ἐν μέσῳ
τοῦ ναοῦ τὸ σῆμα μετεωριζόμενον ἀπαιωρεῖσθαι. ὅπερ ἀπί-
θανόν μοι δοκεῖ. διέχει δὲ ἀπὸ τοῦ χώρου τούτου, ἐν ᾧ τὸ
V. 53 σῆμα αὐτοῦ, ἐπὶ τοὺς ὡσεὶ σταδίους ἐνενήκοντα, καὶ ἐξιόν-
τες ἐντεῦθεν ἴενται ἐπὶ τὸν χῶρον τοῦτον. τούς τε νόμους
αὐτοῦ καὶ τὰ Ἀλκωρὰ ἐκτέθειται, τῇ τε ἀθανασίᾳ τιθέμενοι
B τῆς ψυχῆς. ἀγνωμοσύνης οὐδέν τι πάνυ οἴονται μετεῖναι
τῷ θείῳ.

Ταῦτα μὲν οὖν τὴν τοῦ Μεχμέτεω νομοθεσίαν ἐς το-
σοῦτον ἀναγεγράφθω ἡμῖν· Τεμήρης δ' ὡς τὴν χώραν ταύ-
την ληισάμενος, καὶ πόλεις ἑλὼν ἐνίας, ὑπεκομίζετο ἐπὶ Σε-
μαρχάνδης. Σκύθας δὲ ὡρμημένους ἐπυνθάνετο ἀπὸ Ταναΐ-
δος τήν τε χώραν αὐτοῦ ἐπιδραμεῖν καὶ ληίσασθαι οὐκ ὀλί-
γα· χαλεπῶς δὲ ἔφερεν. ἐντεῦθεν δὲ αὐτίκα ἴετο ὁμόσε ἐπὶ
τοὺς Χαταΐδας. λέγονται δὲ οὗτοι εἶναι Μασαγέται τὸ πα-
λαιόν, καὶ διαβάντες τὸν Ἀράξην τῆς ἐπὶ τάδε τοῦ ποταμοῦ

8. ὅπερ — δοκεῖ om RT   13. τῇ ψυχῇ P   15. οὖν ἐς τὴν?

utentes signis quae viam commonstrent, magnetis demonstrationibus. colligentes igitur ab septentrionali plaga, qua orbis parte eundum sit, eo viam coniectantes pergunt. ubi autem accesserint loca in quibus aquarum fuerint scaturigines, aquantes inde abeunt; transitaque arena intra quadraginta dies ad Mechmetis corpus perveniunt. sepulcrum eius compertum habeo extructum esse ex lapidibus pretiosissimis, et sublime pendere in medio templo. intervallum autem eius loci ubi sepulcrum conspicitur, usque ad hunc locum stadia continet circiter nonaginta. inde egressi ad eum locum contendunt, ibi siquidem leges et Alcorae explicantur. animae quoque immortalitatem astruunt. nec numini ignorantiam adscribunt.

Haec quidem hactenus, quantum ad Mechmetis religionem attinet annotavimus. Temires autem cum regionem populationibus afflixisset urbesque aliquot occupasset, Semarchandam se contulit. Scythas acceperat profectos a Tanai in regionem suam impetum fecisse, praedasque egisse non modicas; quam quidem rem gravissime tulit. hinc recta iter instituit contra Chataidas, iis pestem minitans. hi antiquitus Massagetae extitisse creduntur, et traiecto Araxe regionis partem flumini adiacentem non modicam occuparunt; in qua et se-

χώρας ἐπὶ πολὺ διεξελθεῖν, καὶ ὑφ' αὐτοῖς ποιησαμένους ἐνοικῆσαι. τούτους παρεσκευάζετο ὡς ἐλῶν, καὶ στράτευμα ποιησάμενος ἐς ὀγδοήκοντα μυριάδας ἐστρατεύετο ἐπ' αὐ- C
τούς. καὶ συμβαλὼν μάχῃ τε ἐκράτησε τοὺς Χαταΐδας, καὶ ἐπὶ τὴν ἀγορὰν αὐτῶν τούτων καὶ ἐπὶ τὰ βασίλεια ἐλαύνων ὁμολογίᾳ τε παρεστήσατο, καὶ μισθωσάμενος παμπόλλους αὐτῶν, τούς γε κρατίστους τὰ ἐς πόλεμον γενομένους, ᾤχετο ἄγων. ὁμήρους δὲ λαβὼν καὶ τῶν ἀρίστων τοὺς παῖδας, καὶ φόρον ταξάμενος τούτοις ἀπάγειν τοῦ ἐνιαυτοῦ, ἀπήλαυνε. τὰ δὲ Χαταΐα πόλις ἐστὶ πρὸς ἕω τῆς Ὑρκανίας μεγάλη τε καὶ εὐδαίμων, πλήθει τε ἀνθρώπων καὶ ὄλβῳ καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ προφέρουσα τῶν ἐν τῇ Ἀσίᾳ πόλεων πλὴν Σεμαρχάνδης καὶ Μέμφιος, εὐνομουμένη δὲ τὸ παλαιὸν ὑπὸ Μασαγετῶν. τῶν μέντοι Περσῶν τοὺς πλείστους μισθω- D
σάμενος τούτους, οἷα τῶν τε Σκυθῶν ἐμπείρους ὡς τὰ πολλὰ γενομένους καὶ τὰ ἐς τὴν δίαιταν οὐκέτι ἁβροὺς ὄντας, ἐν νῷ ἔχων ἐπὶ Σκύθας στρατεύεσθαι, ἐπὶ τὴν ἀγορὰν αὐτῶν τὴν Οὐρδὰν καλουμένην, καὶ πυνθανόμενος ὡς εἴη τε τὸ γένος τοῦτο παλαιότατόν τε τῶν κατὰ τὴν οἰκουμένην ἐθνῶν, καὶ οὐδένα ἔτι πρὸ αὐτοῦ βασιλέων χειρώσασθαι τοῦτο τὸ γένος, κακὰ δὲ ὡς πλεῖστα ἐργασάμενον ποιῆσαι τήν τε Ἀσίαν καὶ Εὐρώπην, ἐπιδρομῇ τὰ πλείω ταμιευόμενον τῇ χώρᾳ. ταῦτα

des suas fixerunt. hos domare parabat Temires. proinde comparato exercitu, qui complectebatur octoginta myriades hominum, bello eos aggrediebatur. collatis tandem signis, praelio vicit Chataides. dehinc arma contra Agoram regnique eorum sedem ferens, pactionibus eam in deditionem accepit. conductis quoque inde mercede plurimis et optimis militibus victor discedebat. etiam obsidibus acceptis, imperatoque tributo annuo, domum reversus est. Chataia urbs est Hyrcaniae, versus Orientem, magna et opulenta: multitudine hominum et divitiarum copia reliquaque felicitate superat reliquas, praeter Semarchandam et Memphim, Asiae urbes. optimis legibus eam fundavere iam olim Massagetae. mercede itaque sibi paravit Temires Persarum plurimos, ut qui essent gnari rerum Scytharum, quia plerumque cum his conversarentur nec amplius forent in victus ratione delicatuli. his munitus animo agitabat vim belli vertere omnem in Agoram eorum, quam Urdam nominant. audiens autem eam gentem omnium quas orbis habet esse antiquissimam, nec ullum qui praecesserant regum domare eam quivisse, quamvis magna damna dedissent Europae Asiaeque suis incursionibus, et hinc plurimas corrasissent opes, eo magis ad eam expeditionem accendebatur. praeterea animo versans etiam Darium Hystaspis filium regem electum, et arma

δὲ ἐπὶ νοῦν τιθέμενον, καὶ ὡς Δαρείῳ τῷ Ὑστάσπεω βασιλεῖ
P. 68 γενομένῳ Περσῶν καὶ ἐπιστρατεύσαντι αὐτοὺς οὐδέν τι προυχώρησεν, ὥρμητο αὐτὸς ἐπὶ τοῦτο τὸ κλέος ἰέναι. ὥστε δὲ αὐτῷ ἔχεσθαί τε τοῦ ἔργου ἐγγυτέρω τούτων γενόμενον, ἐς τὴν χώραν Χερίην πόλιν κατοικήσας, ἀπό τε τῆς Σεμαρχάνδης καὶ στρατιωτῶν καὶ τῶν ἀρίστων αὐτῷ στελλομένων ἐς τὴν ἀποικίαν, ᾤκισε πόλιν Χερίην οὕτω καλουμένην, μεγάλην τε καὶ εὐδαίμονα ἅτε τοῦ βασιλέως ἐν αὐτῇ διατρίβοντος καὶ τῶν ἀρίστων αὐτοῦ, τῶν τε τῆς Ἀσίας στρατῶν ἐς αὐτὴν συνιόντων. μεγάλη τε ἐν βραχεῖ ἐγένετο ἡ Χερίη, καὶ εὐνομήθη μέντοι καὶ ὕστερον, οὐχ ἥκιστα δὲ βασιλέως Τεμήρεω
B περιόντος. ὅποι μὲν οὖν τῆς Ἀσίας ᾤκισται ἡ πόλις αὕτη, καὶ εἴτε ἐν τῇ Ἀσσυρίᾳ χώρᾳ εἴτε καὶ ἐν τῇ Μήδων, οὐκ ἔχω τεκμήρασθαι. λέγουσι μέν τινες Νῖνον τὴν Χερίην γενέσθαι τὸ παλαιὸν καὶ ἐς τὴν Ἀσσυρίων χώραν τετάχθαι, τεκμαιρόμενοι τοῦτο ἀπὸ τῆς Παγδατίνης Βαβυλῶνος. οἰκίσας δὲ Χερίην πόλιν, καὶ τὰ βασίλεια ἐν αὐτῇ ποιησάμενος, ἐπενόει ἐπὶ Αἴγυπτόν τε καὶ ἐπὶ Σκύθας στρατεύεσθαι καὶ τὴν τούτων ἀγορὰν Οὐρδὰν καλουμένην, καὶ στρατὸν μέγαν
V. 54 συναγείρας καὶ τοὺς Χαταΐδας συμπαραλαβὼν ἤλαυνεν εὐθὺ Ταναΐδος. ἐνταῦθα πυθόμενοι Σκύθαι Τεμήρη βασιλέα ἐπὶ
C σφᾶς ἐπιόντα μεγάλῃ παρασκευῇ, τήν τε εἴσοδον ἔπεμπον στράτευμα προκαταληψομένους τῶν ὀρέων, ᾗ ἔμελλε Τεμήρης

12. περιιόντος P

isti genti inferentem, nihil effecisse, ipse sibi hoc decus eximium petere statuit. ut istam vero rem ad optatum duceret finem, optimum esse ratus ut quam proxime ad ipsos accederet, in Cheriam urbem coloniam ducere decrevit, transferens eo milites aliosque homines plurimos ex Semarchanda. huc, ut regis sententiam intellexere, convenerunt et alii plurimi proceres regni. cum autem ipse in eadem urbe versaretur, optimates Asiaeque milites optimi ad ipsum quotidie confluebant. hinc urbs illa brevi incredibiliter aucta est. etiam bonis et saluberrimis legibus gubernabatur, superstite adhuc Temire. in qua autem Asiae parte urbs ea sita sit, in Syriorum an in Medorum regione, assequi nequeo. sunt qui tradant Ninum antiquitus Chariam extitisse et in Assyriorum regione locatam esse, coniecturam facientes a Pagdatina Babylone. Temires ut urbem Cheriam habitatoribus replevit, et in ea regni sui sedem paravit, in animum induxit bellum inferre Aegypto Scythis et horum Agorae, quam Urdam nuncupant. conscripto igitur exercitu maximo, et assumptis Chataidis, recta ad Tanaim contendit. Scythae ut acceperunt Temirem cum copiis accedere, ut montium angustias, qua Temires exerci-

σὺν τῷ στρατῷ αὐτοῦ διιέναι. Σκύθαι μὲν οὗτοι τὸ πάλαι ἐς μοίρας τινὰς διῃρημένοι ἐνέμοντο τὴν χώραν ἀπὸ Ἴστρου ἔστε ἐπὶ τοὺς ὑπὸ τὸν Καύκασον. νῦν δὲ γένος μέν τι τούτων ἐς τὴν Ἀσίαν γενόμενον, τὰ πρὸς ἕω αὐτοῦ τε ἐνοικῆσαν τὴν ἐπὶ τάδε τῆς Ἀσίας χώραν, καὶ ἐπὶ πολλὰ τετραμμένον, Σαχαταῖοι ἐκλήθησαν, ὑπὲρ τὴν τῶν Περσῶν χώραν ἐς τοὺς Σάκκας τε καὶ Καδδαίους· ἀφ' ὧν δὴ καὶ Τεμήρην αὐτὸν οἴονται γεγονέναι τινές. ἔστι δὲ τοῦτο γένος ἄλκιμόν τε τῶν κατὰ τὴν Ἀσίαν καὶ πολεμικώτατον, καὶ σὺν τούτοις λέγεται Τεμήρης τὴν ἡγεμονίαν τῶν ἐν τῇ Ἀσίᾳ παραλαβεῖν, D πλὴν Ἰνδῶν. οἱ δὲ λοιποὶ Σκύθαι κατὰ ταὐτὸ φρονοῦσί τε καὶ ὑφ' ἑνὶ ἄρχονται βασιλεῖ, κατὰ Οὐρδὰν τὴν καλουμένην ἀγορὰν τὰ βασίλεια ποιούμενοι, ἀποδεικνύμενοι σφίσι βασιλέα γένους τε ὄντα τοῦ βασιλείου τὸ παλαιότατον. καὶ ἔστι δὴ καὶ ἀλλαχοῦ τῆς Εὐρώπης ἐς τὸν Βόσπορον μοῖρα τούτων οὐκ ὀλίγη, ἀνὰ τὴν χώραν ταύτην διεσκεδασμένον, ὑπὸ βασιλεῖ ταττόμενον, οἴκου τῶν βασιλέων, ὄνομα δὲ τούτῳ Ἀτζικερίης. οὗτοι μὲν οὖν ὡς ἐπετράποντο σφᾶς τούτῳ τῷ βασιλεῖ, ἐς τήνδε ἀφικόμενοι τὴν χώραν, ἐπελάσαντες ἐς τὸν Ἴστρον, καὶ δὴ καὶ τὸν Ἴστρον διαβάντες, μοῖρά τις οὐκ ὀλίγη P. 69 τῆς Θρᾴκης λεηλατοῦντες ἐπέδραμον, καὶ ἀνεχώρουν ἀπὸ Σαρματίας ἐπὶ τὸν Τάναϊν ἰόντες. καὶ πολλὰ μὲν τοῦ γένους

3. τοι P 7. δὲ P 12. ἄρχονται II, ἄρχοντι P

tum traducere cogitabat, praeoccuparent, miserunt et ipsi exercitum hosti obviam. Scythae quidem, iam olim in tribus quasdam discreti, tenebant regionem ab Istro excurrentem usque ad Caucasi accolas. nunc autem genus quoddam illorum hominum in Asiam advenit, et ibi ea loca quae Orientem spectant inhabitavit, et hinc ad reliquam Asiae penetravit regionem. istud hominum genus Sachataeos vocant. supra Persarum regionem usque ad Saccas et Caddaeos domicilia habent. quidam ex his originem ducere Temirem asserunt. gens ista fortitudine et bellicarum rerum gloria vincit reliquas omnes Asiae gentes. his auxiliaribus Scythis Temires, ut quidam docent, ad Asiae imperium evasit, devictis omnibus praeterquam Indis. reliqui Scythae a praedictis nihil differunt, regem unum habent. regni sedem Urdam constituere, creaveruntque regem qui ex vetustissima descenderet prosapia. extat et alia pars eorum non exigua per Europam usque ad Bosporum Thracium habitans, per eam regionem dispersa; quibus et ipsis rex est qui ex antiquissima regum gente processit. Atziceries ei nomen est. hi itaque ut se commiserunt regi, in hanc venere regionem, progressi usque ad Istrum. hinc manus quaedam horum non modica Istrum transvecta Thraciam vastavit,

τούτου αὐτοῦ παρὰ τὸν Ἴστρον ἐνέμειναν. ὧν τὸ πλέον ἐπὶ Παιαζήτεω διαβὰν τὸν Ἴστρον ἐνέμειναν. ᾠκίσθη χωρὶς ἕκαστον μέρος τοῦ γένους τούτου γενόμενον. τὸ δὲ ὑπολειφθὲν μέρος αὐτοῦ πέραν τοῦ Ἴστρου Καζιμήρῳ τῷ βασιλεῖ Λιτουάνων τὴν δίαιταν ἔχουσι, τὴν γῆν νεμόμενοι ἐς ἔτι καὶ νῦν, ἔς τε τὸν πρὸς τοὺς περιοίκους αὐτῷ πόλεμον συμβαλλόμενοι τὰ κράτιστα· ὅποι γὰρ ἂν τὸ γένος τοῦτο τυγχάνωσιν ὄντες, δοκοῦσί τε τὰ ἐς πόλεμον καὶ εἰσὶ κράτιστοι. οἱ δὲ περὶ τὸν Βόσπορον καὶ τὴν Ταυρικὴν νῆσον καλουμένην, B διείργουσαν λίμνην τε τὴν Μαιώτιδα καὶ τόνγε Εὔξεινον πόντον, ὑπὸ τῷ βασιλεῖ Ἀτζικερίῃ τά τε ἔθνη τὰ ἐς γῆν ληιζόμενοι κατεστρέψαντο ἐς φόρου ἀπαγωγήν, τούς τε Γότθους καλουμένους καὶ Ἰαννύους τοὺς τὴν τοῦ Καφᾶ πόλιν ἐνοικοῦντας. καὶ Σαρματίας μέρος τι ἀπάγει τούτῳ τῷ βασιλεῖ φόρον. Σαρμάται μὲν οὖν οἱ πρὸς Εὔξεινον πόντον καὶ οἱ πρὸς ὠκεανὸν τῷ μεγάλῳ Σκυθῶν βασιλεῖ τῶν ἐν τῇ ἀγορᾷ φόρον ἀπάγουσιν, ἐξ ὅτου τὴν Σαρματίαν ἐπιδραμόντες τὰ μὲν ἠνδραποδίσαντο, τὰ δὲ ληισάμενοι κατέσχον ἐπὶ συχνόν τινα χρόνον, καὶ ταύτῃ τὸ ἀπὸ τοῦδε φόρον τε ἐτάξαντο τῷ βασιλεῖ τῷ μεγάλῳ, καὶ ἔτους ἑκάστου ἀπάγουσι.

C Σαρματία μὲν οὖν διήκει ἀπὸ Σκυθῶν τῶν νομάδων ἐπὶ

4. post Ἴστρου H ὑπὸ 12. ἐπαγωγήν P

plurimas incursiones faciendo. relicta Sarmatia Tanaim versus iter ingressi sunt, et pleraque gentis huius pars in regione Istro adiacente mansit. eorum quoque non pauci transvecti Istrum sub rege Paiazite aetatem egerunt. Scytharum genera singula habitant separata ab reliquis. pars quaedam eius gentis relicta cis Istrum sub Cazimiro Lituanorum rege degit. eandem regionem etiamnum tenent, strenue operam navantes suo regi in bellis quae cum finitimis gerit. genus enim istud hominum quocunque accesserit, primas in rebus bellicis tenet fortitudinisque gloria emicat. qui ante Bosporum et Tauricam insulam, quae dirimit Maeotim paludem et Euxinum pontum, accolunt, imperio Atziceriis reguntur. subegerunt Gothos et Ianuenses urbem Capham inhabitantes, ut cogerentur tributum pendere. etiam Sarmatiae quaedam pars huic regi tributaria est. Sarmatae qui incolunt regionem versus Euxinum pontum et Oceanum, magno Scytharum regi, qui in Agora regni sedem habet, tributum pendunt, iam inde ex illo tempore quo in Sarmatiam populabundi cursitantes partim hominum partimque aliarum rerum praedas egerunt; eamque diu obtinuere, imposito tributo, quod singulis annis magno Scytharum regi tribuerent.

Sarmatia a Scythis pastoribus usque ad Dacos et Lituanos se

Δάκας τε καὶ Λιτουάνους, γένος τῶν Ἰλλυριῶν φωνῇ τὰ πολλὰ διαχρώμενον. καὶ διαίτῃ τε καὶ ἤθεσι τοῦ Ἰησοῦ νόμοις ἔποικοι, ἐπὶ τοὺς Ἕλληνας μᾶλλον τετραμμένοι οὐ πάνυ συμφέρονται τῷ Ῥωμαίων ἀρχιερεῖ, Ἑλληνικῷ δὲ ἀρχιερεῖ χρῶνται, καὶ τούτῳ πείθονται τὰ ἐς θρησκείαν τε καὶ δίαιταν σφίσι. καὶ ἤθεσι τοῖς αὐτοῖς Ἑλλήνων διαχρώμενοι, σκευῇ τῇ Σκυθῶν παραπλησίᾳ προσχρῶνται. τὰ μέντοι πρὸς Εὔξεινον πόντον Σαρματῶν γένη, ἀπὸ Λευκοπολίχνης καλουμένης, ἡγεμονίαι τε διαλαγχάνουσι τὰ πολλά, τό τε Μοσχόβιόν V. 55 τε καὶ Κίεβος καὶ τὸ Φάρι καὶ Χωρόβιον, πόλεις ὑπὸ τυράννους εὐθυνόμεναι, ἐς τὴν μέλαιναν οὕτω ὑπὸ σφῶν αὐτῶν D καλουμένην Σαρματίαν τελοῦσι. τὰ δὲ πρὸς ὠκεανὸν ὑπὸ τὴν ἄρκτον οἰκημένα γένη λευκὴν Σαρματίαν καλοῦσι. πρὸς μέντοι ὠκεανὸν πόλις Οὐγκράτης καλουμένη, ἐς ἀριστοκρατίαν τετραμμένη, ὄλβον τε παρέχεται καὶ αὐτὴν εὐδαιμονίᾳ ὑπερφέρουσαν τῶν ἄλλων τῆς Σαρματίας πόλεων, τῆς τε λευκῆς καὶ μελαίνης οὑτωσὶ καλουμένης. καὶ διήκει ἐπ' ὠκεανὸν αὕτη ἡ χώρα, Ἰνφλάστη καλουμένη. ἔνθα δὴ ὁρμίζονται καὶ αἱ ἀπὸ Δακίας νῆες καὶ Γερμανίας, φορτία φέρουσαι Βρετανικά τε ἅμα καὶ Κελτικὰ ἐς τήνδε τὴν χώραν. ἀπὸ μὲν οὖν Ταναΐδος ἐς ὠκεανὸν τὸν Βρετανικὸν καὶ ἐπὶ τὴν P. 70 Κελτῶν χώραν εἴη ἂν ὁδὸς τὸ μακρότατον ἡμερῶν πέντε καὶ τριάκοντα τὸ οἰκούμενον ἐπὶ μῆκος, ἐπὶ πλάτος δὲ τὸ μὲν

fundit. Sarmatae Illyriorum linguam in usu habent plerumque. victu moribusque et Christiana religione magis Graecos sequuntur, nec perinde ipsis cum pontifice Romano convenit. habent Graecum episcopum, cui in religionis ritibus auscultant. vivendi rationem moresque Graecorum imitantur. suppellectilis apparatu repraesentant Scythas. Sarmatae, qui loca versus Euxinum pontum ab Leucopolichna urbe tenent, plerumque non regibus, verum ducibus utuntur. Moscoviorum, Kionensium, Tofariensium et Chorobiorum urbes a tyrannis reguntur, tributumque solvere coguntur Nigrae, sic appellatae, Sarmatiae. ea autem Sarmatia, quae sub Septentrione colitur, alba Sarmatia appellatur. versus Oceanum urbs est Ucratis nomine: hanc optimates administrant, divitiasque plurimas suppeditat. opibus facile vincit omnes tum nigrae tum albae Sarmatiae urbes. ea regio extenditur usque ad Oceanum, Euphraste sive Inflaste nuncupata. huc appellunt a Dacia et Germania naves, merces Gallicas et Anglicas in eam regionem advehentes. ab Tanai usque ad Oceanum Britannicum fuerit iter, ubi longissimum, per eam regionem quae habitatur secundum longitudinem, dierum triginta quinque. latitudo su-

ὑπὲρ τὸν Τάναϊν χώραν εἶναι μεγίστην, ἀπὸ Σαρματίας ἔστε ἐπὶ τὴν Ἀσσυρίων χώραν. Σκύθαι νέμονται τήνδε. ἔστι μὲν οὖν, ὡς ἔμοιγε καταφαίνεται, τὰ ὑπὲρ τὸν Τάναϊν χώρα μεγίστη δὴ τῶν τῇ Εὐρώπῃ κατ' ἄμφω, μῆκός τε δὴ καὶ πλάτος ἐπὶ μήκιστον διήκουσα. Πέρμιοι δὲ οἰκοῦσι τὸ πρὸς Βορρᾶν ὑπὲρ τοὺς Σαρμάτας, ὅμοροι δέ εἰσι Σαρματῶν, καὶ φωνὴν τὴν αὐτὴν ἵενται οἱ Σαρμάται τοῖς Περμίοις. λέγε- B *ται δὲ περὶ Περμίων τάδε, ὡς ἔστι γένος ἀπὸ ἄγρας τὸ πλέον τοῦ βίου σφίσι ποιούμενον. . . .*

Καὶ ἡ μέντοι πρὸς ὠκεανὸν διήκουσα Σαρματία ἐπὶ Προυσίαν καλουμένην χώραν διήκει καὶ ἐπὶ τοὺς ταύτῃ λευκοφόρους Ναζηραίους καὶ ἱερὸν τὸ ἐν τῇδε τῇ χώρᾳ. δοκοῦσι δὲ γένος τοῦτο εἶναι Γερμανοί, καὶ φωνῇ τῇ αὐτῶν ἐκείνων προσχρώμενοι καὶ διαίτῃ. οἰκοῦσι δὲ πόλεις περικαλλεῖς καὶ εὐνομουμένας ἐς τὸ κράτιστον. ἔστι δὲ τούτοις ἱερόν, ᾗ δὲ καὶ τὸ ἐν Ἰβηρίᾳ ἱερὸν νομίζεται καὶ ἐν τῇ Ῥόδῳ ἐνοικοῦν Ναζηραίων γένος. ταῦτα γὰρ δὴ τὰ τρία ἱερὰ ἀνὰ τὴν οἰκουμένην ἐς τὴν τοῦ Ἰησοῦ θρησκείαν ἐπὶ τοὺς βαρβάρους ᾠκημένα δὴ καταφανῆ ἐστί, τό τε ἐν Ἰβηρίᾳ πρὸς τοὺς ταύτῃ C *τῶν Λιβύων διαβάντας, καὶ Προυσίων πρός τε τοὺς Σαμώτας καὶ Σκυθῶν τοὺς νομάδας, αὐτοῦ ταύτῃ ἀγχοῦ τὸ πα-*

9. *ποιουμένους* P 11. *ταύτην* P 15. *δὴ*?

pra Tanaim amplectitur regionem maximam a Sarmatia usque ad Assyrios, quam Scythae colunt est quidem, ut mihi videtur, ea regio, quae ultra Tanaim habitatur, longe lateque amplissima. Permii versus Boream supra Sarmatas morantur. Sarmatis finitimi sunt, eius linguae commercio utentes. Permios ferunt gentem esse antiquissimam; venationibusque vivunt, et plurimam vitae partem eo in studio consumunt, et * * * *

Sarmatia versus Oceanum excurrens ad regionem Prussiam dictam se extendit. finitima est Nazaraeis, qui ibi sunt candido amictu gaudentes, et eorum monasterio quod in ea regione situm est. isti homines Germani esse creduntur, quia eorum victum moresque necnon et linguam sectantur. incolunt urbes pulcherrimas et legibus optimis instructas. est his monasterium, quemadmodum Iberis sive Hispanis et Rhodiis, quod Nazaraei inhabitant. nam tria ista monasteria Iesu religionem amplecti in primis per totum orbem, et contra barbaros ordinata esse, omnibus manifestum esse reor. monasterium namque quod Iberia habet, arbitror Afris ea traiicientibus oppositum esse. idem Pruthenum monasterium opponitur Samogetis, necnon Scythis pastoribus, qui et Tartari, ibi in propinquo iam ab antiquo sedes habentibus. Rhodios constat ibi morari, ut resistant Aegyptiis et

λαιὸν ᾠκισμένους, καὶ Ῥοδίους δὲ πρὸς τοὺς ἐν τῇ Αἰγύπτῳ τε καὶ Παλαιστίνῃ διὰ τὸν τοῦ Ἰησοῦ τάφον καὶ πρὸς τοὺς ἐν τῇ Ἀσίᾳ βαρβάρους.

Προυσίων δὲ ἔχονται Σαμῶται, γένος ἄλκιμόν τε καὶ οὐδενὶ τῶν περιοίκων ὁμοδίαιτον, οὐδὲ ὁμόγλωσσον. νομίζει δὲ τοῦτο τὸ γένος θεοὺς Ἀπόλλω τε καὶ Ἄρτεμιν· διαίτῃ δὲ χρῶνται τῇ πάλαι Ἑλληνικῇ καὶ ἤθεσι, σκευῇ δὲ τῇ Προυσίων παραπλησίᾳ.

Τούτων δὲ ἔχονται Βοέμοι, τῇ τε Σαμωτῶν δόξῃ τιθέμενοι καὶ τῇ τῶν Γερμανῶν οἱ ἐν τῇ χώρᾳ ταύτῃ ἐνοικοῦντες, D σκευῇ τῇ τῶν Παιόνων παραπλησίᾳ ἐσκευασμένοι. ἔνεστι δὲ αὐτοῖς μητρόπολις, πόλις εὐδαίμων τε καὶ πολυάνθρωπος, Βράγα οὑτωσὶ καλουμένη, καὶ πολλοὶ τῆς πόλεως ταύτης οὐ πολὺς χρόνος ἐπεὶ ἐπαύσαντο τῷ πυρὶ καὶ τῷ ἡλίῳ θρησκεύειν, μόνον δὲ ἔθνος τοῦτο τῶν ἐν τῇ Εὐρώπῃ ἐκτὸς γενόμενον ταῖς ἐγνωσμέναις ἡμῖν ἐν τῷ παρόντι θρησκείαις, τῆς τε τοῦ Ἰησοῦ φημὶ καὶ τῆς τοῦ Μεχμέτεω καὶ Μωσέως· ταύτας γάρ τοι σχεδόν τι ἴσμεν διακατέχειν τήν τε ἀγνωμοσύνην ὡς τὰ πολλὰ ἡμῖν οἰκουμένην. ἔστι μέντοι, ᾗ πυνθάνομαι, καὶ τὰ ὑπὲρ τὴν Κασπίαν θάλασσαν καὶ τοὺς Μασσαγέτας V. 56 ἔθνος Ἰνδικὸν ἐς ταύτην τετραμμένον τὴν θρησκείαν P. 71 τοῦ Ἀπόλλωνος. νομίζει δὲ ἐκεῖνο τὸ γένος καὶ θεοὺς ἔτι ἄλλους, Δία τε καὶ Ἥραν, ὡς προϊόν τι πρόσω τοῦ λόγου δηλωθήσεται.

15. δὴ?

Palaestinis, propter Iesu sepulcrum; etiam ut obsistant Asiae barbaris, Rhodi aetatem agunt.

Prussios attingunt Samogetae, gens robusta, victus ratione et lingua nulli finitimarum similis. deos venerantur Apollinem et Dianam. victus rationem sequuntur quam Graeci vetusti tenuere; eosdem et moribus repraesentant. suppellectilis apparatu imitantur Prussios.

Iis confines sunt Boemi, sequentes superstitionem Samogetarum, necnon Germanorum qui ibi colunt. suppellectilis apparatu nihil differunt a Pannoniis. metropolim ea gens habet opulentam et populosam, quam Pragam appellant. nec multum temporis intercessit ex quo ea urbs cessavit colere ignem et solem. sola haec gens earum quae intra extraque Europam sunt, quas novimus, adhaerescit Iesu Mosis Mechmetisque religioni. nam omnes has religiones, quamvis nos in ignorantiae tenebris plerumque versemur, gentem istam tenere compertum est. est quidem, quemadmodum audio, ultra Caspium mare et Massagetas gens quaedam Indica, dedita Apollinis cultui. colit et alios deos gens eadem, videlicet Iovem et Iunonem, ut infra fusius dicetur.

Καὶ περὶ μὲν τούτων ταύτῃ ἐπὶ τοσοῦτον εἰρήσθω· Πολάνοι δὲ ἔχονται Σαρματῶν, καὶ τῇ φωνῇ τούτων νομίζουσι, καὶ ἤθεσι δὲ καὶ διαίτῃ τῇ Ῥωμαίων παραπλησίᾳ. Πολάνων δὲ ἔχονται Λιτουάνοι ἐπὶ Εὔξεινον πόντον καὶ ἐπὶ Σαρματίαν καθήκοντες. καὶ οὗτοι μὲν ἡ μέλαινα Πογδανία, ἡ ἐν τῇ Λευκοπολίχνῃ καλουμένῃ τὰ βασίλεια ἔχουσα, ἀπὸ Δακῶν τῶν παρὰ τὸν Ἴστρον ἐπὶ Λιτουάνων καὶ Σαρμάτας
B διήκει. γένος δέ ἐστι τοῦτο δόκιμον, ᾗ ἄν τις τεκμαίροιτο, τήν τε φωνὴν τὴν αὐτὴν ἱέμενον, καὶ ἀπὸ παλαιοῦ διεσχισμένον διχῇ τὸ γένος ἐς τυραννίδας καὶ ἡγεμονίας δύο κατέστη. Λιτουάνους δὲ οὔτε Σαρμάταις εἰσὶν ὁμόγλωττοι οὔτε Παίοσιν, οὔτε μὴν Γερμανοῖς, οὐ μὴν οὐδὲ Δαξίν, ἰδίᾳ δὲ τὸ παράπαν νομίζουσι φωνῇ. ἔστι δὲ αὐτοῖς βασίλεια πόλις μεγάλη τε καὶ πολυάνθρωπος καὶ εὐδαίμων. καὶ δοκεῖ τοῦτο τὸ γένος εἶναί τε μέγα τῶν ἀμφὶ τήνδε τὴν χώραν ἐθνῶν καὶ ἀνδρειότατον, καὶ πρός τε τοὺς Προυσίους καὶ Γερμανοὺς καὶ Πολάνους διαπολεμοῦν περί τε ὅρων τῶν
C ἐς τὴν χώραν. ἔστι δὲ καὶ τοῦτο τὸ γένος πρὸς τὰ τῶν Ῥωμαίων ἔθη καὶ δίαιταν τετραμμένον, σκευῇ δὲ τῇ Σαρματῶν παραπλησίᾳ χρωμένους, καὶ τῇ μελαίνῃ Πογδανίᾳ ὅμορος τὰ πολλὰ οὖσα πρὸς τούτους ἀγωνίζεται.

Σαρμάται δὲ φωνῇ διαχρῶνται παραπλησίᾳ τῇ Ἰλλυριῶν

Haec quidem hactenus. Poloni contermini sunt Sarmatis, quorum et linguam in usu habent. victus ratione moribusque nihil discrepant ab Romanis. Polonis annexi sunt Lituani, qui et ipsi usque ad Euxinum pontum Sarmatiamque pertingunt. et quidem Pogdania nigra, quae regni sedem habet Leucopolichnam, a Dacis Istrum incolentibus ad Lituanos et Sarmatas se proiicit. gentem autem istam satis esse probatam vel hinc quis coniiciat, quod linguam suam retinuere. iam olim ea gens in duas partes divisa, partim quidem a principibus partim vero a ducibus regitur. Lituanis, quantum ad linguam attinet, nihil convenit cum Sarmatis, cum Pannonis, cum Germanis aut cum Dacis: nam quasi peculiarem linguae usum tenent. urbs quam regni sedem constituerunt, magna et opulenta populosaque est. apparet facile istam gentem esse maximam omnium quae in hac regione versantur. fortitudine nulli postponenda creditur, strenue praelians adversus Prussios Germanos et Polonos, gentes finitimas, ut suos tutetur fines. sequitur mores et victus rationem Romanorum; suppellectilis apparatu nihil a Sarmatis differunt. cum autem fere undique nigram Pogdaniam attingant, plerumque adversus eius regionis incolas pugnas ciere solent.

Sarmatarum lingua similis est Illyriorum, Ionium ad Venetos usque accolentium. utri autem horum vetustatis praerogativa gaudeant,

τῶν ἐς τὸν Ἰόνιον παροικούντων ἐς τοὺς Ἐνετούς. ὁπότεροι μὲν τούτων παλαιότεροι, καὶ τὴν ἑτέρων ὁπότεροι τούτων χώραν ἐπινέμονται, ἢ Ἰλλυριοὶ ἐπέκεινα τῆς Εὐρώπης διαβάντες Πολανίαν τε καὶ Σαρματίαν ᾤκησαν, ἢ Σαρμάται δὴ ἐπὶ τάδε τοῦ Ἴστρου γενόμενοι τήν τε Μυσίαν καὶ Τριβαλλῶν χώραν καὶ δὴ καὶ Ἰλλυριῶν τῶν πρὸς τὸν Ἰόνιον ἄχρι δὴ Ἐνετῶν ᾤκησαν, οὔτε ἄλλου τινὸς ἐπυθόμην τῶν παλαιοτέρων διε- D ξιόντος, οὔτ' ἂν ἔχοιμι πάντῃ ὡς ἀληθῆ διασημήνασθαι.

Ἐπάνειμι δὲ ἐπὶ Σκύθας τοὺς νομάδας, ὃ δὴ γένος μέγιστόν τε καὶ ἰσχυρὸν καὶ γενναιότατόν ἐστιν, οἷον οὐδενὶ τῶν κατὰ τὴν οἰκουμένην ἐθνῶν παραβάλλειν, ἂν μὴ πολλαχῇ ἀνὰ τὴν οἰκουμένην κατά τε Ἀσίαν καὶ Εὐρώπην ἐσκεδασμένον ἄλλῃ τε τῆς αὐτῶν βασιλείας ᾠκίσθη, ὡς τῇ ἐπιδρομῇ τὰ πολλὰ χρησάμενον· ᾗ δὴ χώρᾳ ἠρέσκετο, ταύτῃ ἐναπολειφθὲν ᾤκησεν. εἰ μὲν οὖν εὐφρόνει κατὰ τάδε, τὴν αὐτὴν ἐνοικοῦν χώραν, καὶ ὑφ' ἑνὶ γένοιτο βασιλεῖ, οὐδένες οἱ τῶν ἐν τῇ οἰκουμένῃ ἐνίσταντο ἄν, ὥστε μὴ συνομολογεῖν αὐτῷ. P. 72 νῦν δὲ ἁπανταχῇ τῆς Ἀσίας ἐπινεμόμενον καὶ ἐν τῇ Εὐρώπῃ, ἐπὶ τῇ Θρᾴκῃ τε καὶ ἐπὶ τὸν Βόσπορον ἐνοικοῦν, ἀπῴκισται τῆς σφῶν αὐτῶν βασιλείας τῆς ἐς τὸ Οὐρδάν. οἱ μὲν οὖν ἐς τὸν Βόσπορον τὴν ταύτῃ χώραν ἐπινεμόμενοι καὶ τὴν ὅμορον λεηλατοῦντες, τήν τε Τζαρκάσων καὶ Μιγκρελίων καὶ

14. ταύτῃ τῇ ἐναπ. P

et utri alterorum regionem teneant, Illyriine in istam Europae partem recedentes Poloniam et Sarmatiam incoluerint, an Sarmatae ad haec Istri loca adeuntes Mysiam et Triballorum Illyriorumque regionem, qua versus Ionium patet usque ad Venetos, inhabitarint, neque quenquam audivi veterum commemorantem, nec ipse possum ea quam verissime explicare.

Redeo nunc ad Scythas nomades; quae gens numero fortitudine, necnon generositate, si comparationem facere libuerit, facile omnibus per orbem gentibus superior est, nisi quod per Asiam et Europam dispersa et nunc in alia regione a regno remota habitet, ut quae incursionibus faciendis invigilet, et in ea regione morari, quae forte arriserit, in animum inducat. si ea gens concordiam inter se celebraret, unamque regionem regemque amplecterentur, non arbitror aliquam gentem in toto orbe adeo ferocem esse viribus, quae Scythis bellum indicere auderet. nunc autem cum undique per Asiam et Europam, necnon per Thraciam usque ad Bosporum dissipati habitent, quam longissime a sua regia submoti cernuntur. qui regionem, quae se ad Bosphorum pandit tenent, finitimis Tzarcasis et Mincreliis Sarmatisque multa negotia facessunt praedis agendis. abducentes igitur

Σαρματῶν, καὶ ἀνδράποδα ὡς πλεῖστα ἀγόμενοι ἐπὶ τὸν Βόσπορον, ἐπὶ Καρέαν πόλιν καὶ ἐς τὴν Μαιώτιδα καλουμένην λίμνην ἀπάγοντες, ὀλίγου τε αὐτὰ ἀποδιδόμενοι τοῖς τε Ἐνετῶν καὶ Ἰανύων ἐμπόροις, οὕτω δὴ βιοτεύουσι. Σκύθαι δὲ B *οἱ ἐν τῇ ἀγορᾷ ἐπὶ ἁμαξῶν τε καὶ ὑποζυγίων τὸν βίον ποι-* V. 57 *ούμενοι, γάλακτι τὰ πολλὰ ἵππων τε καὶ τὰ κρέα διαχρώμενοι, οὔτε σίτῳ οὔτε κριθῇ καταφανεῖς εἰσὶ διαχρώμενοι, μελίνῃ δὲ τὸ πλέον καὶ συκάλῃ, λινᾶς τε ἐσθῆτας φοροῦντες ἐς τὸν τῶν λίθων ὄλβον εὐδαιμονέστατοι καὶ πλουσιώτατοι νομίζονται. τόξοις δὲ χρῶνται, τὸ σύμπαν εἰπεῖν, καὶ ξίφεσι βαρβαρικοῖς, καὶ θυρεοῖς τοῖς τῶν Δακῶν παραπλησίοις, πίλοις δὲ τὰ πολλὰ χρώμενοι, οὔτε ἣ περὶ Σαρματίαν οἰκοῦντες, οὔτε ἱματίοις ἀπὸ ἐρίων, ὅτι μὴ λινοῖς νομίζουσι. διήκει δὲ ἡ ἀγορὰ τούτων τῶν Σκυθῶν καὶ τοῦ μεγάλου βασιλέως ἐπὶ ὁδὸν πεντεκαίδεκα ἡμερῶν, ὥστε ἐπινέμεσθαι τὴν χώραν ἐς τὸ ἐπιτηδειότατον σφίσι καταστάντες, καὶ κατ' ὀλίγους διε-* C *σκεδασμένοι, ἀφ' ἑκατέρου πλαγίου καθιστάμενοι ἐφ' ἑνός· τήν τε ἀγορὰν ποιοῦνται ἐπὶ μήκιστον, καὶ διανέμονται τὴν χώραν, τοῖς ὑποζυγίοις ἄφθονον παρεχόμενοι, καὶ αὐτοί τε ἐς τάξιν τὴν ἀρίστην ὑπὸ σφῶν νομιζομένην καθιστάμενοι. κατ' αὐτὸν δὲ μόνον τὸν βασιλέα καὶ τοὺς ταύτῃ ἀρίστους ἐπὶ κύκλους καταστάντες, καὶ περιόδους ποιούμενοι, βασίλειά τε πα-*

2. *Καρόαν* R 3. *ἀποδόμενοι* P 12. *ἣ*] *ἣ οἱ?*

inde mancipia plurima pergunt ad Bosphorum et ad urbem Caream. postea agentes mancipia ad Maeotim paludem, ea parvo aere vendunt Venetorum et Ianuensium mercatoribus. hunc vitae modum tenent. at Scythae, qui morantur in Agora, plaustris et iumentis vehuntur. lacte plerumque, etiam equina carne victitant. nec frumenti nec hordei usus apud hos, quod sciam, frequentatur: verum utuntur panico et ficis. chlaenis sive lineis vestibus vestiuntur. quantum ad margaritas lapidesque pretiosos pertinet, felicissimi et ditissimi censentur. sagittae eorum, necnon gladii barbariem redolent. scuta habent qualia gestant Daci. pileis autem plerumque utuntur, neque * * * * * * * * qua attingunt Sarmatiam: neque vestitus ipsis est ex filis contextus, verum ovium vellera induunt. Agora Scytharum magnique eorum regis patet itinere quindecim dierum. itaque regione fruuntur, qua ipsis commodissimum visum fuerit. quidam numero pauci, dispersi ab utroque latere unum habentes ducem, Agoramque faciunt longissimam et regionem depascunt, iumentis larga praebentes pabula. reliqui in eum ordinem rediguntur, qui penes ipsos optimus esse creditur. nam regem solum regnique proceres circulo circumdant; munimentaque facientes, regiam sedem regi praebent ex ligneis compa-

ρέχουσι τῷ βασιλεῖ ἀπὸ ξύλων κατεσκευασμένα. ἐπιδιελόμενοι δὲ εἰς μοίρας ταύτην σύμπασαν τὴν ἀγοράν, ἄρχοντάς τε ἐφιστᾶσι τούτων, καὶ ἐπειδὰν παραγγέλῃ βασιλεύς, χωροῦσιν ἐφ' ὅ τι ἂν γένηται χρεία.

Τότε μὲν οὖν ὡς ἐστρατεύετο Τεμήρης ἐλαύνων τὸν τῆς Ἀσίας στρατόν, καὶ ἐπύθοντο ἐπὶ σφᾶς στρατευόμενον, βασι- D λεὺς μέντοι τήν τε ἀγορὰν σύμπασαν ἐς στρατὸν ποιησάμενος ἐστρατοπεδεύετο, ἐπὶ πολλοὺς τὸ βάρος ποιησάμενος. καὶ αὐτὸς μὲν ταύτῃ ταξάμενος ἵετο ὁμόσε ἐπὶ τοὺς πολεμίους, μοῖραν δὲ προέπεμψε τὴν πάροδον καταληψομένους, ᾗ ἔμελλε διαπορεύεσθαι Τεμήρης ὁ βασιλεύς, καὶ διακωλῦσαι ἐκέλευεν ὅποι δύναιτο ὡς κράτιστα μαχόμενος τῷ Τεμήρῃ. οὗτος μὲν δὴ παραλαβὼν τὴν μεθ' ἑαυτοῦ μοῖραν· Τεμήρης δὲ ὡς ἐπῄει τὸν στρατόν, εὐθὺ Ταναΐδος ἐπορεύετο, ἐν δεξιᾷ ἔχων τὸν Καύκασον. ἐπεὶ δὲ εἰσέβαλεν ἐς τὴν Σκυθικήν, εὗρε τοὺς Σκύθας ἐστρατοπεδευμένους. καὶ ὡς ᾔσθοντο ἐπιόντα, πα- P. 73 ρετάσσοντο ὡς ἐς μάχην. καὶ αὐτός τε ἀντιπαρετάσσετο, καὶ μάχην μέν τινα ἐποιήσαντο ἐν τῇ παρόδῳ, καὶ οὐδὲν πλέον ἔσχε Τεμήρης ἐν τῇ μάχῃ ταύτῃ. μετὰ δέ, ὡς ἐπηυλίσατο, τῇ ὑστεραίᾳ αὖθις παρετάσσετο, καὶ ἐμαχέσαντο καὶ ἐξεκρούσαντο αὐτόν, ὥστε μηδ' ὁπωσοῦν ἐξεῖναι αὐτὸν παριέναι εἴσω καὶ ἐσβάλλειν ἐς τὴν χώραν. καὶ αὐτοῦ τε διέ-

8. βάθος?

gibus praeparatam. deinde partientes Agoram hanc universam in quasdam partes, singulis magistratus seu duces praeficiunt; et quando imperaverit rex, confestim omnes advolant imperata facturi.

Ea igitur tempestate cum Temires ductaret Asiae exercitum, Scythaeque intelligerent eum adversum se hostiliter proficisci, rex universa Agora in exercitum allecta, imponens onera plaustris, propriis viribus hosti obviam procedebat. exercitus partem praemisit ad praeoccupandas angustias montium, qua traducturus exercitum Temires erat. hos iussit fortiter resistere hostibus, eos aditu prohibentes. qui dicto audientes fuere. Temires accedens exercitum recta versus Tanaim movebat, a dextra habens montem Caucasum. ubi autem irruit in Scythiam, deprehendit Scythas castrametatos esse. qui ut acceperunt adventum Temiris, aciem instruunt, praelii copiam facturi. ipse quoque Temires suos in aciem educebat. tandem in angustiis commisere praelium: non tamen vicit Scythas Temires, verum propemodum aequo Marte est pugnatum. dehinc cum receptui cecinissent, die postero iterum ad praelium accingebantur. adeo autem fortiter dimicarunt Scythae ut pellerent Temirem, planeque ut desperaret se in ipsorum regionem intrare posse. clades maxima ibi

φθείρει τοῦ στρατεύματος αὐτοῦ οὐκ ὀλίγους ὑπὸ τῶν Σκυθῶν. μετὰ δέ, ὡς οὐχ οἷός τε ἐγένετο εἴσω παρελθεῖν διακωλυόμενος, ἀπήγαγε τὸν στρατὸν καὶ ἀνεχώρει ἐπ' οἶκον.
B τοῦ δὲ ἐπιγινομένου θέρους στρατιὰν ὡς μεγίστην συλλέξας, καὶ ἐπὶ Αἴγυπτον ἐν νῷ ἔχων στρατεύεσθαι, μετὰ δὲ συστρέψας, ἤλαυνεν αὖθις ἐπὶ Σκύθας, σταθμοὺς ἐλαύνων ὡς μεγίστους. καὶ ἔφθη τε δὴ ἐσβαλὼν ἐς τὴν Σκυθικήν, καὶ συνέμιξε μοίρᾳ τινὶ αὐτοῦ ἐπὶ τὴν ἔφοδον ἐπειγομένους, καὶ συμβαλὼν αὐτῇ ἐτρέψατο. οὐ μέντοι γε ἀπεγένετο, ὅ τι καὶ ἄξιον λόγου, ἐν ταύτῃ τῇ συμβολῇ. οἱ γὰρ δὴ Σκύθαι μέγιστον δὴ τοῦτο ἔχουσιν ἀγαθόν· ἐν τῇ τροπῇ συστρεφόμενοι αὖθις ἐλαύνουσιν ἐπὶ τοὺς πολεμίους, οὐδέν τι κατὰ τὴν τροπὴν χαλεπὸν ὑφιστάμενοι. μετὰ δέ, ὡς ἐπὶ τὸν βασιλέα
C Σκυθῶν ἤλασε, παρετάξατό τε εἰς μάχην, καὶ οἱ Σκύθαι νυκτὸς ἀπεχώρουν ὡσεὶ σταδίους εἴκοσι καὶ ἑκατόν. ὡς δὲ ἐπῄει Τεμήρης διημερεύων ἐπήλαυνε νυκτός, αὖθις ἀπεχώ-
V.58 ρουν οἱ Σκύθαι, ὥστε δὴ ταῦτα ποιούμενος ἔκαμνε τῷ Τεμήρῃ ὁ στρατός, καὶ προεκαλεῖτο ἐς μάχην τῶν Σκυθῶν βασιλέα. μετὰ δὲ ταῦτα στρατοπεδευσάμενος ἐς τὴν ὑστεραίαν παρετάξατο κατὰ ἴλας. Τεμήρης δὲ παρετάσσετο ἐπὶ πολὺ

9. αὐτῶν?

Temiris exercitui illata est a Scythis. deinde cum non posset superare angustias, exercitum abduxit et domum reversus est. aestate autem insequenti conscribens exercitum quam potuit maximum, bello petere Aegyptum statuit. postea inito consilio transversis itineribus peragens cursus quam maximos, omnem belli tempestatem in Scythas denuo vertit. et quidem sua celeritate Scythas praeveniens Scythiam ingressus est; et dimicans cum iis qui ad angustias tutandas properabant, eos vertere coegit: neque id flagitium militiae ducitur. ita habent mores. Scythae namque maximam istam commoditatem habent, ut in fugam se convertere possint praeliumque cum hoste redintegrare, nihil interim periculi in fuga sustinentes. deinde cum Scytharum regem infesto animo peteret, longius progressus est, et ad praelium suos instruebat. Scythae eludentes Temiris consilium, nocturno itinere profecti sunt a castris eius stadiis circiter centum et viginti. horum vestigia toto die secutus Temires, tandem eos assecutus est. quemadmodum igitur antea, sic et nunc noctu discedunt Scythae. itaque insequendi studio graviter affligebatur Temiris exercitus. hinc motus Temires Scytharum regem ad praelium provocat. Scythae castra locantes eo die qui sequebatur, ordines explicant aciemque contra Temirem dirigunt, in turmas collecti. Temires et ipse suos in aciem educit: aciem mediam occupat ipse. in dextro cornu Chaidarem cum Massagetis ponit. in sinistro cornu filium

τὸ βάθος, ἔχων ἐπὶ τὸ δεξιὸν Χαϊδάρην σὺν τοῖς Μασαγέταις, ἐπὶ δὲ τὸ εὐώνυμον τὸν παῖδα αὐτοῦ Σαχροῦχον σὺν τοῖς Πέρσαις τε καὶ Ἀσσυρίοις, καὶ Χαταΐων ὅσοι εἵποντο. D
ἐπεὶ δὲ συνέμισγον ἀλλήλοις τὰ στρατεύματα, καὶ ἐμάχοντο. μάχης δὲ καρτερᾶς γενομένης οὐδέν τι πλέον ἔσχον οἱ Σκύθαι. μετὰ δέ, ὡς ὠσάμενοι εἴχοντο τοῦ ἔργου ἐντονώτερον οἱ Σκύθαι, οὐδ' ὣς ἐτρέψαντο τὸν Τεμήρεω στρατόν, ἀπετράποντο, καὶ ἀπέβαλον ἐν ταύτῃ τῇ μάχῃ οὐκ ὀλίγους. καὶ ἔπεσον ἀπὸ τοῦ στρατοῦ τῶν Περσῶν οὐκ ὀλίγοι. ὕστερον μέντοι, ὡς οὐδὲν ἔπρασσον Σκύθαι μαχόμενοι τῷ Τεμήρεω στρατῷ, ἤλαυνον ἐς τὸ πρόσω ἐχόμενοι, ὡς ἐντὸς τῆς χώρας P. 74
τοὺς πολεμίους ἀποληψόμενοι. ὁ μέντοι Τεμήρης συστραφεὶς ἤλαυνέ τε αὐτὸς τὰ ἔμπαλιν γενόμενος, καί πως ἔφθη ἐς τὸν Τάναϊν ἀφικόμενος. μετὰ δὲ ταῦτα ἐς τὴν Ἰβηρίαν τὴν ἐν τῇ Ἀσίᾳ ἀφικόμενος ἀπεχώρει διὰ τῆς Κολχίδος, τὸν Φᾶσιν αὐτοῦ διαβὰς ποταμόν, τὸν ἀπὸ Καυκάσου ῥέοντα ἐπὶ Εὔξεινον πόντον. ἐσβαλὼν δὲ ἐς τὴν Ἀρμενίων χώραν ἀπήλαυνεν ἐπὶ Χερίης. ἀπεπράγη δὲ οὕτω αὐτοῦ τὸ στράτευμα ἐς τὴν ἐπὶ Σκύθαις ταύτην ἔλασιν. τῷ δὲ τρίτῳ ἔτει παρασκευασάμενοι οἱ Σκύθαι ὡς ἀμυνούμενοι βασιλέα Τεμέρη, ἤλασάν τε καὶ ἐπέδραμον χώραν τὴν ὑπὲρ τοὺς Ἀσσυρίους. ἐπρεσβεύετο μὲν οὖν ὕστερον περὶ σπονδῶν πρός τε τὸν βα- B

7. καὶ οὐδ'? 18. ἐπεπράγει? 19. ταύτης P

suum Saruchum curare iubet. hinc additi sunt Persae Assyrii et Chatagii, quotquot militantem Temirem sequebantur. cum iam utrinque satis instructi exercitus concurrissent, tandem vehementi praelio commisso Scythae nequaquam victoria potiti sunt. proinde quasi vi propulsaturi hostem, cooriuntur in Temiris exercitum. cum autem ne sic quidem coepta succederent, fugam ineunt, plurimis in eo praelio desideratis. Persae quoque non pauci ceciderunt. postea cum praeliando nihil efficerent contra Temiris exercitum, circumducere parant hostes, ut eos intra regionem concludant. verum Temires cognitis Scytharum insidiis sententiam mutavit, atque ex infesta regione copias ducere instituit, priorque ad Tanaim pervenit. postea in Iberiam Asiae delatus iter per Colchiden intendit, transito fluvio Phaside, qui ex Caucaso monte fluens vadit in Euxinum pontum. tandem cum attigisset Armeniam, maturato itinere Cheriam venit. exercitus vero, quem armatum in Scythas moverat, graviter afflictus est. anno abhinc tertio Scythae ad arma convolant, et ulturi temeritatem Temiris impetum dederunt in regionem quae supra Assyrios colitur. Temires rei acerbitate coactus legatos misit qui peterent pacem. promittebat rex Temires, si pax daretur et in foedus reciperetur, se af-

σιλέα τοῦ Ὀδίεω καὶ πρὸς σύμπασαν τὴν ἀγοράν, ἐπιγαμίαν τε ὑπισχνούμενος, καὶ σπονδάς τε ἐποιήσαντο ἐφ' ᾧ ξένους τε καὶ φίλους εἶναι ἀλλήλοις.

Ὡς δὲ τὰ πρὸς τοὺς Σκύθας καθίστη, ἤλαυνεν ἐπὶ Συρίαν κοίλην. ἐλάσας δὲ ἐπὶ Δαμασκὸν τήν τε πόλιν ἐπολιόρκει, καὶ μηχανὰς προσφέρων τῷ τείχει εἷλέ τε κατὰ κράτος τὴν πόλιν καὶ ἠνδραποδίσατο, πόλιν μεγίστην δὴ τότε οὖσαν καὶ εὐδαιμονεστάτην, καμήλους τε ἐντεῦθεν ἀπήγαγεν ἐς ὀκτακισχιλίους τὰς πάσας. ὄλβον δὴ μέγιστον ἐν ταύτῃ τῇ πόλει ληισάμενος ἀπήλαυνεν ὀπίσω ἐπ' οἴκου, λείαν τε πολλὴν καὶ εὐδαίμονα ἀγόμενος. ἐπρεσβεύετο μέντοι καὶ πρὸς τὸν τῆς C Μέμφιος βασιλέα, Σουλδάνον οὕτω δὴ ἐξόχως καλούμενον, καὶ ἠξίου κοίλης Συρίας ὑποχωρῆσαί οἱ, ὥστε ἐς σπονδάς τε ἰέναι αὐτῷ καὶ εἰρήνην ἐπὶ τούτῳ ποιεῖσθαι. ὡς δὲ προπέμποντι οὐ προεχώρει, ἤδη παρασκευασάμενος, ἑλών τε καὶ ἀνδραποδισάμενος τὴν Δαμασκὸν πόλιν εὐδαίμονα, ἀπεχώρει δι' αἰτίαν ἥν τινα ἐς τὸ πρόσω τοῦ λόγου ἰὼν σημανῶ.

Ὁ δὲ τῆς Μέμφιος βασιλεὺς χώρας τε ἄρχει οὐκ ὀλίγης καὶ εὐδαίμονος· ἀπὸ Ἀράβων ἀρξάμενος Συρίαν τε κοίλην καὶ Παλαιστίνην καὶ σύμπασαν δὴ Αἴγυπτον ὑφ' αὑτῷ ἔχει. βασιλεὺς δὲ καθίσταται τῆς Μέμφιος καὶ τῆς ἀρχῆς τῆσδε τρόπῳ τοιῷδε. ὅσοι τῶν ἀνδραπόδων ἀρετῆς τι μεταποιοῦν-

2. ὧν P

finitatem iuncturum cum rege Odieo et cum universa Scytharum Agora. foedus ergo ictum est, quo iubebantur esse amici hospitesque inter se.

Compositis rebus in hunc modum Scythicis, Coelesyriam subigere aggressus est. adortus est Damascum, eamque urbem obsidione artavit. admovens deinde muro machinas bellicas, captam vi foede diripuit, cum fuisset urbs maxima et felicissima opibus. hinc abduxit octo milia camelorum. raptis opibus plurimis ex ea urbe, praeda multa et diviti oneratus, domum remeavit. legatos quoque dimisit ad Soldanum regem Memphis, cum huiusmodi mandatis, regem Temirem postulare ut sibi tradat Coelesyriam: quod si fecerit, bellum pace se mutaturum. ut ista legatio irrita fuit, armata manu cepit et diripuit Damascum, urbem opibus vigentem. tandem discessit ea de causa quam infra trademus.

Rex Memphiticus regioni imperat amplissimae: ab Arabibus incipiens Coelesyriam, Palaestinam, nec tamen universam, et Aegyptum suo imperio moderatur. ascendit autem ad hoc insigne decus Memphitici regni tali ex causa. quotusquisque de mancipiorum grege in ista regione virtuti adhaeret, a rege in militum ordinem transfertur.

ται ἐν ταύτῃ τῇ χώρᾳ, ὑπὸ βασιλέως καθίστανται ἐς τοὺς D
στρατιώτας. εἰσὶ δὲ οὗτοι δορυφοροῦντες βασιλέα, ἀμφὶ
τοὺς δισμυρίους, Μαμαλούκιδες καλούμενοι. ἀπὸ τούτων δὲ
ὅσοι ἐπίσημοι ἐπὶ τὸ κατεργάζεσθαι ὁτιοῦν τῶν ὑπὸ βασι-
λέως τεταγμένων, οὗτοι ἐς τὰς ἀρχὰς κατὰ βραχὺ καθιστά- V. 59
μενοι ἐπὶ μεῖζον χωροῦσι τύχης ἅμα κἀπὶ βασιλέως, καὶ ἐς
τὰ πρῶτα τιμῆς ἀξιούμενοι ἐπὶ τοὺς καλουμένους Μελικαμη-
ράδας καθίστανται, ἀφ' ὧν δὴ τῆς χώρας ἐπ' αὐτὴν ἤδη
χωροῦσι τὴν βασιλέως χώραν, καὶ ἐπὶ τὴν τῆς Μέμφιος
ἀρχὴν καὶ συμπάσης τῆς τε Αἰγύπτου Ἀραβίας τε καὶ Πα-
λαιστίνης καὶ τῶν ἄλλων ἀρχῶν, ὅσαι ὑπὸ τούτῳ τῷ βασιλεῖ
τάττονται. Μελικαμηράδες εἰσὶν ἀρχαὶ ἐς τὰς πόλεις τὰς P. 75
ὑπὸ τήνδε τὴν βασιλείαν ἐπισήμους, ἄρχοντες καθιστάμενοι
ὑπὸ βασιλέως. τὴν δὲ πόλιν ταύτην τῆς Μέμφιος μεγίστην
δὴ πασῶν τῶν κατὰ τὴν οἰκουμένην πόλεων ἔστε τὴν ἄλλην
εὐδαιμονίαν καὶ τὸ πλῆθος τῶν ἀνθρώπων. ὅ τε γὰρ περίβολος
ταύτης τῆς χώρας ἐς ἑπτακοσίους μάλιστα σταδίους διήκων.
εὐνομεῖται δὲ κάλλιστα πασῶν δὴ ὧν ἡμεῖς ἴσμεν πόλεων.
οἰκίας δὲ ἔχειν καλλίστας λέγεται ἐς τὰς πεντήκοντα μυριά-
δας. ῥεῖ δὲ διὰ μέσης τῆς πόλεως Νεῖλος ποταμός, κράτι-
στον ὕδωρ παρεχόμενος, ῥέων ἀπὸ Ἀργυροῦ ὄρους. Αἴγυ-
πτον δὲ σύμπασαν ἀρδεύει ἐς τὰ κάλλιστα κατὰ τὰς διώρυ-
χας ὑπὸ τῶν ἑκασταχῇ χωρῶν κατεσκευασμένων, ὥστε τὴν

hi deinde regis satellites habentur, numero bis mille, et Mamalukides nominantur. ex illorum numero quotquot peregrini sunt, ad regis officia perficienda ordinantur. hi paulatim etiam ad magistratus dignitatem ascendentes meliorem tandem assequuntur fortunam, et a rege in maximo honore habiti praeficiuntur iis qui Melicamaridae nuncupantur. ex quorum regione illico perveniunt ad regionem regis et ad Memphiticum regnum et ad imperium Aegypti Asiaeque, necnon ad alios magistratus, qui sub isto rege sunt. Melicamaridae sunt principes viri, qui a rege creati praeficiuntur insignioribus oppidis. urbs Memphis (quae et Alcairum) magnitudine hominumque multitudine totius orbis urbes facile exuperat. urbis eius ambitus amplectitur septingenta stadia. nec novi urbem quae melioribus gubernetur legibus. quinquaginta myriades pulcherrimarum domorum habet. urbem mediam intersecat Nilus fluvius, aquam optimam et saluberrimam ministrans, ex monte Argyro scaturiens. universam Aegypti regionem pulcherrime rigat, fossis, quae singulis locis fiunt, admissus. hinc terra ea ubique commodissime humectari potest. religionem istam tenent Monothelitae et Iacobitae, gentes haud exiguae.

B χώραν ἀρδεύειν ἐπιτηδείως ἔχειν. οἰκοῦσι δὲ ταύτην τὴν
χώραν Μονοθελῆται καὶ Ἰακωβῖται, ἔθνη τε οὐκ ὀλίγα, καὶ
τῶν ἐς τὴν τοῦ Ἰησοῦ τοῦ θεοῦ θρησκείαν τελούντων τε καὶ
φρονούντων ἄλλων ἄλλῃ, οὔτε κατὰ τοὺς Ῥωμαίους οὔτε
κατὰ τὰ Ἕλλησι δεδογμένα ἐς τὴν θρησκείαν φρονοῦντες·
ἀλλ' ὅσοι μὲν εἰσιν Ἀρμένιοι πλεῖστοι ἀνὰ τὴν χώραν ταύ-
την, Μονοθελῆται δὴ καὶ Ἰακωβῖται καὶ Μανιχαῖοι πάμπολ-
λοι. διήκει δὲ ἡ χώρα τοῦ τῆς Μέμφιος βασιλέως ἀπὸ Λι-
βύης ἔστε πόλιν Χαλεπίην οὕτω καλουμένην κατὰ τὴν Ἀσίαν·
νομίζεται δ' οὗτος ὁ βασιλεὺς ὑπό τε τῶν ἐν τῇ Ἀσίᾳ ἐθνῶν
καὶ ὑπὸ τῶν τῆς Λιβύης καὶ δὴ καὶ ὑπὸ τῶν ἐν τῇ Εὐρώπῃ
C ἀρχιερεύς τε τὰ ἐς τὴν θρησκείαν αὐτῶν καὶ τὰ ἐς τοὺς νό-
μους τοῦ Μεχμέτεω, παμπόλλων αὐτοῦ ταύτῃ διδασκομένων
τοὺς τῆς θρησκείας αὐτονόμους, καὶ ὡς ἀπὸ τῶν παλαιοτέ-
ρων ἀρχιερεύς τε ἐνομίσθη, καὶ γράμμασι τοῖς τούτων ἀπο-
δείκνυσθαι ἀκριβέστατα δὴ τὸν τοῦ Μεχμέτεω νόμον. τὸν
δὲ τάφον Ἰησοῦ κατὰ τὴν Παλαιστίνην κατέχοντες μέγα τε
ἀποφέρονται κέρδος, καὶ ἄρχοντες μέγιστοι δὴ τοῦ βασιλέως
οἴκου ἐς φυλακὴν τοῦ σήματος καθίστανται. διήκει δὲ Αἴ-
γυπτος ἀπὸ Τύρου τῆς Ἀλεξανδρείας ἔστε Ἰτουραίαν χώραν,
ἐπὶ σταδίους μάλιστά πη . . . . ὁ δὲ Νεῖλος ὁ τῆς Αἰγύ-
πτου ποταμὸς ἐκδιδοῖ ἐς θάλασσαν, πρὸς Βορρᾶν ἄνεμον κατὰ
Ἀλεξάνδρειαν τῆς Αἰγύπτου. ἐντεῦθεν ἄρχεται ἡ Παλαι-

1. ἄρδειν R

religionem quidem Iesu filii dei se tenere dicunt: at plurimum ipsi inter sese dissentiunt. nec consensum praestant in religionis negotio vel Graecis vel Romanis. plurimi Armeni in regione ista etiam Monothelitae et Iocobitae, necnon plurimi Manichaei habitant. extenditur autem Memphitici regis regio a Libya usque ad Chalepiam urbem Asiae. plurimae in Asia et Africa Europaque gentes venerantur istum regem ut sacerdotem in iis quae ad religionem et Mechmetis legem spectant. plurimi namque isthic haerent qui operam dant Mechmetis legibus discendis. etiam ab antiquis sacerdos habitus est, ut qui eius gentis litteris Mechmetis leges acutissime explanare posset. sepulcrum Iesu sub potestate istius regis in Palaestina situm est, unde plurimum lucri ei accedit. custodiae huius sepulcri viri de familia regis illustrissimi destinantur. extendit se Aegyptus ab Alexandria et Tyro usque in Ituream regionem stadiis maxime 88. Nilus autem fluvius Aegypti exhauritur in mare versus Boream ventum, iuxta Alexandriam Aegypti. hinc incipit Palaestina, tendens usque ad Coelesyriam. in hac regione Iesu celebratur sepulcrum, si-

στίνη διήκουσα ἔστε ἐπὶ κοίλην Συρίαν. ἐν ταύτῃ δέ ἐστι
τὸ τοῦ κυρίου Ἰησοῦ σῆμα, κατὰ τὴν Ἱεροσολύμων πόλιν, ἣ D
δὴ κατέσκαπται. καὶ αὗται μὲν παράλιαι χῶραι· κοίλη δὲ
Συρία διήκει ἐπὶ Ἀραβίαν ἐπὶ τὴν ἐρυθρὰν θάλασσαν τῷ
πρὸς ἕω ἰόντι. διαβάντι δὲ τὴν θάλασσαν ψάμμος τε δέχε-
ται αὐτοῦ ταύτῃ διαπορευομένων ἐπὶ τὸ σῆμα τοῦ Μεχμέ-
τεω. αὕτη δὲ ἡ χώρα βασιλέως τῆς Μέμφιος οὖσα, πρὸς
δὲ καὶ ἡ Φοινίκη. δύναμις δέ ἐστι τῷ βασιλεῖ τῷδε κατὰ
θάλασσαν ἀξιόχρεως, ἔνθα δὴ ἐφίσταται Σάμος· πλοῖά τε
καὶ τριήρεις ἐκ ταύτης κατασκευάζει. Κύπρον τε ὑπηγά-
γετο, καὶ ἐπὶ Ῥόδον καὶ Κύπρον πέμψαι τά τε πλοῖα καὶ
στρατὸν σὺν αὐτοῖς. διαπλεύσας δὲ τήν τε πόλιν ἐπολιόρκει,
καὶ τὴν νῆσον ληισάμενος προσέβαλέ τε τῷ τείχει ἐπὶ ἡμέρας P. 76
ἱκανάς· καὶ ὡς οὐδὲν προυχώρει ἡ τῆς πόλεως αἵρεσις, ἀπε-
χώρησεν ἐπ' οἶκον. τὴν μέντοι Κύπρον ὑπηγάγετο, καὶ τόν τε
βασιλέα Κύπρου ἄγοντα ᾤχετο· ἀφ' οὗ δῆτα χρόνου φόρον
τε ἀπάγει ἡ Κύπρος τῷδε τῷ βασιλεῖ. δοκεῖ δὲ ἡ νῆσος
αὕτη ὑπὸ τόνδε γενέσθαι τὸν βασιλέα τὸ παλαιόν. Κελτοὶ V. 60
δὲ ὡς ἀφίκοντο ἐπὶ τὸ τοῦ Ἰησοῦ τοῦ θεοῦ σῆμα, δουλωσά-
μενοι τήν τε νῆσον ταύτην ὑπηγάγοντο σφίσι, στόλον ἐπαγό-
μενοι καὶ δύναμιν ἀξιόχρεων. ᾗ καὶ Ἐνετοὶ Ἀμαρίην πόλιν
εὐδαίμονα χειρωσάμενοι ἐπὶ συχνόν τινα χρόνον διακατεῖχον,
ὁρμητήριον τῆς πρὸς Αἴγυπτον ἐμπορίας αὐτῶν. καὶ τὸ ἐν-

10. ἐκ ταύτης κατασκευάζει om nonnulli libri 17. ἐπάγει P

tum in urbe Hierusalem, quae devastata est cum maritimis regionibus. Coelesyria panditur in Arabiam usque ad mare rubrum, versus Orientem iter facienti. transeuntem id mare excipit arenae vastitas, quae superanda est petentibus sepulcrum Mechmetis. haec est regio Memphitici regis, cui additur et Phoenicia. est huic regi in mari quoque maxima potentia. Samus ei suppeditat naves et triremes. Cyprum subegit. naves mittens cum militibus adversus Rhodum et Cyprum, urbem obsidione afflixit. actis autem praedis ex insula plurimis, aliquot diebus oppugnationi intentus fuit; quae cum parum succederet, abducto exercitu domum reversus est. Cyprum quidem suo imperio adiunxit, capto eius rege; et ex eo tempore Cyprus Memphitico regi tributum solvit. quin iam olim istam insulam huic regi paruisse arbitror. verum Galli ut accesserunt ad Iesu dei sepulcrum, insulam eam in servitutem redactam cepere, classem parantes magnam viresque haud contemnendas. eo modo et Veneti Amariam urbem opulentam occupantes diu eam tenuere, ut portum ad Aegyptiacas merces commodissimum. hinc successione longa reges Gallo-

τοῦθεν ἀπὸ Κελτῶν βασιλεῖς διαγενόμενοι βασιλεύουσιν ἐν B ταύτῃ τῇ νήσῳ. νέμονται μέντοι καὶ οἱ Ἄραβες μέρος τι τῆς νήσου ταύτης καὶ πόλιν Φαμαγούστην καλουμένην. τῷ μὲν οὖν βασιλεῖ Μέμφιός τε καὶ Αἰγύπτου πόλεμός τέ ἐστι πρὸς τοὺς ἐν τῇ Ἀραβίᾳ καὶ πρὸς τοὺς ἀπὸ τῆς Λιβύης, διαφερομένους περὶ γῆς ὅρων, μαχεσαμένῳ τά τε ἄλλα καὶ δὴ . . . . Χαλέπιον δὲ πόλις αὐτῷ ἐν τῇ Ἀσίᾳ μεγάλη τε καὶ εὐδαίμων, καὶ ἐμπορίαν παρεχομένη τῆς τε Ἀσίας καὶ Αἰγύπτου καὶ Ἀραβίας. ἵππους δὲ ἐκφέρει ἡ χώρα αὕτη γενναίους. δοκεῖ δὲ καὶ ἥ τε Αἴγυπτος καὶ ἡ πρὸς Λιβύην χώρα φέρειν ἵππους τε ἀγαθοὺς καὶ καμήλους.

Τὴν μέντοι Χαλεπίην πόλιν Τεμήρης, ὅτε δὴ καὶ ἐπὶ C Δαμασκὸν ἐστρατεύετο, ὑπηγάγετο. καὶ κοίλης Συρίας οὐκ ὀλίγην χώραν καταστρεψάμενος ἀπεχώρει δι' αἰτίαν τήνδε. ὁ γὰρ δὴ τῆς Καταγίης βασιλεὺς τῶν ἐννέα καλούμενος (οὗτος δ' ἂν καὶ ὁ τῆς Ἰνδίας βασιλεὺς) διαβὰς τὸν Ἀράξην τήν τε χώραν ἐπέδραμε τοῦ Τεμήρεω, καὶ ἀνδράποδα ὡς πλεῖστα ἀπάγων ᾤχετο αὖθις ἐπ' οἴκου ἀποχωρῶν. ἦγαγε δὲ στρατόν, ᾗ λέγεται, ἐς τεσσαράκοντα καὶ ἑκατὸν μυριάδας. Τεμήρης δὲ ὡς ἤλαυνε τὴν ταχίστην, τῆς μὲν χώρας ὑφιέμενος, τῷ δὲ τείχει ἐπειγόμενος διαφυλάξαι ὅσα τε ἦν αὐτῷ ὁμοροῦντα τὴν Χαταΐων χώραν, καὶ ἐν τῇ Περσῶν αὖθις καὶ Καμδίων ἀρχῇ οὐκ ἔφθη καταλαβὼν τὸν βασιλέα.

16. ἦν?

rum isti insulae praefuere. etiam Arabes huius insulae partem tenent, necnon Phamagustam urbem opibus florentem. et sane Memphitico et Aegyptiaco regi bellum est adversus Arabes et Afros, propter regionis limites usque dissidentes et inter caetera etiam manus conserentes. et quidem Chalepia urbs eius in Asia magna et dives opum, merces praebens Asiae et Arabiae. equos ista regio producit perquam generosos. etiam Aegyptus, necnon ea regio quae versus Libyam excurrit, gignit equos generosos et camelos.

Chalepiam urbem suo dominio adiecit Temires, cum arma inferret Damasco; et subacta Coelesyriae non modica regione, discessit huiusmodi causa motus. nam Chatagiae rex, unus de numero novem ducum, etiam Indiae imperitabat. hic Araxem traiecit, Temirisque regionem vastans, mancipiis captis plurimis, domum rediit. fama est eum in armis habuisse circiter quadraginta et centum myriades hominum. Temires autem regione excedens, et muro loca Chatagiorum regioni finitima firmans, quam celerrime hostem insecutus est, nec eum vel in Persarum vel in Candiorum regno indipisci valuit. hinc legatione missa bellum pace mutatum est, cum in animo agitaret

ἐντεῦθεν διαπρεσβευσάμενος, σπονδάς τε ἐποιήσατο, ἐν νῷ D ἔχων ἐπὶ Παιαζήτῃ τὸν Ἀμουράτεω στρατεύεσθαι. ἐποιήσατο οὖν σπονδὰς ἐφ' ᾧ ἀπάγειν φόρον ἱκανὸν ὑπὲρ της τῶν Μασαγετῶν χώρας, ἣν καταστρεψάμενος εἶχεν.

Ὡς δὲ πρὸς τοῦτον σπονδάς τε ἐποιήσατο καὶ εἰρήνην, ξυνηνέχθη αὐτῷ τὰ ἐς τοὺς ἀπὸ τῆς κάτω Ἀσίας Τούρκων ἡγεμόνας ἀφῖχθαί τε παρ' ἑκατόν, καὶ τὰ περὶ τὴν Μελιτήνην ἐπολιορκήσαντο ταύτην τῷ Παιαζήτῃ. παρασκευασάμενος δὲ στρατὸν μέγιστον ἤλαυνεν ἐπὶ Σεβάστειαν, πόλιν τῆς Καππαδοκίας εὐδαίμονα. δοκεῖ δὲ αὕτη ἡ πόλις βασίλεια γενέσθαι τοῦ πρότερον βασιλέως Τούρκων, καὶ ἀπὸ ταύτης ὁρμωμένους τοὺς Τούρκους τὸ παλαιὸν χώραν ὑπαγομένους P. 77 τῆς τε Ἀσίας οὐκ ὀλίγην, ἐς τὸν Ἑλλήσποντόν τε καὶ τὴν ἀντικρὺ Βυζαντίου χώραν τὴν ἐς τὴν Ἀσίαν ἐπιδραμεῖν χειρὶ πολλῇ ἀφικομένους. Τεμήρης μὲν οὖν ὡς ἀφίκετο, ἐπολιόρκει τὴν πόλιν· Παιαζήτης δὲ ἀπῆν τότε, ἐπὶ Λεβαδίαν τῆς Βοιωτίας καὶ ἐπὶ Πελοπόννησον καὶ Θετταλίαν στρατευόμενος. κατέλιπε δὲ ἐν τῇ Σεβαστείᾳ στρατόν τε τὸν τῆς Ἀσίας καὶ παῖδα Ὀρθογρούλην, καὶ ταύτην καταστησάμενος αὐτὸς μὲν ἐπὶ Πελοπόννησον ἐστρατεύετο. ἔνθα δὴ πυθόμενος ὡς Τεμήρης ἐλάσας πολιορκοίη Σεβάστειαν, ἤλαυνε τὰ ἔμπαλιν γενόμενος, καὶ οὐκ ἐξεγένετο αὐτῷ ἐσβαλεῖν ἐς τὴν Πελοπόννη-

13. τὴν post καὶ om P   20. πυθομένῳ P : corr H

Paiazîti Amuratis filio arma inferre hostilia. pax autem hac condicione composita est, ut tributum magnum quotannis penderet pro Massagetarum regione, quam armis subegerat.

Bellum hoc ut intercedente foedere fuit sopitum, accidit ut causam ducum inferioris Asiae susciperet. venerant enim numero circiter centum, et Melitinem urbem auspiciis Paiazitis obsidione circumdederant. comparato itaque quam potuit exercitu maximo, hostili animo profectus est contra Sebastiam, Cappadociae urbem opibus vigentem; quae quondam, ut apparet, regis Turcorum sedes regia extitit. ex hac enim antea prodeuntes Turci subegere regionem Asiae non modicam usque ad Hellespontum; et iam magna manu advenientes incursionem fecere in regionem quae ex adverso Byzantii sita conspicitur. Temires itaque ut advenit, urbem exercitibus circumsedit. Paiazites forte tum aberat, quia expeditionem susceperat contra Lebadiam Boeotiae et contra Peloponnesum Thessaliamque. reliquit tamen Sebastiae Orthobulem filium cum exercitu. quae omnia cum in eum modum disposuisset, ipse contra Peloponnesum copias duxit. at ut accepit Sebastiam a Temire oppugnari, mutato consilio reversus est, nec potuit irrumpere in Peloponnesum. cum

σον. ἐπειγομένῳ δὲ τὴν ἐπὶ τὴν Ἀσίαν πορείαν, ἐπύθετο
B ἁλῶναί τε τὴν πόλιν καὶ ἀνδραποδισάμενον οἴχεσθαι αὖθις
ἀπιόντα ἐπὶ Χερίης. ὡς γὰρ δὴ προσέβαλεν ἐπὶ ἡμέρας ἱκα-
νάς, οἱ ἀπὸ τῆς πόλεως ἐξεκρούσαντο τὸν Τεμήρεω στρατόν.
ἐνταῦθα ἔχων μεθ' ἑαυτοῦ ὀρυκτὰς ἐς ὀκτακισχιλίους τὸν
V. 61 ἀριθμόν, ὑπώρυσσον ὑπὸ τὴν γῆν ὀρύγματα φέροντα ἐς τὸ
τεῖχος τῆς πόλεως ἁπανταχῇ. καὶ ἔνια μὲν οἱ τῆς πόλεως
ᾔσθοντό τε, καὶ ἀντορύσσοντες καὶ αὐτοὶ ἐξεκρούσαντο· τὰ
δὲ πλέω ἠνύετο αὐτῷ ἅτε πολυχειρίᾳ ἐργαζομένων. ὡς δὲ
ἤδη τὰ τείχη ὀρώρυκτο καὶ ἐπὶ ξύλων ἤδη ἦν μετέωρα, πῦρ
ἐνιέντες κατεβλήθη τε τὰ τείχη αὐτόματα, καὶ ἐπιπεσόντες
ἐνταῦθα οἱ τοῦ Τεμήρεω στρατιῶται εἰσέπιπτον ἐς τὴν πό-
C λιν, καὶ οὕτω κατέσχον αὐτήν. καὶ τοὺς μὲν ἄνδρας, παρεγ-
γυήσαντος τοῦ βασιλέως, αὐτίκα ἑλόντες τὴν πόλιν διεχρή-
σαντο· παῖδας δὲ καὶ γυναῖκας τῆς πόλεως ἐς ἕνα χῶρον
ἀγαγὼν τήν τε ἵππον ἐπαφεὶς κατεχρήσατο, ὥστε μηδένα τῶν
τῆς πόλεως, μήτε ἄνδρα μήτε γυναῖκα μήτε παῖδα, περιγενέ-
σθαι, οἰκτρότατα δὲ ξυμπάντων τῶν ἐν τῇ πόλει θανόντων.
λέγεται δὲ γενέσθαι ἀνθρώπους ἀμφὶ τὰς δώδεκα μυριάδας.
πρὸς δὲ καὶ ἐλεφαντιώντων ἐν ταύτῃ τῇ πόλει πλῆθος εὑρά-
μενον λέγεται κελεῦσαι ἀνελεῖν. τούτους μὲν οὖν ὅπῃ ᾔσθετο
περιόντας, οὐκέτι εἴα ζῶντας περινοστεῖν, ἀλλ' ὡς ᾔσθετο, τοῦ

ἡμέρας τινὰς
3. ἐπιόντα P ἡμερικέναι T: corr H 18. δὴ?

maturaret iter in Asiam, audivit Sebastiam esse captam, Temiremque mancipiis collectis plurimis abiisse Cheriam. ut enim Temires impetum in murum dedit diebus aliquot, oppidani vim hostilem fortiter propulsarunt. cum autem haberet octo milia fossorum in castris, iis negotium dedit ut cuniculos haberent subterraneos, per quos ubique possent emergere in urbem. et quidem oppidani senserant id parari. proinde et ipsi fodiendo hostibus occurrebant: verum pellebantur. amplius enim efficiebat Temires, ut qui fossorum numero excelleret. muri cum iam undique essent suffossi, hostesque starent in aggere excelso et ligneo, ignem iniecerunt, murique sua sponte corruerunt. deinde per loca ruinis patentia irruentes Temiris milites in urbem, eam in hunc modum occuparunt. oppidanos, sic imperante Temire, capta iam urbe illico occiderunt. liberos et mulieres eius urbis in unum locum agens, immisso equitatu omnes trucidavit. urbis istius adeo miserabilis clades fuit ut nec vir nec mulier neque etiam puer aliquis potuerit exitium subterfugere. homines in ista urbe fuerunt plurimi, adeo ut pene superarent numero duodecim myriades hominum. praeterea reperta magna leprosorum

ζῆν ἀπήλλαττεν, οὐ θέμις εἶναι φάσκων εἰς τοιαύτην γενομέ- D νους τύχην περιιέναι τούς τε λοιποὺς τῶν ἀνθρώπων διαφθείροντας καὶ αὐτοὺς ὡς τὰ πολλὰ παραπαίοντας. λέγεται δὲ ταύτης τῆς πόλεως τὴν συμφορὰν ὑπερβαλέσθαι τὰς πώποτε γενομένας τῶν πόλεων ξυμφοράς. Ὀρθογρούλη δὲ τὸν παῖδα Παιαζήτεω συλλαβὼν ζῶντα ἐπὶ ἡμέρας περιῆγε, μετὰ δὲ ταῦτα ἀνελεῖν ἐκέλευσε. Παιαζήτης δὲ ὡς ἐπύθετο ἕκαστα μετ' οὐ πολύ, ἅτε δὴ ἡ πόλις ἁλοῦσα διεφθάρη, καὶ ὁ παῖς αὐτοῦ μετ' οὐ πολὺ ἤγγελτο τελευτῆσαι ὑπὸ βασιλέως Τεμήρεω, ξυμφορᾷ τε ἐχρῆτο ὡς μάλιστα καὶ ἐν πένθει ἦν. διαβάς τε γὰρ δὴ ἐς τὴν Ἀσίαν, ὡς βοσκόν τινα ἑωράκει αὐ- P. 78 λοῦντα, λέγεται δὴ εἰπεῖν, ἐπιδηλώσαντα τὸ πάθος αὐτῷ οἷον ἦν, "αὔλει δὲ ᾠδήν, οὔτε Σεβάστειαν ἀπώλεσεν οὔτε παῖδα Ὀρθογρούλην." ἦν γὰρ δή, ὡς λέγεται, Ὀρθογρούλης τῶν ἡλίκων τὰ πάντα κράτιστος, καὶ ἐξηγήσασθαι ἐπὶ πόλεμον ἱκανός· διὸ δὴ καὶ ἐν τῇ Ἀσίᾳ κατέλιπεν αὐτόν, ἐπιτρέψας τὴν ἀρχὴν αὐτῷ, ᾗ δοκοίη αὐτῷ ἐς τὸ ἐπιτηδειότατον καθιστάναι.

Κατὰ μὲν οὖν τὴν ἐς τὴν Σεβάστειαν ἔλασιν Τεμήρεω τοσαῦτα ἐγένετο· μετ' οὐ πολὺ δὲ καὶ ἡ πρεσβεία ἐφίκετο παρὰ τὸν λαίλαπα Παιαζήτην, καὶ ἐκέλευσεν αὐτὸν ἀποδοῦναι

13. αὔλει et mox ἀπολέσεις cum interprete Hammer I p. 296.
16. διὰ P: corr H

multitudine, omnes interfici curavit. hos enim ubicunque adeptus foret, incolumes abire haud sinebat, nequaquam fas esse dicens ut hi superstites sint, reliquosque homines inficiant, ipsi plerumque miserrime viventes. fama exiit excidium urbis istins miserrimum superasse calamitates omnes, quae in ullas unquam redundarunt urbes. Orthobulem Paiazitis filium, cum vivus in manus venisset, aliquot diebus secum circumduxit: postea cuidam negotium dedit ut eum interficeret. Paiazitem, ut urbis excidium miserabile filiique interitum accepit, calamitas luctusque apprehendit maximus. transiens enim in Asiam, ut vidit pastorem quendam tibia canentem, fertur dixisse, moerorem suum indicans quam acerbus esset, "cane cantilenam, cuius argumentum sit: neque Sebastiam amittas, nec etiam filium Orthobulem." erat enim Orthobules aequalium suorum optimus, etiam dux haud contemnendus. quapropter non ab re relictus est a patre in Asia, ut regnum administraret eo modo quo sibi putaret commodissime habere.

Expeditio Temiris contra Sebastiam hunc finem sortita est. nec multo post legatio missa est ad Paiazitem Laelapa, quae iussit ut ducibus restitueret regionem. daret tantum butyri, quantum ferunt duo

B τε τὴν χώραν τοῖς ἡγεμόσι, καὶ τάς τε δισχιλίας καμήλους βουτύρου, καὶ σκηνὰς δὴ δισχιλίας, αἷς εἰώθασιν οἱ νομάδες ἀνὰ τὴν Ἀσίαν χρῆσθαι, καὶ ἐν τοῖς ναοῖς τοῖς ὑπὸ τὴν Παιαζήτεω ἀρχὴν μνημονεύεσθαι αὐτὸν ὡς βασιλέα, καὶ νομίσματι δὲ χρῆσθαι τῷ βασιλέως Τεμήρης ἐς σύμπασαν τὴν ἀρχὴν αὐτοῦ, καθελόντα τὸ ἑαυτοῦ νόμισμα. πρὸς δὲ καὶ τῶν παίδων αὐτοῦ ἕνα ᾐτοῦντο παραγίνεσθαι ἐς τὰς Τεμήρεω θύρας. καὶ ἢν ταῦτα ποιῇ, φίλον τε καὶ ἐπιτήδειον ἔσεσθαι Τεμήρεω βασιλέως· ἢν δὲ μὴ ποιήσῃ, χρῆσθαι αὐτῷ ὡς πολεμίῳ βασιλέα Τεμήρη. ᾗ δὲ δὴ λέγεται θυμω-
C θέντα τὸν Παιαζήτην ἐκεῖνο δὴ τὸ ἔπος εἰπεῖν, ὃ καὶ πρότερόν μοι δεδήλωται, ὡς ἢν μὴ ἐπικαταβὰς ἀφίκοιτο ἐπ' αὐτόν, τὴν γυναῖκα αὐτοῦ ἐς τρὶς ἀποπεμψάμενον ἀπολαβεῖν αὖθις· ὃ δὴ αἰσχύνην φέρει μεγάλην, εἰρῆσθαι ὁτῳοῦν τὸ ἔπος τοῦτο. προθέμενος μὲν οὖν τὰ παρὰ τῆς πρεσβείας
V.62 αὐτοῦ τὸ Παιαζήτεω ἔπος ὁ Τεμήρης οὐκέτι ἐς ἀναβολὴν ἐποιεῖτο τὴν ἔλασιν, καὶ αὐτίκα παρασκευασάμενος στρατὸν τόν τε παρ' ἑαυτῷ Σκυθῶν τῶν νομάδων καὶ Τζαχαϊτίδων, ἐς ὀγδοήκοντα ὡς λέγεται μυριάδας, ἤλαυνεν ἐπὶ Παιαζήτῃ, διὰ Φρυγίας τε καὶ Λυδίας τὴν πορείαν ποιούμενος. Παιαζήτης δὲ ὡς ἐξορκώσας Τεμήρη, ἢν μὴ ὡς ἠδύνατο κράτιστα
D παρεσκευασμένος ἐπίῃ, συναγείρας στρατὸν ὡς ἠδύνατο μεγι-

5. Τεμήρεω? 22. ἐπήει P

milia camelorum. his adderet duo milia tentoriorum, cuiusmodi in usu habent pastores per Asiam. postulabatur quoque ut per universum Paiazitis regnum Temires pronuntiaretur rex. volebat quoque ut Paiazites in suam regionem Temiris numisma reciperet et suum irritum faceret. postremo imperabatur ut unus de numero filiorum Paiazitis militaret in ianuis Temiris. quodsi Paiazites haec faceret, fore eum amicum et necessarium regis Temiris: sin autem has petitiones aversaretur, sciret Temirem ipsum pro hoste habiturum. his auditis ferunt Paiazitem ira commotum illud responsum dedisse, quod supra declaravimus, videlicet "si non veniat quemadmodum minitatur, precor uxorem suam ter repudiatam recipiat;" quod quidem dictum magnam infamiam importat ei in quem dicitur. cum igitur cum tali responso legatos dimisisset, Temires expeditionem suam, quam animo versabat, non amplius differt contra Paiazitem. sed confestim contractis copiis quam potuit plurimis, Scytharum et Tzachaidarum, qui praesto erant, delectu habito, conscripsit exercitum, qui complectebatur octoginta myriades hominum; et profectus est contra Paiazitem, per Phrygiam Lydiamque iter faciens. Paiazites ut hosti obviam procederet instructus, comparavit et ipse quam potuit exercitum

στον, συμπαραλαβὼν καὶ τοὺς Τριβαλλοὺς αὐτοῦ δορυφόρους,
ἐς μυρίους μάλιστά που γενομένους τούτους (ἐφ' οἷς δὲ μέγα
ἐφρόνει ὡς ὅποι παρατυγχάνοιεν ἀνδρῶν ἀγαθῶν γενομένων),
καὶ προθέμενος ὡς Ἀλέξανδρος ὁ Φιλίππου τοὺς Μακεδόνας
ἔχων μεθ' ἑαυτοῦ καὶ ἐς τὴν Ἀσίαν διαβάς, Δαρεῖον αἰτια-
σάμενος τῆς ἐς τοὺς Ἕλληνας Ξέρξεω ἐλάσεως, τῷ ἑαυτοῦ
ἐλάσσονι δὴ στρατῷ ἐπιὼν κατεστρέψατο, καὶ τὴν Ἀσίαν ὑφ'
αὑτῷ ἐποιήσατο, ἔστε ἐπὶ Ἐνφαῒν τῆς Ἀσίας ἐληλάκει· ἐπί-
στευε δὲ καὶ αὐτὸς τῷ ἑαυτοῦ στρατεύματι ἐπιὼν καθαιρή-
σειν ταχὺ πάνυ τὴν Τεμήρεω βασιλείαν καὶ ἐπὶ Ἰνδοὺς ἀφι- P. 79
κέσθαι. παραλαβὼν δὴ οὖν τό τε Εὐρώπης καὶ Ἀσίας στρά-
τευμα, ἐς δώδεκα μυριάδας, ἵετο ὁμόσε ἐπὶ τὸν Τεμήρη,
φθῆναι αὐτὸν βουλόμενος ἐν τῇ χώρᾳ ἐστρατοπεδευμένον πρὸς
τῷ Εὐφράτῃ, ἐν νῷ ἔχων βασιλεῖ Τεμήρῃ μαχέσασθαι. Τε-
μήρης δὲ ἐπῄει διὰ Φρυγίας ἐλαύνων. Παιαζήτης δὲ διὰ
τῆς Καππαδοκίας ἐπείγετο, φθῆναι αὐτὸς πρὸς τῷ Εὐφράτῃ
κατὰ τὴν Ἀρμενίων χώραν βουλόμενος. ὡς δὲ ἐν τῇ Ἀρ-
μενίων γενόμενος χώρᾳ ἐπύθετο τὸν Τεμήρη ἤδη ἐν τῇ ἑαυ-
τοῦ ἀναστρέφεσθαι χώρᾳ, διὰ Φρυγίας ἐλάσαντα, τὰ ἔμπα- B
λιν γενόμενος ἐπορεύετο εὐθὺ Φρυγίας, ὡς δὴ καὶ Τεμήρη
αὐτὸν ἴεσθαι ἐπυνθάνετο. ταχὺ δὲ ἐπειγομένων ἠνύετο ὁ
δρόμος, ὥστε τὰ στρατεύματα αὐτοῦ πολλὴν διανύσαντα πο-

2. δή?

maximum, assumptis etiam Triballis satellitibus suis, qui numero erant quasi decem mille. in his spem maximam habebat Paiazites, ut qui fortitudinis essent semper memores quocunque venissent. quos cohortabatur, dicens "Alexander Philippi Macedones habens, transgressus est in Asiam, crimini dans Dario Xerxis in Graecos expeditionem, pauca suorum manu pergens in hostem, Darium devicit et Asiam subegit, pervenitque usque ad Phain Asiae. in spem erigor et ipse me facile nostro exercitu destructurum Temiris regnum, et deinde accessurum ad Indos usque." assumens itaque Europaeum Asianumque exercitum, qui complectebatur quasi duodecim myriades hominum, recta iter instituit adversus Temirem, cupiens eum praevertere et in ipsius regione castra locare iuxta Euphratem, animo agitans ibi dimicare cum Temire. Temires quidem exercitum per Phrygiam ductabat: at Paiazites citato agmine ferebatur per Cappadociam, praeoccupare volens Euphratem per Armeniam. ut autem, cum foret in Armenia, accepit Temirem iam in suam accessisse regionem, iter per Phrygiam facientem, mutato consilio recta in Phrygiam contendit, ubi obviam progredi Temirem intellexerat. cum autem acceleraret iter, accideret ut exercitus longo itinere graviter vexatus

ρείαν δι' ὀλίγου ἔκαμνέ τε χαλεπῶς φέροντα, καὶ ἤχθετο αὐτῷ ὅτι μὴ ἐν δέοντι χρήσαιτο τῇ ἑαυτοῦ τόλμῃ. ξυνέβαινε δὲ καὶ τὸ μηδενὶ ἐπιτρέπειν τοῦ στρατοῦ ἐπὶ πυροὺς καὶ κριθὰς ἐπὶ Προύσης, ὥρα ἦν παραβάλλειν τὸν ἵππον, χαλεπαίνειν τε αὐτῷ τὰ στρατεύματα καὶ ἀπαγορεύειν. ἀπείρηται γὰρ μηδενὶ ἐξεῖναι εἰς πυροὺς εἰσιέναι· ὅν τινα δ' ἂν λάβοι εἰσελθόντα, ἐτιμωρεῖτο. λέγεται δὲ αὐτῷ ἐστρατοπε-
C δευμένῳ περὶ Καππαδοκίαν πνεῦμα βιαιότατον, ἐπιπνεῦσαν τῷ στρατεύματι αὐτοῦ, τάς τε σκηνὰς ἀπενεγκάμενον ἐπὶ πολὺ ἀποσπάσαι καὶ μετεώρους ποιησάμενον καταβαλεῖν, καὶ τοῦτο κατ' αὐτοῦ γενέσθαι οἰωνὸν εἰς τὰ στρατεύματα. μετὰ δὲ ταῦτα ὡς ἐπελαύνοντι ἐπὶ τὴν Φρυγίαν ἐσκήνωτο, τήν τε σκηνὴν αὐτοῦ ἐς τρὶς συστησαμένους τοὺς ἀμφ' αὐτὸν παῖδας, αὐτόματον πεσοῦσαν, εἴτε τῆς γῆς μὴ δυναμένης κατέχειν τὰ σχοινία τῆς σκηνῆς, εἴτε καὶ ἄλλῃ πῃ ξυνέβη τοῦτο· τῆς τε γῆς ἀπειρῆσθαι αὐτῷ, μὴ ἐπιβαίνειν τῆς Φρυγίας, Ἑλλήνων τέ τινες αὐτοῦ παραγενόμενοι ἢ Τριβαλλῶν οἰωνίζοντο. λέγεται μὲν οὖν καὶ πρὶν ἢ ἐπὶ τὴν Ἀσίαν διαβῆναι, Ἀλίη τὸν Χαρατίνεω παῖδα, ἄνδρα δὴ τῶν παρ' ἑαυτῷ τὰ
D ἐς σύνεσιν οὐδενὸς λειπόμενον, χρηματίσαι αὐτῷ μὴ στρατεύεσθαι ἐπὶ Τεμήρῃ, τρόπῳ δὲ ὅτῳ δύναιτο ἀσφαλεστάτῳ διαλύεσθαι αὐτῷ τὴν πρὸς Τεμήρην διαφοράν. ἐκέλευε δὲ

3. τῷ? 4. ὧν ὥρα? 5. τε τὰ αὐτῷ P

Paiaziti indignaretur, quod ipsorum opera, etiam sua audacia, cum nulla necessitas moneret, abuteretur. praeterea contigit ut exercitus affligeretur maxima frumenti et hordei inopia propter Prusam. hinc equitatus graviter periclitabatur. exercitus rem istam iniquo animo ferebat, et iam detrectabat militiam. severiter enim interdictum erat ne quis manus admoliretur frumento, addito se acerbius vindicaturum eum qui fraudem huic suo edicto fecisset. fama est, cum castrametatus esset in Cappadocia, venti turbinem violentissimum incubuisse exercitui, adeo ut tentoria disiecta et in sublime tracta destrueret planissime; quod quidem exercitus pro omine parum fausto accepit. postea cum in Phrygiam movens castra communivisset, tentorium suum in tres pueros, qui ibi aderant, sua sponte ceciderat, sive quod terra nequiverit sustinere retinacula, sive alia est causa in quam casus ille reduci poterit. quidam Graeci et Triballi qui praesto erant, omen id esse dicebant, ne ascenderet in Phrygiam. ferunt tamen, priusquam transiret in Asiam, Aliem Charatinis filium, virum eorum qui cum Paiazite erant prudentia primarium, consuluisse ne exercitum contra Temirem duceret, verum anniteretur ut ista controversia quam tutissimis rationibus dissolveretur et componeretur. se

ἑαυτὸν πέμπειν, καὶ ὑπισχνεῖτο διαλλάξαι τε αὐτῷ βασιλέα
Τεμήρην, ᾗ ἂν αὐτὸς βούλοιτο. τὸν δὲ ὑπολαβόντα φάναι
ὡς οὐ τῇ ἐκείνου συνέσει πιστεύων ἀφίκοιτο ἐπὶ μέγα εὐ- V. 63
δαιμονίας, ἡγεμόνας τοσούτους καταστρεψάμενον, ἀλλὰ τῇ
ἑαυτοῦ ὁρμῇ τε καὶ γενναιότητι, τύχῃ δὲ εἰπεῖν καὶ τόλμῃ
ἐπιτραπομένους τῶν βασιλέων πολλούς, καὶ δίχα συνέσεως
μεγάλης, ἐπιδείξασθαι ἔργα, συνέσει δὲ τὸ πᾶν ἐπιτρέψαντας P. 80
αἴσχιστα ἀπολέσθαι.

Μετὰ δὲ ταῦτα, ὡς ἐν τῇ Ἀρμενίων ἐγένετο ἐπὶ Τε-
μήρῃ στρατευόμενος, ἐβουλεύετο ὡς δὴ κράτιστα τὴν μάχην
ποιήσαιτο. μεταπεμψάμενος δὲ τοὺς ἀρίστους ἐς βουλὴν κα-
θίστατο. καὶ τινων γενομένων ἐπ' ἀμφότερα ταῖς γνώμαις,
λέγεται Πραΐμην τὸν Ἀλίεω, μέγιστον δὴ παρὰ τῷ Παια-
ζήτῃ δυνάμενον, βουλεύοντα λέξαι τοιάδε. "ὦ βασιλεῦ, ἐπ'
ἄνδρας παρασκευάζῃ στρατεύεσθαι τά τε πολέμια λεγομένους
εἶναι ἀγαθοὺς ὑπὸ πάντων, ὅσοι δὴ τῆς τε γνώμης αὐτῶν
καὶ ἀρετῆς ἐπειράσαντο. τούτοις ἐγὼ εἰς λόγους ὡς τὰ πολλὰ B
ἀφικόμην, ἐπυθόμην τήν τε ἀρετὴν εἶναι παντὸς λόγου ἀξίαν,
καὶ πλῆθος δὴ πολλαπλάσιον τοῦ ἡμετέρου στρατεύματος ἀγ-
γέλλεται ἡμῖν εἶναι τὸ Τεμήρεω στράτευμα. ὥστε κατ' ἄμφω
δὴ τούτω οὔτ' ἂν συμβουλεύσαιμι θαρροῦντα τῷ ἡμετέρῳ
στρατῷ ἰέναι ὁμόσε ἐς τὸ Τεμήρεω στρατόπεδον. ἀλλ' οὐδ'

legatum fore in hac re promittebat, et iuxta animi ipsius sententiam Temirem reconciliaturum. Paiazites respondit "nunquam tantum felicitatis conscendissem fastigium, nec etiam tot duces imperium accipere coegissem, si tuae prudentiae me commisissem. impetu vehementi meaque generositate ductus tanta opera designavi. praeterea, quidam reges fortunam et audaciam secuti, neglecta prudentia, eximia fecere opera, cum reliqui interim, qui in omnibus praetulerunt prudentiam, turpissime perierint."

Cum in Armenia foret, animus erat universis copiis in aciem eductis summa vi certare cum hoste. adhibitis igitur in consilium optimatibus, ut praelium faciendum esset, deliberabat. cum essent quorum sententiae in utramque partem inclinarent, fama est Praimen Aleis filium, qui plurimum pollebat apud Paiazitem, sic locutum esse. "o rex, contra viros adornas praelium, qui peritia rerum bellicarum feruntur esse primi ab iis qui eorum animos et virtutem sunt experti. cum his ego quoque saepius in colloquium veni, audivique virtutem eorum miris modis celebrari. praeterea annuntiatur Temiris copias multis modis numero superare nostras. itaque ut modo utrorumque intellexi sententias, si et meum dandum est consilium, consuluero, nostro exercitui fidens, irruere in castra Temiris. verumta-

ἂν εἰ μαχεσάμενοι περιγενοίμεθα, εἴη ἂν ἡμῖν ὄφελος ὁτῳοῦν. εἰ μὲν γὰρ ἐς τὴν ἐκείνων ἐσβάλλοντες ἐμαχόμεθα, ἦν ἂν ὁμοῦ ξύμπαντα ἀγαθά, περί τε τῆς ἀρχῆς ἐκείνου ἀγωνίζεσθαι καὶ περὶ τῆς δυνάμεως. νῦν δὲ καὶ ἢν εἰς μάχην κα-
C θιστάμενοι μαχεσώμεθα, οὐδὲν διὰ τοῦτο ἡμῖν ἔσται. ἢν δέ, ὅπερ ἀπεύχομαι, ἐς τοὐναντίον ἡμῖν τὰ πράγματα περιστῇ, σκόπει δὴ ὦ βασιλεῦ ὁποῖόν ἀποβήσεταί σοι ἀπὸ τούτου, τήν τε δύναμιν ἅμα καὶ βασιλείαν ἀποβάλλοντι. ξυμβαίνει δὴ οὖν σοι μὴ ἀπὸ τοῦ ἴσου ἀγωνίζεσθαι σοί κἀκείνῳ. πείθομαι δὲ μηδὲ σύμπαντι τῷ στρατεύματι Τεμήρῃ βασιλέα, εἰ σωφρονεῖ, τὴν μάχην ποιήσασθαι, ἀλλ' ἐς μοίρας ἱκανὰς διελόμενος αὐτοῦ τὰ στρατεύματα διαπειρᾶσθαι ἡμῶν, καὶ εἰ μὲν τῇ μιᾷ μοίρᾳ ἐναντία ἰόντες περιγενοίμεθα, τῇ ἑτέρᾳ αὖθις μετ' οὐ πολὺ χρησάμενος, ἐς ὃ δὴ ἀπαγορεύειν
D ἡμᾶς καμοῦντας μαχομένοις ἐκείνοις· οὐ γὰρ τοιοῦτόν ἐστιν τὸ ἐκείνου στράτευμα, οἷον ἐπειδὰν ἐς χεῖρας ἀφίκηται, αὐτίκα ἐς φυγὴν τραπόμενον οἴχεσθαι· ἀλλὰ καὶ ἐν τῇ τροπῇ βέλτιον ἡμῶν, ἀναλαμβάνειν τε σφᾶς συνιόντας πυνθάνομαι, καὶ ἀναμαχομένους μεγάλα ἀποδείκνυσθαι ἔργα. δοκεῖ οὖν μοι ὁμόσε μέντοι μὴ ἴεσθαι ἐπὶ τὸ Τεμήρεω στράτευμα, διὰ δὲ τῶν ὀρέων πορευομένους ἐφέπεσθαι, ὅτι ἐγγύτατα γενομένους, καὶ ὅπῃ τε προχωροίη, κακοῦντας ἐν μέρει τὸ ἐκείνου

men et si praelii aleam iecerimus praeliumque nos victores declaraverit, nescio quae inde nobis sit futura utilitas. sed si hostium regionem fuerimus ingressi, ibique praelii fortunam fuerimus experti, commoda plurima feremus, pugnaturi videlicet pro regno et potentia Temiris acquirendis. nunc autem si summam rei certamini commiserimus, ea nequaquam evenient. sin autem, absit omen, in contrarium res ceciderit, vide quae damna passurus sis, amittens potentiam tantam regnumque tantum? apparet igitur quod tu et ille non ex aequo pugnetis. arbitror autem nec Temirem, si modo sapit, cum universo exercitu praelium initurum: verum copias suas distribuet in turmas magnas et multas, et in hunc modum nos tentabit. et si resistentes fortiter turmam unam vicerimus, alteram et recentem nobis opponet tamdiu, donec laborantes deficiamus, illis strenue pugnantibus. haud enim sic Temiris copiae sunt comparatae ut, ubi ad praelium ventum fuerit, statim in fugam abeant: verum etiam in fuga nobis meliores sunt, et facilius in unum colliguntur dispersi, magna virtutis edentes opera. censeo itaque non obviam eundum esse Temiris exercitui: verum melius et utilius mihi videtur ut eum subsequamur per montes, quam proxime semper instantes, eiusque exercitum laedentes, ubicunque occasio se dederit. hinc apparebit a populationi-

στράτευμα. δῆλα δ' ἂν γένοιτο ταύτῃ ὡς οὔτε ἐπιδρομῇ
χρήσαιτ' ἂν ἔτι τοῦ λοιποῦ ἐφισταμένων ἡμῶν καὶ ἐπισπο-
μένων ἐγγύτατα, σιτίζεσθαί τε οὐκ ἂν ἔτι τοῦ λοιποῦ δύναιτο
ἱκανῶς, ὥστε ἀποχρῶντα εἶναι αὐτῷ τὰ ἐπιτήδεια. ἐπειδὰν
δ' ἐν τῇ ἐκείνου γενώμεθα ἐπισπόμενοι τῷ Τεμήρῃ στρατεύ- P.81
ματι, τηνικαῦτα δὴ ὁρμωμένῳ οἴκαδε τῷ στρατεύματι καὶ
ἐχομένῳ τῆς οἴκαδε ὁδοῦ ἐπιπέσοιμέν τε ἂν καὶ ἀμυνόμενοι
μαχεσαίμεθα."

Ταῦτα εἰπόντος τοῦ Πραΐμεω, ταύτῃ ἐτράποντο καὶ οἱ
λοιποὶ τὴν ψῆφον τιθέμενοι. βασιλεὺς δὲ Παιαζήτης λέγε-
ται εἰπεῖν τοιάδε. "τὸ πλῆθος ἔοικεν, ὦ ἄνδρες, ᾗ ἐγὼ τεκ-
μαίρομαι, ὑμᾶς δεδίττεσθαι. ἀλλ' ἐκεῖνο δὴ καὶ ὑμεῖς ἴστε,
ὡς πλήθους οὐδὲν ὑγιές ἐστιν, ὅπου ἂν ἀρετὴ παραγένη-
ται. ἴστε δὴ καὶ Ξέρξη τὸν Δαρείου, βασιλέα Περσῶν, πλήθη V.64
ὁπόσα ἀγόμενος καὶ ἐς τὴν Εὐρώπην διαβὰς παρὰ βραχὺ
ἐπῄει ἀποθανούμενος, εἰ μὴ Μαρδόνιος ὑποστὰς ἤμυνεν αὐ- B
τῷ τὸν ὄλεθρον ἐπανιόντας ἐς Σοῦσα. καὶ Ἀλέξανδρον ἴστε,
ὡς Δαρείῳ μαχεσάμενος τήν τε βασιλείαν ἀφείλετο καὶ αὐ-
τὸν ἀπέκτεινε. καὶ πολλοὺς δὲ πυθέσθαι οἶμαι τῶν ἡμετέ-
ρων Τούρκων ὀλίγῃ χειρὶ μεγάλα ἀποδείξασθαι ἔργα. καὶ
ἡμεῖς δ' ἐν τῇ Εὐρώπῃ θαμὰ δὴ ἐπὶ τὰς μάχας ἰόντες γένη
τε ἐτρεψάμεθα γενναιότατα δὴ γενόμενα τῶν ἐς τὴν οἰκου-
μένην ἐθνῶν, Κελτούς τε καὶ Παίονας. καὶ διὰ ταῦτα μὴ

16 ἐμήνυεν P 21. θ' ἅμα P

bus eum cohibitum iri, dum nos ei usque incubuerimus, nullibi submoti longius. nec etiam satis frumenti acquirere poterit: proinde commeatus sufficiens deerit. ubi autem in hostilem venerimus regionem, secuti Temiris exercitum, ibi demum manus conseremus cum hoste, cupiente redire domum."

Haec cum peregisset Praimes, reliqui duces pedibus in hanc sententiam ibant. at Paiazites talem exorsus est orationem. "multitudo hostilis exercitus, quantum intelligo, vobis terrorem infert. verum et vos nostis multitudinem inconditam nihil sani vel momenti habere, si virtus ei opponatur. scitis Xerxem Darii filium, regem Persarum, copias quantas in Europam transiens secum adduxerit, et propemodum peremptus abierit, nisi Mardonius periculum substitisset, et indicasset ei mortem imminere, nisi confestim rediret Susa. nec vos fugit ut Alexander devicto regi Dario regnum ademerit, ipsumque interfecerit. plurimos audivisse reor paucam Turcorum manum saepe strenue rem gessisse magnaque fortitudinis opera patrasse. et nos frequenter in Europa praeliantes Gallos et Pannones, gentes earum

οὕτω φαυλίζων ἡμᾶς ἐς γενναιότητα κακίους τε καὶ φαυλοτέρους ἀποφαίνου Σκυθῶν τε Τζαχαταίων, οἳ ξίφει οὐδεπώποτε οὐδαμῇ ἐχρήσαντο, ἀλλ' ἢ τόξῳ μόνῳ καὶ οϊστοῖς βάλλοντες ἐς χεῖρας ἰέναι οὐ πάνυ τι ἐθέλουσι.

C Ταῦτα εἰπόντος τοῦ βασιλέως λέγεται τὸν Εἰενὲ ἄρχοντα ἐπειπεῖν τοιάδε. "ἐπεὶ τοίνυν δοκεῖ σοι ὦ βασιλεῦ ἐπὶ τοὺς πολεμίους ἡμᾶς ὁμόσε ἰέναι, ἴθι δὴ πειθόμενος ἐμοὶ τούς τε θησαυροὺς ἀνεῳγὼς δίδου τῷ στρατεύματι πονήσαντι καὶ κεκμηκότι. ὡς ἐφ' ὅ τι ἂν γένοιτο τὰ πράγματα ἰόντα, τούτων δὲ τῶν σῶν θησαυρῶν οὕτω διδομένων τοῖς στρατιώταις ἐν κέρδει ἐσομένων ἡμῖν καὶ οὐκ ἀπολουμένων. ἤν τε ἐφ' ἡμῖν γένηται, πολλαπλάσια ἕξομεν κερδανοῦντες· ἤν τε ἐπὶ τῷ Πέρσῃ, ἄμεινον ὂν ταύτῃ γενόμενον." ταῦτα λέγων οὐκ ἔπειθε Παιαζήτη, ἔνθα γνώμην ἀποφηνάμενος ὡς τῇ Τεμήρεω D σφραγῖδι ἐσφράγισται ἄρα τὰ Παιαζήτεω χρήματα, καὶ διὰ ταῦτα οὐ τολμῴη αὐτὰ διανεῖμαι τοῖς στρατιώταις.

Ταῦτα μὲν οὖν ἐς τοσοῦτον ἐβουλεύετο Παιαζήτῃ· μετὰ δὲ ταῦτα, ὡς ἐλαύνων οὐκ ἀνίη, ἀφίκετο ἐπὶ Οὔγκραν τῆς Φρυγίας πόλιν, ἔνθα δὴ καὶ Τεμήρης ἐστρατοπεδεύετο, ἐπὶ Μυσίαν ἐν νῷ ἔχων καὶ ἐπὶ Προῦσαν τὰ βασίλεια Παιαζήτεω στρατεύεσθαι. ὡς δὲ ἀγχοῦ ἐγένετο τοῦ Τεμήρεω στρα-

5. λέγεταί τινα τῶν ἐννέα ἀρχόντων H

quas orbis habet generosissimas, in fugam coniecimus. quapropter ne nos contempseris, et ne peiores contemptioresque, quantum ad fortitudinem attinet, nos Scythis et Tzachataeis ostenderis; qui nunquam gladiis rem gerunt, sed sagittas et iacula emittentes nunquam libenti animo ad pugnam accedunt."

Ut dicendi finem fecit rex, unus de numero novem ducum huiusmodi sermonem habuit. "quoniam igitur, o rex, certum est et animo tuo iam fixum ut in hostem pergamus, age thesauros tuos reclude, et dispartire eos per exercitum laborantem. utcunque inde belli ceciderit alea, si in eum modum thesauros militibus distribueris, nobis hi lucro erunt. si victoriae casum invenerimus, immensa bonorum aderit copia: si Persa vicerit, non poenitebit, quemadmodum consulo, cum thesauris egisse." Paiaziti tamen persuadere nequivit. hinc fertur dux dixisse "ergo Temiris signum Paiazitis numisma tenet; quare permotus non audet id distribuere per milites."

Haec quidem hactenus deliberabat Paiazites. postea proficiscens, cum nihil perficeret, pervenit Uncram Phrygiae urbem. ibi cum exercitu erat et Temires, bellum promovens contra Mysiam, animo agitans bello petere Prusam, regiam Paiazitis sedem. cum autem appropinquasset Temiris exercitui, etiam ipse castra posuit, spatio inter

τεύματος, ἐστρατοπεδεύετο καὶ αὐτὸς ἐπὶ σταδίους πεντεκαί-
δεκα ἀπὸ τοῦ Τεμήρεω στρατοπέδου. ἔνθα δὴ λέγεται τὸν
Τεμήρη, ὡς ἐπιόντα στρατοπεδεύεσθαι ἐπύθετο, θαυμάσαι
τε τὴν τόλμαν αὐτοῦ, καὶ ὡς ἀπὸ Ἀρμενίων ταχὺ παραγέ-
νετο ἐπ' αὐτόν, καὶ ὡς οὕτω ἐκ τοῦ ἐμφανοῦς καθίστατο P.82
αὐτῷ ἐς μάχην, οὕτω δὴ ἐν τάχει σὺν τῷ στρατεύματι ἐλαύ-
νων. καὶ ἐφ' ἵππον δὴ λέγεται ἀναβάντα ἐλάσαι τε ὅτι ἐγ-
γυτάτω τοῦ στρατοπέδου Παιαζήτεω, καὶ τὰς φυλακὰς θεα-
σάμενον καὶ τὸ στρατόπεδον, ὡς ἐσκήνωτο, ἀνακαγχάσαι τε
καὶ εἰπεῖν "ἄξιος ἡμῖν οὗτος λαίλαπι παραβάλλεσθαι τῆς
τόλμης αὐτοῦ. οὐ μέντοι γε ἀρετῆς ἕνεκα χαίρων γε ἀπαλ-
λάξεται. ἔοικεν ὑπὸ δαίμονος πολεμίου ἐλαύνεσθαι οὕτω
πάνυ· μελαγχολᾷ γὰρ δὴ ὁ κακοδαίμων καὶ οὐκέτι σωφρο-
νεῖ." ταῦτα εἰπόντα ἐλάσαι τε ἐπὶ τὸ ἑαυτοῦ στρατόπεδον. 1402
καὶ τῇ ὑστεραίᾳ αὐτὸν σὺν τοῖς ἀρίστοις αὐτοῦ, ἔχοντα ἀμφὶ d. 20 Iul. B
τῇ . . . ., ἐπιπέμψαι Σαχροῦχον τὸν παῖδα αὐτοῦ ἐπὶ Παια-
ζήτη. ἐνταῦθα ὡς ᾔσθετο ἐπιὸν τὸ Τεμήρεω στράτευμα
κατ' αὐτοῦ, παρετάξατο καὶ αὐτὸς ἐπὶ λόφου τινὸς ὡς μα-
χούμενος. καὶ τὸ εὐώνυμον αὐτοῦ μέρος τοῦ κέρατος εἶ-
χεν ὁ τῆς ἕω στρατηγός, τὸ δὲ δεξιὸν εἶχεν ὁ τῆς Εὐρώ-
πης ἡγεμών· ἐν μέσῳ δὲ ἐπὶ τοῦ λόφου ἵδρυτο ὁ Παιαζή-
της σὺν τοῖς νεήλυσι καὶ τοῖς ἀμφ' αὐτόν. Σαχροῦχος δὲ V.65
ἔχων τοὺς Τζαχαταΐδας καὶ τῶν Περσῶν τοὺς ἀρίστους

2. τῷ Τεμήρῃ P 16. ἐπιὼν P

utrorumque castra relicto stadiorum quindecim. fama est Temirem, ut accepit in propinquo esse cum exercitu Paiazitem, viri audaciam admodum esse miratum, videlicet quod tanta celeritate ex Armenia venisset, et iam ex aperto secum bellum gereret. conscenso igitur equo profectus est, et quam proxime potuit ad Paiazitis castra accessit. ut autem custodias et vigilias necnon situm castrorum est speculatus, cum risu fertur dixisse "dignus profecto vir ille est ut turbini conferatur, non propter suam virtutem, verum magis propter insignem audaciam. attamen praeclare secum actum esse putabit, si poterit incolumis effugere. genio suo parum dextro instigatur: adeo planissime insanit vir ille, nec rationis amplius compos est infelix." his dictis ut finem statuit, celeriter in castra sua reversus est. postero die cum delecta manu militum numero circiter * * * misit Sachruchum filium contra Paiazitem. qui ut accepit adversum se properare hostem, aciem instruit in colle quodam, quasi pugnae copiam facturus. sinistrum cornu tenebat dux ab Oriente, dextrum regebat dux Europae; in medio autem curabat Paiazites cum peregrinis et satellitibus suis. Sachruchus habens Tzachataidas et Persarum optimates pergebat agmine composito contra Paiazitem; nec tamen eos

ἐπῄει συντεταγμένῳ τῷ στρατεύματι ἐπὶ Παιαζήτην. οὐ μέν-
C τοι γε ἐκυκλοῦτο, ἀλλὰ ἐδίδου χώραν ἀπιέναι, εἰ βούλοιντο,
ὡς ἂν μὴ κυκλούμενοι σφῶν ἀμείνονες γένοιντο, περὶ ψυχῆς
ἀγωνιζόμενοι. συνέβαλέ τε κατὰ τὸ τῆς Εὐρώπης στράτευ-
μα, καὶ ἐμάχετο. ὡς ἐπὶ πολὺ μὲν τῆς ἡμέρας ἐμάχοντο,
ὥστε μηδ' ἀναπαύεσθαι ἔχειν τὸ Παιαζήτου στράτευμα.
Τριβαλλοὶ δὲ ἐνταῦθα ἄνδρες γενόμενοι ἀγαθοὶ ἐμάχοντο
ἀξίως λόγου, καὶ ἐμβαλόντες ἐς τοὺς Τζαχαταΐδας τά τε δό-
ρατα κατέαξαν, καὶ διηγωνίζοντο ἐντεταμένως ἐχόμενοι τοῦ
ἔργου. Παιαζήτης δὲ ὡς ἑώρα τὸ τῆς Εὐρώπης αὐτῷ στρά-
τευμα κινηθὲν ἐς πρόσω καὶ μαχόμενον, ἀνεκαλεῖτο μὲν ἐν
τῇ ἀκμῇ τῆς Εὐρώπης τὸν στρατηγόν, ὀρρωδῶν μὴ παρα-
D συρεὶς κυκλωθείη καὶ κινδυνεύσῃ διαφθαρῆναι, μετεπέμπετο
ἐς τὸν χῶρον ἐς ὃν ἵδρυτο τὴν ἀρχήν. καὶ πρῶτα μὲν οὐχ
ὑπήκουσε, δεδιὼς τὸ πρᾶγμα· μετὰ δέ, ὡς ἐπιφερομένου
αὐτῷ τοῦ βασιλέως καὶ βλασφημοῦντος, ἀνεκαλεῖτο τὴν σύν-
ταξιν. ἐνταῦθα οἱ Τζαχαταΐδες ἐπεισπεσόντες τοῖς Τούρκοις
ἐπέκειντο πάνυ φονεύοντες, ἐς ὃ δὴ ἐς φυγὴν κατέστησαν αὐ-
τοὺς τραπῆναι. ἐνταῦθα ὡς ὥρμηντο ἐς φυγήν, ἐπικειμένων
τῶν πολεμίων καὶ τὸ ἀπὸ τῆς Ἀσίας στράτευμα αὐτίκα ἐς
φυγὴν ὥρμητο. καὶ αὐτίκα ὁ Παιαζήτης ἰδὼν ταῦτα οὐκέτι
ἐνέμεινεν, ἀλλ' ἐπὶ ἵππον θήλειαν ἀναβὰς ἔφευγε κατὰ κρά-
P. 83 τος. ἐνταῦθα ὡς πρότερον κήρυγμα πεποιημένου Τεμήρεω

circumvenire statuebat, concedens ipsis abeundi, si vellent, locum, ne scilicet circumventi ab omni parte ex desperatione, quasi inclusi, animos sumerent, et acrius pro salute deinde certantes victoriam invenirent. primo aggressus est Europae exercitum. ut autem pugna ad multum diei est extracta, neque quietem a pugnando Paiazitis milites haberent, ibi Triballi pristinae suae virtutis memores praelium ciebant magna cum fortitudine et gloria; impetumque dantes in Tzachataidas hastas infregerunt, magna cum vehementia praelio incumbentes. Paiazites ut conspicatus est Europaeum exercitum longius a se evectum cupidine pugnae, illico ducem Europaei exercitus revocat, timens ne, si eius exercitus esset longius a monte submotus, ipse ab hostibus circumduceretur et in periculum vitae veniret. iubebat igitur eum regredi in eum locum ubi ab initio collocatus erat. at dux primo nequaquam dicto audiens fuit, veritus rem quae parabatur. deinde cum rex violentius saeviret nec convitiis abstineret, paruit, aciesque revocata est. ibi tum Tzachataides acriter instantes occidebant Turcos plurimos, donec terga darent. qui cum fugerent persequentibus hostibus, etiam exercitus Asianus haud stetit, verum continuo fugam arripuit. Paiazites vi-

βασιλέως μηδένα καταχαίνειν τῶν τοῦ Παιαζήτου, μόνον δὲ ἀπεκδυόμενοι τούτους ἠφίεσαν· οὐ γὰρ ἐξῆν ὁμοφύλους ὄντας ἀνδραποδίζεσθαι. Παιαζήτης δὲ τἀναντία τούτων κηρύξας ἐς τὸ στρατόπεδον, ὡς ὃν ἂν λάβοιεν τοῦ Τεμήρεω στρατοῦ, πάντας κατακτείνειν. Σαχροῦχος μὲν οὖν ὡς ἐτρέψατο Παιαζήτην, ἤδη τὰ στρατεύματα Τεμήρεω, καὶ ὅσα ἐμάχοντο καὶ ὅσα ἐπὶ τοῦ στρατοπέδου ἐτύγχανεν ὄντα, ὥρμητο ἐπὶ τὸν Παιαζήτεω στρατὸν φθῆναι βουλόμενος. καὶ ἐπὶ τὴν χώραν ἐτράποντο ἐπὶ διαρπαγήν, ἐπιδρομῇ χρησάμενοι, ἔστε τὴν Ἰωνίαν καὶ ἐς τὸν Ἑλλήσποντον· ἔνθα δὴ πολλαὶ μὲν κῶμαι ἐλήφθησαν, πολίσματα δὲ ἐρημώθη ὅτι πλεῖστα, τῶν B ἱπποδρόμων τοῦ Τεμήρεω ἀνὰ τὴν χώραν τοῦ Παιαζήτεω διαθεόντων ἁπανταχῇ.

Περὶ δὲ τὸν Παιαζήτην τοιόνδε ξυνηνέχθη γενέσθαι. ὡς γὰρ ἔθει ἀνὰ κράτος οὗτος, ἐπέκειντό τε καὶ ἀπεδίωκον οἱ Τζαχαταΐδες, ἁμιλλώμενοι ἑλεῖν αὐτόν. καὶ πολὺ μὲν προὔλαυνεν ἅτε ἐπὶ ἵππῳ ταχυτάτῳ ἐπιφερόμενος· μετὰ δέ, ὡς ἐπὶ τὸν ποταμὸν ἀφίκετο, τὴν ἵππον λέγουσι διψήσασαν καρτερῶς ἐθελῆσαι τοῦ ὕδατος· Παιαζήτης γὰρ ἐνόσει τὼ χεῖρε καὶ τὼ πόδε ὑπὸ ποδάγρας, καὶ κατασχεῖν οὐχ οἷός τε ἐγένετο. ἐνταῦθα δὴ ὑποχαλάσαι τὴν ἵππον ὑπὸ τοῦ ὕδατος

1. καταβαίνειν P

dens in quo statu res suae essent, conscendit equam totisque viribus fugit. Temires cum prius praeconium dimisisset per castra, ne quem de Paiazitis exercitu caperent et ad mancipiorum condicionem miseram deducerent, curavit ut spoliatis abire liceret: non enim fas esse ducebat ut gentiles suos ad mancipiorum formam redigerent. at Paiazites contrarium, antequam praelium iniretur, per castra voce praeconis nuntiari iusserat, nempe ut quemcunque de Temiris militibus fuerint nacti, eum illico obtruncarent. Sachruchus igitur ut in fugam verterat hostem, iam Temiris copiae, quae in castris expectarant, iunctae pugnantibus impetu ferebantur, volentes praevertere Paiazitis exercitum. conversi itaque ad populationes maximam vastitatem fecere in Ionia et Hellesponto. vici occupati sunt plurimi; oppidula in desolationem migrarunt plurima, ubique equitibus Temiris in Paiazitis regione grassantibus.

Interim autem haec accidere Paiaziti fugienti. cum fugeret pernicissimo cursu, fugientem insequebantur Tzachataides, affectantes eum capere. iam multum itineris fugiendo confecerat, ut qui velocissima veheretur equa. postea cum forte venisset ad flumen, equa intoleranda siti stimulata bibere cupiebat. Paiazites autem chiragra et podagra gravissime laborabat: proinde equam a potandi cupidine inhibere haud poterat. equa igitur ut bibit, parum dissoluta nonni-

καὶ λειφθῆναι τοῦ δρόμου, ὥστε τοὺς στρατιώτας Τεμήρη
C συλλαβεῖν τε Παιαζήτην, καὶ ἀγαγεῖν παρὰ βασιλέα Τεμήρη.

Ἑάλωσαν μὲν οὖν ἐν ταύτῃ τῇ μάχῃ καὶ Μωσῆς καὶ πάντες σχεδὸν οἱ τοῦ Παιαζήτεω ἄρχοντες, οὐ μὴν χαλεπὸν ἔπαθον ὁτιοῦν, πλὴν τῶν ἱματίων. καὶ γὰρ Μωσῆς ἐδόκει τε τῶν ἄλλων κράτιστος γεγονέναι· καὶ διὰ τοῦτο περιῆγεν ἔχων ἐν τῷ στρατοπέδῳ καὶ δίαιταν παρεχόμενος. ἑάλω δὲ καὶ ἡ γυνὴ τοῦ Παιαζήτεω ἐν Προύσῃ· ὡς γὰρ τήν τε
V.66 Προῦσαν ἐπέδραμον, καὶ τὰς γυναικωνίτιδας ἀφείλοντο. πρὸς δὲ καὶ τὴν Ἐλεαζάρου θυγατέρα, Παιαζήτεω δὲ γυναῖκα, ἁλόντες ἀπήγαγον παρὰ βασιλέα. Μουσουλμάνης μὲν οὖν καὶ Ἰησοῦς καὶ Μεχμέτης καὶ οἱ λοιποὶ τῶν Παιαζήτεω παί-
D δων κατελείφθησαν, καὶ οἱ μὲν ἐν τῇ Εὐρώπῃ οἱ δὲ ἐν τῇ Ἀσίᾳ ὄντες διεσώζοντο, ὅποι ἑκάστῳ προυχώρει.

Τῷ μέντοι Παιαζήτῃ, ὡς ἤχθη ἐναντίον βασιλέως, λέγεται εἰπεῖν αὐτῷ τοιάδε. "ὦ κακόδαιμον, τί δὲ οὕτω πάνυ τὸν σαυτοῦ δαίμονα ἐβιάσω, προκαλούμενος ἡμᾶς ἐπὶ μάχην; ἢ οὐκ ἐπύθου ὡς τῷ ἐμῷ τῷδε στρατεύματι δυστήνων παῖδες ἀντέστησαν;" Παιαζήτης δὲ ὑπολαβὼν ἀμείβετο, ᾗ δὴ λέγεται, ὡς οὐκ ἂν δὴ ἐς τοῦτο τύχης ἀφικοίμην, ἂν μὴ αὐτῷ παρείχετο πράγματα ἐκεῖνος, τά τε ἄλλα καὶ ἀπὸ ἐθνῶν τῷ Μεχμέτῃ τῷ ἥρωι πολεμίων θαμὰ ἀνακαλούμενος. "ἀλλ'

11. ἑλόντες? 13. κατειλήφθησαν P 17. ἐβιάζω P 22. πολεμίῳ P

hil de cursus pernicitate remisit, adeo ut milites Temiris Paiazite potirentur, captumque ad suum regem traherent.

In hoc praelio captus est Moses; capti sunt reliqui pene omnes Paiazitis duces. nec tamen quicquam periculi passi sunt, nisi quod vestibus sunt spoliati. etenim Moses videbatur reliquis praestantior robore: proinde eum circumductum secum in castris habuit, victum ministrans. Paiazitis uxor in hostium manus venit Prusae: nam incursionem etiam in Prusam fecerunt, et gynaeceum inde rapuerunt. Eleazari filiam, Paiazitis uxorem, rapientes abduxerunt ad regem. Mulsumanes, Iesus, Mechmetes et reliqui Paiazitis filii in hostium potestatem venere. qui in Europa et Asia erant, ut poterant salvabantur.

Paiazitem, cum adductus esset in conspectum regis, sic Temires allocutus est. "o infelix, quid adeo malum tuum coegisti genium, ut nos bello lacesseres? an non audivisti quod meo exercitui miserorum filii resistunt?" Paiazites respondens inquit "nequaquam ad tantam infelicitatem venissem, ni tu mihi negotia fecisses, caetera quoque provocatus a gentibus heroi nostro infestis." "verum" ait

ἢν μὴ ἐτετύφωσο" ἔφη Τεμήρης, "οὕτω μέγα πάνυ φρονῶν, οὐκ ἂν δὴ ἐς τοῦτο συμφορᾶς, οἶμαι, ἀφίκου· οὕτω γὰρ P. 84 εἴωθε τὸ θεῖον τὰ πάνυ μέγα φρονοῦντα καὶ πεφυσημένα μειοῦν ὡς τὰ πολλὰ καὶ σμικρύνειν." ἐνταῦθα δὴ ἐπιμέμψασθαι αὐτῷ λέγεται βασιλέα Τεμήρη τὴν ἐπὶ τοὺς κύνας τε καὶ ἱέρακας φιλοτιμίαν, ὡς ἀνδρὶ κυνηγῷ ἐῴκει τὴν τέχνην, καὶ οὐκ ἄρχοντι ἄγοντι ἐς πολέμους· λέγεται γὰρ Παιαζήτης ἐς τοὺς ἑπτακισχιλίους κτήσασθαι ἱερακοφόρους καὶ κύνας ἀμφὶ τοὺς ἑξακισχιλίους. ἐνταῦθα τόντε Παιαζήτην φάναι ὑπολαβόντα "ἀλλὰ σοὶ μὲν τῷ Σκύθῃ, ληστῇ ἔτι ὄντι καὶ ταύτην ἐπιτηδεύοντι τὴν τέχνην, οὐ πάνυ τι ἂν προσήκοι ἄγρας οὐδὲ κυνηγεσίων· ἐμοὶ δὲ ἐς τοῦτό τε γεννηθέντι καὶ τεθραμμένῳ, τῷ Ἀμουράτεω τοῦ Ὀρχάνεω, βασιλέων παιδί, B μετῆν καὶ κυνῶν καὶ ἱεράκων φιλοτιμίας." ἐνταῦθα δὴ ἀχθεσθέντα τὸν βασιλέα περιαχθῆναι ἐς τὸ στρατόπεδον ἐκέλευσεν ἐπὶ ἡμιόνου, καὶ συριττόμενον ὑπὸ τοῦ στρατοπέδου περιαγαγεῖν. ὡς δὲ περιαχθέντα ἤγαγον, ἔρεσθαι αὐτὸν λέγεται εἰ τοῦ γένους ἐκεῖνα τυγχάνει ἐπιτηδεύματα, ὡς τὰ τῶν ἱεράκων τε καὶ κυνῶν. μετὰ δὲ ταῦτα ἐν φυλακῇ ἐποιήσατο, καὶ ἄρας σὺν τῷ στρατεύματι ἤλαυνεν ἐπὶ Ἰωνίαν καὶ τὴν ταύτῃ πάραλον χώραν, ἐν νῷ ἔχων αὐτοῦ τε διαχειμάσαι καὶ ἦρος ἐπιφαινομένου ἐς τὴν Εὐρώπην διαβῆναι. ἐπενόει γάρ, ὡς καὶ πρότερόν μοι δεδήλωται, ἐς τὴν Εὐρώπην διαβὰς πᾶ- C

Temires "si non adeo sublati tibi essent animi, nunquam ad istam praecipitatus esses miseriam. sic namque solet numen plerumque fastuosos deprimere et ad humilem fortunam deiicere." deinde misit Temires Paiaziti accipitres et canes et reliquum huiusmodi apparatum, ut qui venatori potius quam imperatori in hostes ducenti comparandus esset. aiunt Paiazitem habuisse septem milia virorum qui accipitres curarent; praeterea aluisse canes sexies mille. respondens itaque Temiri Paiazites inquit "verum, o Temires, qui es Scytha et latro, latrocinandique artem usque exerces, satis scio parum tibi convenire cum canum accipitrumque studio. mihi vero, qui sum natus et educatus ab Amurate Orchanis filio, qui ambo reges extitere, congruit canum et accipitrum studium." rex Temires hoc responso graviter offensus impositum mulo per castra agi iubet, propinans eum militibus deridendum. ut autem iam omnibus satis ridiculo fuit, reductum ad se interrogavit, an etiam ista studia sui generis sint, quemadmodum accipitrum et canum. deinde Paiazitem in vincula coniecit. motis postea castris iter in Ioniam et finitimam eius regionem intendit, in animo habens ibi hibernare. vere appe-

σάν τε ὑφ' αὑτῷ ποιήσασθαι, ἐς ὃ δὴ ἐπὶ τὰς Ἡρακλείους ἀφίκηται στήλας, ἐντεῦθεν δὲ αὖθις ἐς Λιβύην διαβῆναι, καὶ διὰ τῆς Λιβύης ἐπανιέναι ἐς τὴν ἑαυτοῦ χώραν, ξύμπασαν ὑπαγόμενος τὴν ταύτῃ ἤπειρον τῆς οἰκουμένης. ἐπρεσβεύετο μὲν οὖν καὶ πρὸς τὸν Βυζαντίου βασιλέα, τήν τε διάβασιν αἰτούμενος αὐτὸν πλοῖά τε καὶ τριήρεις.

Λέγεται δὲ καὶ τόδε βασιλεὺς Τεμήρης ἐς Παιαζήτη. ὡς γὰρ ἀπήχθη ἡ γυνὴ αὐτοῦ, Ἐλεαζάρου θυγάτηρ, ἧς δὴ μάλιστα τῶν ἄλλων ἐραστὴς ἐτύγχανε Παιαζήτης καὶ περιῆγε μεθ' ἑαυτοῦ ἔχων ἐν τῷ στρατοπέδῳ, ἐπιστῆσαί οἱ ἐναντίον
D τοῦ ἀνδρὸς αὐτῆς, οἰνοχοῆσαί οἱ. τὸν δὲ εὖ μάλα ἀχθεσθέντα εἰπεῖν λέγεται "ἀλλ' οὔτ' ἂν συμφώνως τῷ σῷ πατρὶ καὶ μητρὶ ἐργάζοιο· ἰδιωτῶν γὰρ τούτων καὶ πενήτων γενόμενος δίκαιος ἂν εἴης ὥστ' ἂν ἐπικερτομῆσαι βασιλέων παισί τε καὶ γυναιξί, καὶ ἐξυβρίζεις ἐς τοὺς σοὺς τῇ φύσει δεσπότας." τούτῳ μὲν τοιαῦτα λέγοντι γέλωτά τε ἐποίει τοὺς λόγους, καὶ ἐπιχλευάζων ἐπέσκωπτεν οἷα οὐδὲν ὑγιὲς οὔτε φρονοῦντι οὔτε λέγοντι.

Οἱ μέντοι Παιαζήτεω ἄρχοντες, ἐς λόγους ἀφικόμενοι
V. 67 τοῖς Τεμήρεω ὀρυκταῖς, ᾗ φασίν, ὑπέσχοντο ἀργύριον τελέσ-
P. 85 σαι πάμπολυ, εἰ ὑφέλοιντο Παιαζήτη ὑπορύξαντες. ἔνθα δὴ

tente in Europam profectionem parabat, quemadmodum supra docui, ut in eam transvectus universam in dicionem acciperet, usque ad Herculis columnas progrediens. inde in Libyam iter avertere et ex Libya in suam regionem redire in animum inducebat, universa ista orbis continente imperio suo iuncta. misit legatos ad Byzantii regem petens liberum transitum et naves triremesque, quibus copias suas transmittere posset.

Etiam istam iniuriam Temires Paiaziti fecit. ut enim Eleazari filia, Paiazitis uxor, quam prae caeteris ardentissimo amore complectebatur et secum in castris semper habebat, captiva abducta est ad Temirem, iussa est in conspectu mariti sui vinum infundere. hinc Paiazites ira accensus in haec verba prorupit "neque paterno neque materno tuo genere digna facis. cum enim natus sis ex parentibus idiotis et ingloriis pauperibusque, haud tibi decorum est adeo turpiter insultare regum liberis et uxoribus. hoc modo etiam eos qui tibi natura sunt domini, probris oneras." haec dicens ingentem risum movebat Temiri, qui hominem pro ludibrio habebat, ut qui nihil sani nec diceret nec saperet.

Paiazitis duces cum in colloquium venissent Temiris fossoribus, eos promissis accendebant, daturi immensam argenti vim, si cuniculo acto in eam castrorum partem, ubi vinctus asservabatur Paiazites,

ὀρύγματα ποιησάμενοι ἐν τῷ στρατοπέδῳ, καὶ εἰς τὴν σκηνὴν ἐν ᾗ ἐσκήνου Παιαζήτης ἐν φυλακῇ ὢν ἐξιόντες, ὤφθησαν ὑπὸ τῶν ταύτῃ φυλάκων καὶ ἑάλωσαν· οὐ γὰρ ἐντὸς ἐγένοντο τῆς σκηνῆς, ἀλλ' ἐκτός, ᾗ ἐφύλασσον πέριξ γενόμενοι ἄνδρες ὑπὸ Τεμήρεω ταχθέντες. ταύτῃ ὡς ἐξῄεσαν καὶ ἑάλωσαν, ἀπετάμοντο τὰς κεφαλὰς ὑπὸ βασιλέως.

Ἐπὶ Σμύρνης μὲν οὖν ἀφικόμενος τήν τε Σμύρνην εἷλε τροχίσκοις, καὶ τὴν ἐν τῷ αἰγιαλῷ ἄκραν ὑπὸ Ῥωμαίων ταύτῃ κατεχομένην ὑπορύξας κατέλαβέ τε, καὶ ταύτην ἑλὼν πολίσματά τε ἄλλα τῆς χώρας ταύτης ἐπελαύνων ᾕρει, ὥς οἱ B προυχώρει προσβάλλοντι ἐφ' ἕκαστον. τριχῇ γάρ, λέγεται, διῄρει τὰς πόλεις Τεμήρης, τοῖς τε τροχοῖς. κύκλοι δὲ ὄντες οὗτοι καὶ κλίμακας ἔχοντες ἐντὸς ὥστε ἀναβαίνειν ἐπὶ τὸ τεῖχος, ἐς τὴν τάφρον ἄγοντες ἐπετίθεσαν ἄνδρες διακόσιοι ἕκαστον τεταγμένοι, διὰ τοῦ τροχοῦ εἰσιὼν ἕκαστος, ἔστε πέραν τε ἐγίγνετο τῆς τάφρου, στεγαζόμενοι ὑπὸ τοῦ τροχοῦ. ὡς δὲ πέραν γίγνοιντο, ἀνέβαινον τὰς κλίμακας, καὶ οὕτω ᾕρουν τὴν πόλιν. μετὰ δὲ πολλοὶ ὄντες αὐτῷ ἐν τῷ στρατοπέδῳ ἔχουν τὴν πόλιν, ὥστε ἐπὶ τὸ τεῖχος τὰ χώματα ἀναβαίνειν, καὶ ἄνω διὰ τῶν χωμάτων ἡλίσκετο αὐτῷ τὸ τεῖχος. C εἶχε δὲ καὶ ὀρυκτὰς ἐς μυρίους, καὶ ὀρύσσοντες τὰ τείχη

11. προσβάλλονται P: corr Hamakerus. post ἕκαστον cum Hamakero omisi, quae huc ex p. 162, 4 irrepserant, ὡς δὲ ἔαρ ἦν τε καὶ ὑπέφαινε. 12. διήρει] ᾕρει? 15. ἐς τὸ P

emersissent eumque inde eripuissent. fodientes itaque versus castra et tentorium, ubi in vinculis erat Paiazites, tandemque prorepentes visi sunt custodibus et capti. non enim intra tentorium ubi Paiazites erat, sed extra ex cuniculo prodierunt, ubi viri erant quibus Paiazitis custodia a Temire erat mandata. ea igitur parte ex cuniculo fossores egressos et captos rex iussit obtruncari.

Veniens autem Smyrnam eam urbem rotis cepit. praeterea arcem in littore sitam, in qua erat Romanorum praesidium, suffodiens penitus subvertit. hanc ubi occupavit, etiam a reliquis ius belli non abstinuit, verum accedens oppida, qua sibi videbatur aptissimum, aggrediebatur. ut autem ver iam appetierat, rotis urbes capiebat Temires. hae erant circuli, et intra scalas habebant quibus ascendebatur in muros. et quando in fossam dirigebantur, recipiebant viros ducentos separatim positos, donec singuli rotas intrarent. postea veniebant in alteram quae ex adverso erat fossae partem, satis muniti et tecti a rotis. quo cum venissent, scalas conscendebant, et eo modo capiebant urbes. deinde reliqui, qui erant in castris, urbem vallo cingebant, aggeresque fundebant, qui facile murum superarent; ex quibus deinde muro facile potiebatur. praeterea fossores habuit Te-

ἐπὶ μετεώρων ξύλων καθειστήκεσαν. μετὰ δὲ ταῦτα πῦρ ἐνιεὶς τὰ ξύλα, καὶ ὡς ἐκαίετο τὰ ξύλα, τὰ τείχη εὐπετῶς ἔπιπτον, καὶ ταύτῃ ἐσέπιπτον ἐς τὴν πόλιν.

Οὕτω μὲν οὖν ᾕρει Τεμήρης τὰς πόλεις· ὡς δὲ ἤδη ἔαρ ὑπέφαινεν, ἀφίκετο παρ' αὐτὸν ἀγγελία ὡς τοῦ Ἰνδῶν βασιλέως πρεσβεία ἀφικομένη ἐπὶ Χερίην μεγάλῃ χειρὶ δεινά τε τὴν πόλιν ἐργάσαιτο, καὶ ἐπὶ τοὺς θησαυροὺς παριὼν τοῦ βασιλέως τόν τε φόρον λαβὼν οἴχοιτο, καὶ ἀπειλοίη ὡς οὐκ-
D ἔτι ἐμμένοι ταῖς σπονδαῖς ὁ Ἰνδῶν βασιλεύς. ταῦτα μὲν ὡς ἐπύθετο, περιδεὴς γενόμενος, μὴ ἐπειδὴ ἀφίκοιτο ἡ πρεσβεία παρὰ βασιλέα τῶν Ἰνδῶν, ἐπιὼν καταστρέφοιτο τὴν ἑαυτοῦ χώραν, σχόντος αὐτοῦ ἀμφὶ τοὺς ἐπήλυδας πολέμους. καὶ ἅμα ἐσῄει αὐτὸν καὶ τὰ ἀνθρώπεια ἐν οὐδενὶ ἑστηκότα ἀσφαλεῖ, καὶ δεινὰ ποιησάμενος τοὺς Ἰνδοὺς πρέσβεις ἐξυβρίσαι ἐς αὐτὸν οὕτως ἀναίδην, ἤλαυνεν ὡς εἶχε τάχιστα ἐπὶ Χερίης, τόν τε Παιαζήτην ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν παῖδα αὐτοῦ. καὶ οὐδένα λόγον ἐποιεῖτο αὐτοῦ Τεμήρης, ἀπέδρα ἐπὶ τὴν πατρῴαν χώραν. Παιαζήτην δὲ ὑπὸ λύπης νοσήσαντα τε-
P. 86 λευτῆσαι τὸν βίον ἔφασαν. οὕτω μὲν οὖν ἐτελεύτησε Παια-
1403 d. 8 Mart. ζήτης ὁ Ἀμουράτεω, ἀνὴρ ὁρμήν τε καὶ τόλμαν ἐπιδειξάμενος, ὅποι ἂν παραγένοιτο, ἀξίαν λόγου, καὶ [τόλμῃ] μεγάλα

2. ἐνίεσαν εἰς τὰ? 7. ἐργάσοιτο P 17. καὶ οὐδένα γὰρ λόγον?

mires circiter decem milia, qui suffossum murum sustentabant excelsis lignis, quae deinde accendebant; quibus concrematis muri nemine impellente procidebant: per nudata inde muro loca milites ruebant in urbem.

His tribus modis Temires in oppugnatione urbium utebatur. ver ut iam illuxit, legati veniunt, qui referebant Indorum regem cum magna manu advenisse, urbemque Cheriam intolerandis malis affecisse. etiam ad thesauros regios procedentem, tributo anni adempto, domum abiisse. minae quoque ferebantur, Indorum regem nolle amplius foederatum esse Temiri. haec ut Temires intellexit, terror ingens iniectus est, ne, si rediisset legatio ad regem Indorum, ipse exercitium armaret, regionemque hostiliter accedens occuparet, se interim externis occupato bellis. simul etiam rerum humanarum condicio mentem tangebat, quae nullo in loco satis firmas tutasque res consistere patitur. deinde graviter ferens Indorum legatos adeo impudenter sibi contumeliam fecisse, citato agmine Cheriam properavit, Paiazitem et filium eius secum vehens, cuius parvum respectum egit. proinde in patriam fuga evasit regionem. Paiazitem autem tradunt prae nimia aegritudine aegrotantem fato functum esse. hunc vitae exitum habuit Paiazites, mirabilem tum impetum audaciamque osten-

ἀποδειξάμενος ἔργα κατά τε Ἀσίαν καὶ Εὐρώπην, βασιλεύσας ἔτη πέντε καὶ εἴκοσιν. ἦν δὲ οὕτως αὐθάδης ὥστε μηδενὶ πείθεσθαι ὡς ἑαυτῷ θαρρούντως χωρεῖν ἐπὶ τοὺς πολεμίους. ἐτελεύτησε δὲ ἐν τῇ Ἰωνίᾳ, διαχειμάζοντος αὐτοῦ Τεμήρεω τὸν στρατόν.

Ὁ δὲ Ἰνδῶν βασιλεὺς οὗτος ἐστὶν ὁ τὸν ἐννέα βασιλέων τοὔνομα ἔχων, Τζαχατάης βασιλεύς. τῶν ἐννέα δὲ βασιλέων βασιλέα γενόμενον τοῦτον, τὸν διὰ τοὺς Μασαγέτας στρατὸν B μέγαν ἐπὶ Τεμήρην ἐπιπέμψαντα, λέγεται τόν τε Ἀράξην V. 68 ἐπιόντα διαβῆναι, καὶ τὰ πλέω τῆς ταύτῃ χώρας καταστρεψάμενον ἐπ' οἴκου αὖθις ἀποχωρῆσαι. Συήνης τε βασιλεύει καὶ Ἰνδίας καὶ Ξυπρίσης, καὶ διήκει αὐτῷ ἡ χώρα ἐπὶ Ταπροβάνην νῆσον, ἐς Ἰνδικὴν θάλασσαν, ἐς ἣν οἱ μέγιστοι τῆς Ἰνδικῆς χώρας ποταμοὶ ἐκδιδοῦσιν, ὅ τε Γάγγης Ἰνδὸς Ἀνυθίνης Ὑδάσπης Ὑδραώτης Ὕφασις, μέγιστοι δὴ οὗτοι ὄντες τῆς χώρας. φέρει δ' ἡ Ἰνδικὴ χώρα ἀγαθὰ μὲν πολλὰ καὶ ὄλβον πολύν, καὶ ὅ τε βασιλεὺς ξυμπάσης τῆς χώρας ὑπ' αὐτὸν γενομένης. ὁρμώμενος δὲ οὗτος ἀπὸ τῆς ὑπὲρ Γάγγην χώρας καὶ C τῆς παραλίου Ἰνδικῆς καὶ Ταπροβάνης, ἐλθεῖν ἐπὶ τὸν βασιλέα Χαταγίης, τῆς χώρας τῆς ἐντὸς Γάγγου καὶ Ἰνδοῦ, καὶ καταστρεψάμενον τὴν ταύτῃ χώραν τὰ βασίλεια ἐν ταύτῃ δὴ τῇ πόλει ποιήσασθαι· ξυμβῆναι δὲ τότε γενέσθαι ὑφ' ἑνὶ βασιλεῖ

dens, quocunque pervenisset. annis regnavit viginti quinque, res praeclaras in Asia Europaque gerens. adeo autem praefractus et temerarius erat ut neminem monentem sequeretur, sed sibi soli confideret, quando eundum erat in hostes. expiravit in Ionia, cum eo in hiberna movisset Temires.

At Indorum rex, de quo nunc verba facimus, unus est de numero novem regum, et Tzachataae rex appellatur. constat eum fuisse de grege novem illorum regum, qui per Massagetas exercitum magnum contra Temirem misit. qui transito Araxe, et pleraque regionis parte quae subiecta est Temiri subacta, domum reversus est. eius imperio parent Syena India et Chyprisa. huius regio patet ultra Taprobanen insulam, usque in Indicum mare, in quod deferuntur Ganges Indus Anythines Hydraspes Hydraotes Hyphasis, fluvii regionis istius maximi. Indiae autem regio multa suppeditat bona, magnamque fundit felicitatem: sed totius Indiae imperium penes hunc regem est, qui profectus ab ea regione quae supra Gangem est, et a maritima Indiae regione, necnon a Taprobane insula, venit ad regem Achatagiae, quae intra Gangem et Indum est sita. qua deinde suae dicioni adiecta, urbem eius regionis regni sui sedem declaravit. exinde unius imperio universa gubernatur India. rex iste, et qui Cha-

ξύμπασαν τὴν Ἰνδικὴν χώραν. νομίζουσι δὲ οὗτοι θεούς, οἵ τε τὴν Χαταγίην χώραν οἰκοῦντες, Ἀπόλλω τε καὶ Ἄρτεμιν καὶ δὴ καὶ Ἥραν. φωνὴν δ' οὐ τὴν αὐτὴν σφίσιν ἵενται, ἀλλ' ἐς ἔθνη τε πολλὰ διῃρημένα εὐνομεῖται ἐπὶ πλείστων δὴ ἀνθρώπων κατά τε πόλεις καὶ κώμας. θυσίας δὲ ἀνάγουσιν ἵππους μὲν τῷ Ἀπόλλωνι βοῦς δὲ τῇ Ἥρᾳ· τῇ δὲ Ἀρτέμιδι θύουσι παῖδας ἀρτίως ἡβάσκοντας ἀνὰ πᾶν ἔτος. φέρει δ' ἡ D χώρα αὕτη πυροὺς μὲν ἐπὶ πεντεκαίδεκα πήχεις, ὡς λέγεται, βασιλικούς, καὶ κριθὰς δὲ τὸν αὐτὸν τρόπον, καὶ μελίνην ἐς τὸ αὐτὸ μέγεθος. καλαμίνοις δὲ πλοίοις χρώμενοι διαπορθμεύουσι τὸν ποταμόν. φέρει δὲ ἡ Ἰνδική, ὡς λέγουσι, τοσοῦτον μέγεθος ὥστε ἀπ' αὐτοῦ ναυπηγεῖσθαι πλοῖα μεδίμνων τεσσαράκοντα Ἑλληνικῶν. τὸ μὲν γένος τοῦτο οὐ πάνυ γνωστὸν ἡμῖν γενόμενον πολλὰς ἀπιστίας παρέχει, μὴ πείθεσθαι περὶ αὐτῶν ὅσα πυνθάνομαι. ἥτε γὰρ χώρα αὕτη πρόσω ἐκποδὼν γενομένη οὐ πάνυ ἐπιτήδειος εἴσω ᾤκεῖταί τε καὶ ὅπῃ ἔχει ἠθῶν τε καὶ διαίτης. γένος μέντοι ἰσχυρότατον γε- P. 87 νόμενον τὸ παλαιὸν τούς τε Περσῶν βασιλεῖς καὶ Ἀσσυρίων, ἡγουμένους τῆς Ἀσίας, θεραπεύειν μὲν τοὺς Ἰνδῶν βασιλεῖς, ἐπεί τε Σεμίραμις καὶ Κῦρος ὁ τοῦ Καμβύσου τὸν Ἀράξην διαβάντες μεγάλῳ τῷ πολέμῳ ἐχρήσαντο. ἥτε γὰρ Σεμίραμις τῶν Ἀσσυρίων βασίλισσα ἐπὶ τῶν Ἰνδῶν βασιλέα ἐλαύνουσα

4. πλεῖστον? 12. ὑπ' αὐτοῦ τὸ ναυπ. P

tagiam regionem incolunt, deos esse censent, quos colunt, Apollinem Dianam Iunonemque. diversa inter se utuntur lingua: haud enim omnibus eadem est, siquidem in plurimas discreti gentes reguntur, abundante hominum numero tam in vicis quam in urbibus. victimas immolant equos Apollini, boves Iunoni, Dianae pueros iam pubescentes. haec sacrificia frequentantur quotannis. regio ista producit, ut fama est, frumentum, cuius altitudo excedit quindecim cubitos regios. eadem etiam hordeo altitudo est, similiter et panico. arundineis autem navibus utentes flumen traiiciunt. fert regio illa (sic enim fama habet) arundinem tantae magnitudinis, ut ex ea aedificentur naves quae capiunt medimnos Graecos quadraginta. at genus istud hominum cum nobis parum sit cognitum, fit ut plurima quae de illis feruntur nullam apud nos fidem inveniant: nam cum India a nobis quam longissime submota habitetur, ignoratur quibus moribus et qua victus ratione Indi utantur. hoc hominum genus cum robore plurimum praestaret antiquitus, Persarum et Assyriorum reges, qui Asiam imperio temperabant, coluisse fama tenet. Semiramis et Cyrus Cambysis filius Araxem transeuntes quondam magnam belli molem eo verterunt. nam Semiramis Assyriorum regina arma contra Indorum regem

μεγάλῃ παρασκευῇ, ἐπεί τε τὸν ποταμὸν διέβη, ἐπεπράγει τε χαλεπώτατα καὶ αὐτοῦ ταύτῃ ἐτελεύτησε. μετὰ δὲ ταῦτα Κῦρος ὁ Καμβύσεω, Περσῶν βασιλεύς, λέγεται δὴ τόν τε Ἀράξην διαβάς, καὶ διαγωνισάμενος πρὸς Μασαγέτας ἔπραξέ τε τὰ χαλεπώτατα, καὶ αὐτοῦ ὑπὸ γυναικὸς μοίρας τῆς Μασαγετῶν βασιλευούσης ἀποθανεῖν. B

Τεμήρης μὲν οὖν ὡς ὑπὸ τοῦ ἀγγέλου ἐπύθετο τὰ περὶ τὴν πρεσβείαν τοῦ Χαταγίης βασιλέως, ἀπήλαυνεν, ὡς εἶχε τάχους, ἐπὶ Χερίης. Παιαζήτης δέ, ὡς εἴρηται, κατὰ τὴν ὁδὸν ἐτελεύτησεν, ὑπενεχθεὶς ἐς τὴν μέλαιναν ὑπὸ λύπης. Μωϋσῆς δὲ ὁ παῖς αὐτοῦ, ἀφεθεὶς ὑπὸ βασιλέως Τεμήρῃ, ἐπὶ τὴν πατρῴαν χώραν ἀφίκετο. βασιλεὺς δὲ Τεμήρης ὡς ἐγένετο ἐς τὰ βασίλεια τὰ ἑαυτοῦ, τάτε ἐν τῇ ἀρχῇ αὐτοῦ καθίστη ᾗ ἐδόκει κάλλιστα ἔχειν αὐτῷ, καὶ πρὸς τὸν Ἰνδῶν βασιλέα διενεχθεὶς ἐπολέμει. μετὰ δὲ ταῦτα εἰρήνην τε ἐποιήσατο ἐφ' ᾧ τε ξένοι τε καὶ φίλοι εἶναι ἀλλήλοις.

Τούτῳ ἐγένοντο παῖδες Σαχροῦχός τε καὶ Παιαγγούρης C καὶ Ἀβδυλατούφης. Σαχροῦχον τὸν πρεσβύτερον παῖδα αὐτοῦ κατέλιπε βασιλέα ἀποδειξάμενος. αὐτὸς δὲ περὶ ἔρωτας V.69 ἔχων καὶ ἐνταῦθα πολυπραγμονῶν ἐτελεύτησε. λέγεται γὰρ 1405 δὴ Τεμήρης μάλιστα δὴ ἀνθρώπων ἐς τοῦτο ὑπὸ φύσεως d.19 Febr. ἀχθῆναι, ὥστε νεανίσκους ἐναντίον αὐτοῦ γυναιξὶ κελεύειν μίσγεσθαι, ὥστε καὶ τὴν φύσιν ἐρεθίζειν αὐτοῦ ἐπὶ τοῦτο.

maximo apparatu movens, ubi flumen superavit, clade suorum maxima accepta occubuit. praeterea Cyrus filius Cambysis, Persarum rex, traiecto fluvio cum Massagetis congressus in gravissimum praecipitatus est periculum, ibi peremptus a muliere Maera Massagetarum regina.

Temires, ut allatum est quae fecisset regis Indorum legatio, maxima celeritate Cheriam se recepit. Paiazites, ut supra diximus, in itinere prae aegritudine naturae debitum solvit. Moses Paiazitis filius, dimissus a Temire, in patriam profectus est regionem. rex Temires ut pervenit in suam regiam, quae ad regni curam attinebant, summa diligentia executus est. deinde hostili animo sumpto bellum cum Indorum rege ex professo gerebat. haud multo post pax inter utrumque convenit.

Temiri nati sunt filii, Sachruchus Paiangures et Abdulatuphes. Sachruchum filium natu maximum regno praefecit. ipse autem amori operam dans, totumque huic rei curiosius se mancipans, mortem tandem obiit. aiunt Temirem libidine reliquos mortales longe superasse. nam adolescentes in conspectu suo mulieres constuprare iubebat, sic provocans naturam, ut ipse deinde coire posset. quando

ὡς δὲ ἀπὸ ἐρώτων γένοιτο, ἐπὶ πολεμίους αὐτίκα δὴ τρέπεσθαι, μηδέποτε ἡσυχίαν ἄγοντα. καὶ ἐξυβρίσαι δὴ λέγεται τὴν φύσιν αὐτοῦ ἐς τὴν δίαιταν περὶ ἀφροδίσια γενόμενον.

Τούτου μὲν δὴ τελευτήσαντος ἔσχε τὴν βασιλείαν Σαχροῦχος, ἀνὴρ τά τε ἄλλα ἐπιεικής, καὶ τοῖς περιοίκοις τὰ D πολλὰ σπενδόμενός τε καὶ ἡσυχίαν ἄγων διετέλει. μετ' οὐ πολὺ τελευτήσαντος Σαχρούχου τοῦ Τεμήρεω, Παιαγγούρης ὁ νεώτερος παῖς ἔσχε τὴν βασιλείαν, πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ διενεχθείς. Οὐλίης μὲν γὰρ τήν τε Καδδουσίων χώραν καὶ τὴν Ὑρκανίαν κατέχων πρὸς Ἀβδυλατούφην τὸν ἀδελφὸν διενεχθεὶς ἐπολέμει, καὶ ὡς Παιαγγούρη ἐπαγόμενος τήν τε χώραν ἀφείλετο, καὶ αὐτὸν ζωγρήσας εἶχεν ἐν φυλακῇ. μετὰ δὲ ταῦτα τελευτήσαντος Παιαγγούρεω Τζοκίης ἔσχε τὴν βασιλείαν. πρὸς τοῦτον Παϊμπούρης τῶν ἐννέα βασιλέων ἐπι- P. 88 γαμίαν ποιησάμενος καὶ ἐπιτραφθεὶς ἔσχε τὴν βασιλείαν· καὶ τὰ Σεμαρχάνδης πράγματα κατασχών, καὶ Ἰνδῶν συμμαχίαν ἐπαγόμενος, πρός τε τὸν Τζοκίην Παιαγγούρεω ἐπολέμει παῖδα. Τζοκίης μὲν οὖν τούς τε Σκύθας ἐπαγόμενος, καὶ τῆς Ἀσσυρίων χώρας βασιλεύων, ἐπὶ Παιαγγούρην τὸν ἀδελφὸν τόν τε πόλεμον διέφερε, καὶ στρατευσάμενος μάχῃ τε

autem relictis amoribus ad bellum protrudebatur, bello confecto ad solitam redibat libidinem, nullo modo quietiorem vitam sectatus. etiam naturae suae vim facere non erubuit, luxuriosiorem secutus victus rationem, quo magis rei Venereae indulgere posset.

Temire defuncto Sachruchus, vir caetera aequitatis studiosus, et plerumque cum finitimis foedera iungens tranquillitatisque amator, regni gubernacula tenuit. haud tamen multo post, excedente e vivis Sachrucho, Paiangures Temiris filius natu minimus regno potitus est. unde ei non admodum bene cum fratribus convenit, verum inimicitiae inter ipsos exarserunt. Ulies enim Caddusiorum regionem et Hyrcaniam retinens, inimicitias suscipiens adversus fratrem Abdulatuphem, cum eo bellum gerebat. Paiangures adveniens regionem ei adimebat, et ipsum captum in carcerem misit. mortuo deinde Paiangure ad regni moderamen evasit Tzokies. cum hoc affinitatem iungens Paeampures, unus de numero novem regum, et conversus regnum occupavit. oppressis enim et occupatis Semarchandae rebus, contractis etiam Indorum auxiliis, bello petiit Tzokiem Paianguris filium. Tzokies adducens Scythas, Assyriorumque regioni imperans, contra fratrem Paiangurem bellum movit. in hoc bello victor extitit, et Semarchandam in dicionem accepit. nec multo post in belli societatem adhibito uno de numero novem regum, et regia sede in

ἐκράτησε καὶ Σεμαρχάνδην παρεστήσατο. οὐ πολὺ δὲ ὕστερον τῶν ἐννέα βασιλεῖ συμμάχῳ χρησάμενος, καὶ ἐν τῷ Ταβρέζῃ πόλει εὐδαίμονι Ἀσσυρίων τὰ βασίλεια ποιησάμενος, πρός τε τὸν Λευκαρίας πολεμῶν διετέλει καὶ Σαμαχίην πόλιν ἐπολιόρκει, τὰ τοῦ Καραουλίκεω βασίλεια. Ταβρέζη δὲ B πόλις εἶναι μεγάλη τε καὶ εὐδαίμων, καὶ τῶν ἐν τῇ Ἀσίᾳ μετά γε Σεμαρχάνδην χρημάτων τε προσόδῳ καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ προέχουσα· σῆράς τε τρέφει ἡ χώρα αὕτη μέταξάν τε καλλίστην ποιουμένη, καὶ τὴν Σαμαχίης ἀμείνω. φέρει δὲ καὶ κριμίζιν σηρὰν οὕτω καλούμενον πορφυράν, περὶ τὰ ἱμάτια τά τε ἀπὸ ἐρίων καὶ σηρῶν, βαφὴν ἐνδεικνύμενα ἀξίαν λόγου. ἔστι δὲ πλέα τὰ ἐν τῇδε τῇ χώρᾳ Περσῶν τῶν Ἀτζαμίων καλουμένων· ὅσοι γὰρ ἐς τὴν Ἀτζαμίων φωνὴν προΐενται, Πέρσαι τε οὗτοι σύμπαντες καὶ τῇ Περσῶν φωνῇ διαλέγονται. οἰκοῦσί τε Ταβρέζῃ τε καὶ Καγινὸν καὶ Νιγετίην, πόλεις εὐδαίμονας τῶν Μήδων καὶ Ἀσσυρίων χώρας. C Σαμαχίη δὲ πρὸς τῇ Ἀρμενίων χώρᾳ ᾠκημένη, πόλις εὐδαίμων τε καὶ πολυάνθρωπος. ἀπὸ δὲ τῆς θυγατρὸς Τζοκίεω, Καραϊσούφεω δὲ γυναικός, ἐγένετο Τζανισᾶς παῖς Καραϊσούφεω, Τζοκίεω δὲ ἀπόγονος. οὗτος τε Παγδατίης τῆς Βαβυλῶνος ἐπῆρξε, καὶ Ἀσσυρίων τὴν χώραν καταστρεψάμενος Ταβρέζῃ τε ἑαυτῷ ὑπηγάγετο καὶ πρὸς τὸν Μπαϊμπούρεω παῖδα διεπολέμει. ἐπελάσας δὲ πρὸς Ἀτζιγγάνιν ἐπολιόρκει

10. ἐπὶ T

Tabreze Assyriorum urbe opulenta constituta, bello lacessebat Leucariae ducem; etiam Samachiam urbem, Carailucis regiam, oppugnabat. Tabreze autem fertur urbs esse magna et opibus florentissima: etiam omnes Asiae urbes, extra Semarchandam, opum accessu et reliqua felicitate antecedere noscitur. vermiculos alit ea regio ex quibus sericum producitur pulcherrimum, quod longe praestat ei serico quod Samachia suppeditat. fert quoque Crinizin isto nomine vermiculum, qui purpureum colorem admiratione dignum tribuit vestibus ex filis e serico contextis. Abundat autem regio Persis quos Atzamios vocant. quotquot enim Atzamiorum Persarum lingua utuntur, omnes hi Persae sunt et Persarum linguam in usu habent. incolunt Tabrezen Cagrinum et Nigetiam, urbes opulentas, in Assyriorum et Medorum regione sitas. Samachia autem, cuius situs est versus Armeniam, urbs perhibetur opulenta et populosa. ex filia Tzokiis, quae matrimonio iuncta fuit Charaisuphi, natus est Tzanisas Tzokiis nepos et Caraisuphis filius. is Pagdatiam Babylonem rexit, et Assyriorum regionem iure belli possidens Tabrezen suo imperio addidit. arma idem Paimpuris filio intulit. profectus contra Artzinganim urbem,

*παραστησάμενος, καὶ τὴν Ἀρμενίων ἐντὸς Εὐφράτου χώραν
ἐτύγχανεν οὖσαν ὑπηγάγετο. μετὰ δὲ τοῦ Τζοκίεω παιδὸς
ὡρμημένου ἀπὸ Σεμαρχάνδης τήν τε Βαβυλῶνα ἐπολιόρκει,
D καὶ αὐτὸν ἐπιόντα οἱ μάχῃ ἐπεκράτησε. καὶ τὴν Βαβυλῶνα
ἑλών, ἐπὶ Ταβρέζῃ ἐλαύνων, ἐς τόνδε συνδιαφέρει τὸν πόλε-
V. 70 μον. Χασάνης μέντοι ὁ μακρός, Σκενδέρεω τοῦ τὸ Ἀρτζιγ-
γάνιν διακατέχοντος ἀπόγονος ὢν καὶ τῆς Καραϊλούκεω μοί-
ρας, ἐπὶ τὴν ἀρχὴν παρεγένετο τὴν Ἀρμενίων, συνελαυνομέ-
νων αὐτῷ τῶν τε Καραϊλούκεω παίδων. οὗτοι γὰρ ὡς ὑπὸ
τοῦ βασιλέως Τζανισᾶ, Καραϊσούφεω παιδός, ἐν Σαμαχίῃ
πολιορκούμενοι ἐν ἀπόρῳ εἴχοντο, προσεδέοντο τοῦ Μπαϊμ-
πούρεω ἐσβαλεῖν ἐς τὴν Μηδικήν, ὅς πεισθείς τε ἐσέβαλε,
P. 89 καὶ ἀπανέστη τε ὁ Τζανισᾶς ἀποχωρῶν πρὸς τὸν Μπαϊμπού-
ρην, τὰ μὲν συμβάλλων, τὰ δὲ ληιζόμενος τὴν χώραν ἐκεί-
νου. οἱ μέντοι ἡγεμόνες, ὅ τε Μενδεσίας Αἰδίνης καὶ Σαρ-
χάνης, ἀλόντος Παιαζήτεω τήν τε χώραν κατέλαβον ἐπικελεύ-
οντος Τεμήρεω, καὶ ἐς τὴν ἑαυτοῦ χώραν καθίστατο ἕκαστος.
ὁρῶν δὲ Χασάνης συμβαλλομένην αὐτῷ δύναμιν ἀξιόχρεων,
τήν τε Ἀρμενίων χώραν ὑπηγάγετο καὶ τοὺς Κιαπνίδας, καὶ
πρὸς τοὺς Κολχίδος βασιλεῖς ἐπιγαμίαν ποιησάμενος εἰρήνην
ἐποιήσατο.*

eam oppugnatione cepit. Armeniam, quae iacet intra Euphratem, in suam dicionem redegit. hinc Tzokiis filio profecto a Semarchanda Babylonem oppugnabat. ipsum adeuntem praelio vicit. exinde Babylonem capiens et contra Tabrezem exercitum ducens, cum illo bellum gessit. Chasanes quidem Longus Scenderis, qui Artzinganim tenebat, nepos, et ex familia Carailucis, regnum Armeniae adeptus erat, adiutus ab Carailucis filiis, qui una cum illo eo profecti erant. hi cum a rege Tzanisa Caraisuphis filio Samachiae gravissima obsidione premerentur, resque eorum admodum lubricae essent, precibus aggressi sunt Paimpurem ut irrueret in Mediae regionem. qui facile quod petivere impetrarunt: nam in Mediam irrupit. qui rumor ut perlatus est ad Tzanisam, obsidione urbem abscedens solvit, iterque flexit adversus Paimpurem, partim quidem regionem eius in dicionem accipiens, partim vero vastans. Mendesis, Aedines, Sarchanes et Alloutes Paiazitis regionem occuparunt iussu Temiris, et in suam singuli redibant regionem. Chasanes cernens sibi potentiam esse maximam, Armeniam et Tzapnidas subegit, et pacem intercedente affinitate cum Colchidis rege fecit.

ΛΑΟΝΙΚΟΥ ΧΑΛΚΟΚΟΝΔΥΛΟΥ

ΑΘΗΝΑΙΟΥ

ΑΠΟΔΕΙΞΙΣ ΙΣΤΟΡΙΩΝ ΤΟ ΤΕΤΑΡΤΟΝ.

LAONICI CHALCOCONDYLAE

ATHENIENSIS

HISTORIARUM

DE ORIGINE AC REBUS GESTIS TURCORUM

LIBER QUARTUS.

Μετὰ μὲν οὖν τὴν Τεμήρεω ἀναχώρησιν ἐπὶ Χερίης Ἰησοῦς P. 90
ὁ πρεσβύτερος τῶν Παιαζήτεω παίδων τήν τε βασιλείαν κατέ- V. 71
σχε, συλλέξας τούς τε ἀρίστους τῶν θυρῶν τοῦ πατρός, καὶ νεήλυδας προσαγόμενος ὅσους δὴ ἠδύνατο. τῷ γὰρ δὴ Παιαζήτῃ ἐγένοντο παῖδες οἵδε, Ἰησοῦς τε καὶ Μουσουλμάνης καὶ Μωσῆς καὶ Μεχμέτης καὶ Ἰησοῦς ὁ νεώτερος καὶ Μουσταφᾶς. Ἰησοῦς μὲν αὐτίκα μετὰ τὴν Τεμήρεω ἀναχώρησιν ἐν τῇ Ἀσίᾳ γενόμενος, ἔχων τούς τε νεήλυδας μετ' αὐτοῦ καὶ

Post Temiris in Cheriam profectionem, Iesus (qui et Iosua) filiorum Paiazitis natu maximus, conciliatis sibi proceribus regni qui in patris ianuis meruerant, acceitis etiam quotquot potuit peregrinis; regnum occupavit. nam Paiaziti nati sunt filii Iesus, Mulsumanes (qui et Musulmanes), Moses, Mechmetes, Iesus minor et Mustaphas. Iesus igitur ubi primum in Asiam venerat, post Temiris discessum in Cheriam ducens secum peregrinorum cohortes et optimos quosque, qui Temi-

τῶν ἀρίστων ὅσοι διέφυγον βασιλέα Τεμήρη, τά τε Προύσης βασίλεια ἔσχε, καὶ τὴν ἄλλην τῆς Ἀσίας ἀρχὴν ἑαυτῷ ὑπαγόμενος τάς τε ἀρχὰς διένειμε, καὶ ἐς τὴν Εὐρώπην διαβὰς P. 91 τήν τε βασιλείαν κατέσχεν Ἑλλήνων ἐπὶ τὰ Εὐρώπης βασίλεια ὄντων. καὶ ἄρχοντα δὲ ἐφίστησιν ἐν τῇ Εὐρώπῃ, ᾗ δὴ αὐτῷ ἐπιτηδείως ἔχειν ἐφαίνετο. Μουσουλμάνης μὲν οὖν ὁρμώμενος ἀπὸ Βυζαντίου συνίστατο ἐπὶ τὸν Ἰησοῦν, καὶ τὰ πολέμια γενόμενος ἀνὴρ ἀγαθός, καὶ ἐπ' αὐτὸν προσγενομένων τῶν τῆς Εὐρώπης ἀρίστων καὶ νεηλύδων, ὅσοι τε αὐτοῦ ἐνῴκουν, ἐπῄει τε διὰ τῆς Εὐρώπης ἐπεξελθὼν καὶ ὑπαγόμενος ταύτην ἑαυτῷ, ἀπόντος τοῦ Ἰησοῦ ἐς τὴν Ἀσίαν καὶ διατρίβοντος. μετὰ δὲ ταῦτα ἐς τὴν Ἀσίαν διαβάς, ἔχων τὸ ἀπὸ τῆς Εὐρώπης στράτευμα, ἐστρατεύετο ἐπὶ Ἰησοῦν τὸν ἀδελφὸν B διατρίβοντα περὶ Καππαδοκίαν, ἐπεὶ συνεμάχουν οἱ τοῦ Σινωπίου ἡγεμόνες αὐτῷ καὶ οἱ τῆς συμμαχίας λοιποὶ τῶν τυράννων. συμβαλὼν δὲ αὐτοῦ ταύτῃ τῷ ἀδελφῷ καὶ τρεψάμενος πολλά τε τοῦ στρατεύματος αὐτοῦ ἐν τῇ μάχῃ διέφθειρε, καὶ δὴ Ἰησοῦν ζωγρήσας διεχρήσατο βασιλεύσαντα ἔτη τέσσαρα.

Οὗτος μὲν δὴ οὕτω καθαιρεθεὶς ὑπὸ Μουσουλμάνεω ἐτελεύτησεν· ὡς δὲ Μουσουλμάνης ἐς τὴν βασιλείαν κατέστη καὶ ἐβασίλευε, Μωσῆς μεμεθειμένος καὶ ἀφεθεὶς ὑπὸ

5. ὄντων om T

ris evaserant manus, Prusam regni sedem invasit et obtinuit. Asiam universam, quae in potestatem venerat magistratus, muniis firmavit; et in Europam transgressus brevi cum Graecorum regno etiam Europae imperium nactus est. Europae vero ducem dedit, qui sibi ad eam rem videbatur aptissimus. Mulsumanes cum exercitu egressus Byzantio bellum indicit Iesu sive Iosuae. cum autem Mulsumanes bellicarum rerum peritissimus longe haberetur, et ad ipsum advolarent ex Europa optimi quique et peregrini, qui ibi sedes habebant, proficiscebatur per Europam universam peragrans et in dicionem accipiens, Iesu absente et moras in Asia nectente. his ita gestis transvectus in Asiam, munitus exercitu quem in Europa conscripserat, hostili animo pergit contra fratrem suum Iesum, sub idem tempus in Cappadocia agentem, quia Sinopenses principes auxiliabantur ei, et reliqui principum socii subsidio veniebant. collatis autem eo loci signis, pugnans cum fratre et eum in fugam coniiciens, maximam exercitus partem in praelio statuit. Iesus vero vivus in manus venit. quem, cum regno praefuisset annis quattuor, trucidavit.

Is igitur a Mulsumane peremptus in hunc modum mortem obiit. ut primum Mulsumanes regnare coepit, Moses, qui dimissus erat a rege

Τεμήρεω βασιλέως ἐκομίζετο ἐπὶ τὴν πατρῴαν χώραν καὶ ἐπὶ θαλάττης. ἀφικόμενος δὲ ἐπὶ τοὺς Ὁμούρεω παῖδας τοὺς C *Μουσουλμάνεω πολεμίους διὰ τὴν πρὸς τὸν Ἰησοῦν αὐτῶν συμμαχίαν, ἐπὶ Σινώπην τε καὶ Καστάμονα, καὶ ἐντεῦθεν ἐπὶ Δακίαν διαβὰς διὰ τοῦ Εὐξείνου πόντου καὶ ἐπὶ Μύρξαν* V. 72 *τὸν Δακίας ἡγεμόνα, αὐτῷ τε διελέχθη τά τε ἄλλα, καὶ ὡς ἢν ἐπὶ τὴν βασιλείαν συνεπιλάβηται, δοῦναι αὐτῷ πρόσοδον ἐν τῇ Εὐρώπῃ καὶ χώραν οὐκ ὀλίγην. πρός τε γὰρ Ἕλληνας πολέμια ἦν αὐτῷ, ἐπεί τε Μύρξεω παῖδα αὐτοῦ ἐν Βυζαντίῳ ὑπεδέξαντο, καὶ ὑπέσχοντο τὴν ἀρχὴν αὐτῷ μετὰ Μουσουλμάνεω ἐπιτηδείου συγκατεργάσεσθαι. οὗτος μὲν οὖν τόν τε Μωϋσῆν ὑπεδέξατο ἄσμενος, καὶ αὐτῷ παρείχετο τήν τε δίαιταν καὶ τὰ ἐπιτήδεια, καὶ τὸν στρατὸν δὲ αὐτῷ ἐδίδου.* D *ἐντεῦθεν δὲ ὡς ἐς τὴν Ἀσίαν Μουσουλμάνης ἀπῆν, ἐπιρρεόντων αὐτῷ τῶν ἀπὸ τῆς Εὐρώπης ὅσοι ἤχθοντο Μουσουλμάνῃ οὐκ εὖ φερόμενοι παρ' αὐτῷ, καὶ ὁρμώμενος λαβών τε τούτους καὶ ἀπὸ Δακῶν στρατὸν ἱκανόν, ἐπισπομένου αὐτῷ καὶ Τάνου τοῦ Δακῶν ἡγεμόνος, τήν τε Εὐρώπην κατέσχε, καὶ ἐπὶ τὰ βασίλεια τῆς Ἀδριανοῦ πόλεως παριὼν καθειστήκει τε βασιλεύς, καὶ ἐπὶ τὸν ἀδελφὸν ἐς τὴν Ἀσίαν παρεσκευάζετο στρατεύεσθαι. Μουσουλμάνης δὲ ἠπείγετο καὶ αὐτὸς*

9. *ἐπί* P

Temire, mari advehebatur ad patriam regionem. adveniens autem ad Homiris filios, Mulsumanis hostes, quia socia arma contulerant cum Iesu, accedens quoque Sinopen et Castamonem, et hinc in Daciam transmisso Euxino ponto perveniens, ad colloquium cum Myrxa Daciae (quae et Servia) praefecto venit. inter caetera vero talis erat Mosis petitio: si eius auxilio adiutus rex crearetur, se daturum ei reditus magnos in Europa et assignaturum regionem non modicam. erat enim Graecorum hostis. praeterea Byzantii filium Myrxae susceperunt, promiseruntque se huic et Mulsumani regnum tradituros. Myrxas quidem Mosen benigne lubentique animo excipiebat, eique victum et necessaria promptissime suppeditabat; eidem exercitum dedit. cum autem undique ad hunc confluerent ex Europa quotquot infensi erant Mulsumani (aberat enim in Asia agens), quia non satis digne ab ipso tractarentur, expeditionem sumpsit contra fratrem, assumptis quotquot convenerant. habuit et Dacorum exercitum magnum, cum prius Tainum eorum ducem sibi conciliasset. his copiis instructus Europam subegit; et Adrianopolim, quae regni sedes est, profectus ibi rex declaratus est. huic animus erat etiam contra fratrem in Asiam exercitus movere. Mulsumanes haud interim socordiae obnoxius erat, verum festinabat et ipse, ut fratrem praeveniret, traiiciendo copias in Asiam. hoc unum videbatur utrique consultis-

P. 92 φθῆναι πρότερος ἐς τὴν Ἀσίαν διαβάς· διέγνω γὰρ καὶ ἀμφοῖν ἄμεινον καὶ πρὸς τοῦ ἑτέρου εἶναι, ὁπότερος ἂν ἐπὶ τὴν τοῦ ἑτέρου ἀρχὴν διαβὰς τὴν μάχην ποιήσαιτο αὐτοῦ καὶ μὴ ἐπιμείνῃ τὸν ἀδελφὸν ἐπιόντα. διαβάς τε ἐπὶ τὸ Βυζάντιον, ὥστε αὐτῷ φίλια εἶναι πρὸς τὸν Βυζαντίου βασιλέα, ἄγεται τὴν [βασιλέως υἱιδοῦν] Ἰαννύου τοῦ Ντόρια θυγατέρα, υἱιδοῦν δὲ τοῦ βασιλέως Ἑλλήνων. ἀγόμενος Μουσουλμάνης ὁ Παιαζήτεω παῖς, καὶ ἐς Βυζάντιον διαβὰς ἐστρατεύετο ἐπὶ τὸν ἀδελφόν. Μωσῆς δὲ ὡς τάχιστα ἐπύθετο παρὰ βασιλέως Ἑλλήνων καταλύειν ἐν Βυζαντίῳ, αὐτίκα ἐπήλαυνε, καὶ ἀπολαβὼν ἐν Βυζαντίῳ οὐκ εἴα ἐς τὴν Εὐρώπην
B ἐξελθόντα ἀναστρέφεσθαι. Μουσουλμάνης μὲν οὖν στρατὸν ὡς ἠδύνατο μέγιστον ἀπὸ τῆς Ἀσίας διαπορθμεύσας ἐπὶ τὴν Βυζαντίου χώραν αὐτοῦ ἐστρατοπεδεύετο, καὶ τόν γε ἀδελφὸν ἐπιόντα ἐπέμεινεν. ἐνταῦθα ὡς ἄμφω ἐς μάχην παρετάξαντο, συνέβαλον καὶ ἐμάχοντο. Μωσῆς μὲν τούς τε Δάκας καὶ Τριβαλλοὺς ἔχων μεθ' ἑαυτοῦ καὶ Στέπανον τὸν Ἐλεαζάρου παῖδα καὶ τὸ ἀπὸ τῆς Εὐρώπης στράτευμα Τούρκων παρετάσσετο. βασιλεὺς μὲν δὴ πρὸς τοῦτον λόγους πέμψας συνεβουλεύετο αὐτῷ ἐν τῇ παρατάξει θαρροῦντα ἰέναι ἐπὶ τὸ Βυζάντιον παρὰ βασιλέα Μωσέως πολὺ ἄμεινόν τε καὶ ἐπιεικέστερον· ἦν γὰρ δὴ Μωσῆς τά τε ἄλλα ἐπαχθὴς ἐς τοὺς

6. Τουντόρια P 7. ταύτην ἀγόμενος? 21. Μωσέα P: corr H ἀμείνονά?

simum, quasi alterius esset victor, qui prior in alterius regionem venisset et praelium commisisset, nec expectaret donec frater accederet. traiiciens itaque Byzantium venit. cum autem ei familiaritas intercessisset cum rege qui ea tempestate Byzantium tenebat, uxorem ducit regis neptem Iannii Tuntoriae filiam, cum antea matrimonium contraxisset cum nepte regis Graecorum Mulsumanes Paiazitis filius. transgressus autem Byzantium bellum fratri inferebat. at Moses ubi accepit a rege Graecorum Mulsumanem Byzantium advenisse, continuo accessit; quem ut ibi deprehendit, exire Byzantio et in Europa versari non permisit. Mulsumanes itaque copias quam potuit maximas traduxit ex Asia in Byzantiorum regionem; castrisque positis fratrem accedentem expectavit. deinde cum acies utrinque instructae stetissent, praelium atrox exoritur. Moses habebat Dacos Triballos et Stepanum Eleazari filium. his in acie iungebantur Turci, qui ex Europa venerant. legationem autem misit ad Stepanum Byzantius rex, suadens ut instructa acie eat ad regem meliorem et aequiorem Mose. Moses enim caetera molestus et intolerandus sociis et in iram praeceps erat. Stepanus exercitu in ordines explicato, ut pactus erat

συμμάχους καὶ ἐς ὀργὴν ταχύς. Στέπανος μὲν οὖν ἐν τῇ C
παρατάξει, ὡς τῷ Ἑλλήνων συνέθετο βασιλεῖ τε καὶ Μου-
σουλμάνῃ, αὐτομολήσαντες ἀφίκοντο ἐπὶ Βυζάντιον· Μωσῆς
δὲ ὡς ἐμάχετο συμμίξας τῷ ἀδελφῷ, τούς τε ἀπὸ τῆς Ἀσίας
ἐτρέψατο καὶ ἐπεξελθὼν ἐδίωκε. Μουσουλμάνης δὲ ὡς ἡτ-
τηθεὶς ἀνεχώρει ἐπὶ Βυζάντιον, ὡς ἐγένετο παρὰ τῇ πόλει,
ἐπιλεξάμενος βουλὴν γενναιοτάτην καὶ ἔχων μεθ' ἑαυτοῦ ὡσεὶ
πεντακοσίους ἄνδρας, ἐπιρρεόντων καὶ ἄλλων τινῶν, ὑποδυό-
μενος τὴν τῆς πόλεως τάφρον, ἔχοντος τοῦ ἀδελφοῦ Μωσέως
ἀμφὶ τὴν δίωξιν καὶ διαφθείροντος σὺν τοῖς ἑαυτοῦ, ὡς ὑπεξ-
έρχοιτο τοὺς πολεμίους ἐπὶ τὸ στρατόπεδον αὐτοῦ ἀφικόμε-
νος, τό τε στρατόπεδον κατελήφθη, καὶ τοὺς ἐπιγινομένους D
ἀπὸ τῆς μάχης, οἳ καταφεύγουσί τε καὶ ἐπανῆεσαν, διέφθειρε.
καὶ ὡς ἐπανήκει τε αὐτὸς Μωσῆς ἐλαύνων ἐπὶ τὸ στρατόπε-
δον ἀπὸ τῆς μάχης, καὶ ἔγνω δὴ κατειλημμένον τὸ στρατό- V. 73
πεδον, αὐτίκα ἐς φυγήν τε αὐτὸς ἐτράπετο καὶ τοῦ στρατεύ-
ματος διέφυγε, καὶ ἄλλῃ ἄλλος, ᾗ ἑκάστῳ προυχώρει. οἱ μέν
τινες καὶ ἐπ' αὐτὸν αὐτίκα ἰόντες τὸν Μουσουλμάνην ὡς βα-
σιλέα προσεκύνουν, καὶ ἐξελαύνοντι ἐφείποντο.

Μουσουλμάνης μὲν δὴ οὕτω τὰ πράγματα ἔσχεν ἀμφὶ 1406
ταῖν ἠπείροιν, γενναιότατα δὴ πάντων ὧν ἡμεῖς ἴσμεν πρὸς
τὸν ἀδελφὸν διαγωνισάμενος. ἐπελάσας μὲν οὖν ἐς τὴν Ἀδρια-

17. προσεχώρει P 21. δὲ P

cum Graecorum rege et Mulsumane, turpiter transfugit Byzantium. Moses cum occiperet praelium adversus fratrem, Asianum exercitum in fugam compulit fugientemque persecutus est. Mulsumanes se victum simulans retroferebat gradum, Byzantium festinans. cum autem venisset ad urbem, consilium cepit multo generosissimum. nam habens secum viros circiter quingentos, concurrentibus etiam aliis quibusdam, urbis fossam ingressus est. fratre autem occupato persecutione et caede hostium, in eius castra irruere statuit; quod et fecit, castrisque potitus est. eos qui praelio non interfuerant aut fuga in castra se receperant, occidit omnes. deinde cum a persecutione hostiumque caede reversus Moses procederet ad castra, cognovit ea capta esse. illico igitur fuga sibi consuluit, exercitumque deseruit. alius autem alio, ubi se tutissimum fore iudicabat, sedulo diffugiebat. quidam continuo ad ipsum properabant Mulsumanem, eumque ut regem adorabant; et quocunque pergeret, sequebantur.

In hunc modum se res Mulsumanis habebant in continente, cum fortissime omnium, quos sciam, adversus fratrem suum dimicasset. profectus hinc Adrianopolim regni sedem, regnum imperiumque ordi-

Redeo nunc ad Venetorum urbem, quae utramque fortunam experta est. Veneti igitur elegerunt ad id bellum gerendum duces rei militaris peritia insignes, ut supra docui, inter quos Carminiolam impensius faventem rebus ducis Mediolani captum necarunt, quia eum sibi insidias struere cognitum habebant. Sphortiam accitum in locum interfecti ducem substituere. manifestum arbitror esse omnibus, Venetos praeclaris facinoribus ubique editis, mille annis usos prospero rerum successu, plurimum gloriae per universam Italiam apud omnes

C αὐτῇ τὰ κατὰ τὴν ἀρχήν, ὡς ἐλάχιστα ἐσφάλλετο ὑπὸ τῶν πολιτῶν, τῇδέ πῃ ἂν κατάδηλος γένοιτο ἡ τῆς πόλεως διοίκησις, ὡς ἐν βραχεῖ διασημῆναι. ἦν γὰρ αὕτη ἡ πόλις τὸ παλαιὸν δημοκρατία, καὶ ὑπὸ δήμοις τε ἅμα ἐν ταῖς ἀρχαῖς αὐτῶν, ἃς ᾑρεῖτο, τὴν πόλιν, ᾗ ἐδόκει καλῶς ἔχειν σφίσι, διῴκουν. μετὰ δὲ ταῦτα, ὡς ἐπὶ τὰ ἔργα σφῶν οἱ δημόται ἐτρέποντο, καὶ οὐκέτι σχολὴν ἦγον ὥστε ἐπὶ τὴν διοίκησιν λόγον ποιεῖσθαι ὡς ἑκάστοτε ἀναγκάζοι βουλεύεσθαι ὁ χρόνος, ἐπιλεξάμενοι τοὺς ἀρίστους, εἴτε τύχῃ τινὶ εἴτε δὴ καὶ ψήφῳ ἑλόμενοι, οὕτω περὶ τούτου ἐς ἀριστοκρατίαν τὸ παράπαν ἐτράπη, καὶ τὸ ἀπὸ τοῦδε εἰσέτι καὶ νῦν ἀσφαλῶς διῳκημένη ἐπὶ μέγα δυνάμεως ἐχώρησε. διοικεῖται δὲ κατὰ τάδε.

D Ἔστιν ἡ μεγάλη βουλὴ καλουμένη αὐτοῖς, ἐν ᾗ ἐπὶ ἡμέρας ὀκτὼ σχολὴν ἄγουσιν. ἐν ταύτῃ δὴ τῇ βουλῇ τάς τε ἀρχὰς τῶν πόλεων αἱροῦνται, ψήφους τιθέμενοι, καὶ τὰς ἐν τῇ πόλει αὐτῇ ἀρχάς, ὅπῃ ἂν καθιστῶνται. νομίζεται δὲ ἐξεῖναι, ὃς ἂν ἔτη τέσσαρα καὶ εἴκοσι γεγονὼς εἴη, εἰσιέναι ἐς ταύτην τὴν βουλήν, ἣν αὐτῷ τὴν ἀρχὴν συνεχωρήθη γε εἰσιέναι, κἂν συγκλητικὸς ᾖ. εἴησαν δ' ἂν οὗτοι ἀμφὶ τοὺς δισχιλίους, οἱ τάς τε ψήφους τιθέμενοι καὶ τὰς ἀρχὰς ξυμπάσης ἤδη τῆς ἀρχῆς αἱρούμενοι. ἡγεμὼν δὲ τούτων ἐστὶν ὃν ἂν ἕλωνται, τὸν παρ' αὐτοῖς κράτιστον δοκοῦντα γενέσθαι.

17. ὃς ἂν] ὡς ἐν P

tenuisse. quod autem civitatem suam ita regnaverint, ut inviolata et intacta a seditionibus fuerit semper, decens totius urbis administratio, quam brevibus nunc describam, in causa fuit. olim democratia istam civitatem gubernabat, populusque simul cum his qui in magistratu positi erant, qua sibi consultissimum videbatur, civitatem moderabantur. postea cum ad opera populares singuli avocarentur, nec otium amplius, quando ita res monuisset, in unum conveniendi et consultandi superesset, optimos quosque isti curae praefecerunt, vel sorti vel suffragio electionem committentes. in hunc modum rei publicae forma ex democratia in aristocratiam mutata est. ex eo inde tempore civitas illa pulchre administrata maximam sibi potentiam peperit.

Habent senatum, quem magnum vocant, in quo singulis octo diebus consultant. hic senatus oppidis suffragio intercedente principes statuit. etiam urbis magistratus idem senatus decernit. lege autem sancitur, in hunc senatum licere ei ingredi qui natus sit annos viginti quattuor, et senator is sive patricius sit, nec aliqua causa extet quae ab senatu eum excludat. sunt autem viri bis mille, qui calculos ferunt et universi imperii magistratus eligunt. ducem sive principem sibi eum constituunt qui apud

φέρει δὲ οὗτος δύο ψήφους, τιθέμενος ᾗ ἂν βούλοιτο προστίθεσθαι. P. 104 μένει δ' οὗτος ἡγεμὼν τιμώμενός τε τὰ πρῶτα ὑπὸ τῶν συγκλητικῶν καὶ ἐν τοῖς βασιλείοις ἐπιμένων, ἔχων τήν τε δαπάνην ὑπὸ τῶν τῆς πόλεως προεστηκότων. πάρεισι δ' αὐτῷ βουληφόροι ἄνδρες ἓξ τὸν ἀριθμόν, ἑταῖροί τε αὐτῷ ὄντες καὶ τὴν τιμὴν τῆς ἡγεμονίας συγκατεργαζόμενοι, ἐπὶ μῆνας ἓξ ἀπαλλαττόμενοι τῆς σφῶν οὗτοι ἀρχῆς. μετὰ δὲ τὴν μεγάλην βουλὴν ἔστιν ἡ βουλὴ γερουσία κλητῶν καλουμένη, ἀμφὶ τοὺς τριακοσίους. αἱροῦνται δὴ τούτους ἤδη καὶ τὰς λοιπὰς ἀρχὰς ἐν τῇ μεγάλῃ βουλῇ, ἐπιλεξάμενοι τοὺς τάμεινω φρονοῦντας. κἂν ταύτῃ δὴ τῇ τῶν κλητῶν ἐπονομαζομένῃ B βουλῇ περί τε πολέμων καὶ εἰρήνης βουλεύονται καὶ V. 82 πρεσβειῶν, ὅ τι ἂν ᾖ δεδογμένον τούτοις, πείθεσθαι αὐτίκα τὴν πόλιν, καὶ ἐς ὅ τι ἂν δόξῃ ταύτῃ τῇ βουλῇ, ξύμπασαν τὴν πόλιν ἰέναι. ἐπὶ δὲ τοῖς τῶν ὅλων ἐγκλήμασιν ἐφεστᾶσιν ἄρχοντες δέκα, οἵ τινες τά τε ἐγκλήματα καὶ τὰς ποινὰς ἐπιφέρουσιν ἑνὶ ἑκάστῳ. ἔξεστι δὲ τούτοις τόν τε ἡγεμόνα λαβόντας θανάτου ἀπάγεσθαι, ὑπὸ μηδεμιᾶς τῶν ἀρχῶν ἀπαιτουμένους τὴν αἰτίαν τῆς δίκης. διαιτεῖται γὰρ οὕτως, καὶ καθίστανται ἤδη ξυμπάσης τῆς πόλεως ἐς τὰς εὐθύνας τῶν ὁτιοῦν περί τινα ἐξαμαρτόντων ἢ περὶ τὴν πόλιν ἢ ἐς ἀλλήλους· ἄγονται δὲ θανάτου ὅντινα ἂν ὑπόδικον εὕρωσι. κα- C

5. ἕτεροι P 18. θάνατον P 19. διαιτηταὶ γάρ. οὗτοι?

eos ex omni numero optimus habetur. hic duos ponit calculos, quos cuicunque voluerit parti addere potest. princeps ille manet in primis a senatoribus honoratus. is in regali aula habitans victum habet: sumptus quos facit, ab his qui universae civitati praesident, capit. adsunt ei viri consiliarii sex, socii eius existentes, et in partem curarum principatus adhibentur; qui mensibus senis evolutis dignitatem deponunt. post senatum magnum alius senatus est, qui evocatorum dicitur, qui viris constat trecentis. hunc senatum creant in magno senatu, allegentes qui prudentia praestare videntur. senatus autem evocatorum de bello et pace legationibusque consultat. et ei, quodcunque visum fuerit isti senatui, civitas tota paret; et in sententiam, quam dederit, manibus pedibusque universa civitas vadit. criminibus capitalibus viros praefecere decem, qui accusent et puniant. his licet manus principi iniicere et ad necem trahere; nec est qui ausit eius causam inquirere. sic enim ordinatum est; et creantur ut delinquentes feriant. sive in civitatem sive in privatum quis quid commiserit, decem viri si cognoverint, de eo supplicium sumunt. sunt et alii iudices, qui in reliquis ius dicunt, quidam urbani, quidam peregrini. his praeposuerunt magistratum quadraginta

θίστανται δὲ καὶ ἐς τὰς ἄλλας δίκας δικασταί, τῶν τε ἐπιχωρίων ἄλλοι καὶ ἐς τοὺς ξένους ἄλλοι. ἐπὶ τούτοις ἐφιστᾶσιν ἄρχοντας τεσσαράκοντα, ἐς οὓς ἐπειδὰν αἱ δίκαι ἀνενεχθῶσιν, εὐθύνουσι τὰς ψήφους ἐς τὸ σφίσιν ὡς κράτιστα ἔχειν δοκοῦν. ἢν δὲ μὴ συμφέρωνται ἐς τὴν δίκην, ἐπὶ τὴν τῶν κλητῶν βουλὴν ἀναφέρεται, κἀκεῖ πολυπραγμονεῖται καὶ τὴν ἀπόβασιν ἴσχει. εἰσὶ μὲν οὖν καὶ ἄλλαι ἀρχαὶ οὐκ ὀλίγαι τῆς πόλεως, φυλακῆς τε πέρι καθήκεσαν, καὶ ἐς τοὺς νυκτὸς ἀστασίαν τινὰ ἐς τὴν πόλιν πράσσοντας. καὶ ἀγορα- D νόμοι ἕτεροι καθίστανται, τοὺς φόρους τῶν ἐπί τινι πραγμάτων καὶ ἐς τὰς προσόδους τῆς πόλεως ἀπαιτήσεις, οἱ δὴ τὰς προσόδους πράττοντες καθιστάμενοι, ἐφ' οὓς δὴ τὰ τῆς ξυμπάσης πόλεως χρήματα καὶ οἱ φόροι ἀναφέρονται. ἄρχοντες δὲ οἱ γεραιότεροί τε καὶ ἀξιώματι προέχειν δοκοῦντες καθίστανται διὰ βίου ὡς ἐργῶδες ὂν κατ' ἐνιαυτὸν λογίζεσθαι τὰς προσόδους τε καὶ ἐξόδους τῆς πόλεως, ὅ τι ἂν ἀπογένοιτό τε καὶ περιγένοιτο αὐτῶν τῶν χρημάτων. ἀπὸ μὲν οὖν τούτων αἱροῦνται σφίσιν ἡγεμόνα, ἐπειδὰν σφίσι τελευτήσῃ. ἐς τὰ πρῶτα τιμῆς ἀνήκουσιν ἐς ταύτην τὴν πολιτείαν· τούς τε γὰρ θησαυροὺς καὶ τὰς προσόδους ἐφορῶσιν οὗτοι καὶ ἐπιτροπεύ- P. 105 ουσι. χρηματίζουσι δὲ σφίσιν ἐς τὴν ἀρχὴν αὐτῶν, σὺν τῷ ἡγεμόνι παραγενόμενοι ἔστε ἀκρόασιν πρέσβεων καὶ τῶν με-

4. ὡς] ἐπὶ τὸ ὡς P 8. καθ' ἡμέραν? an καθ' ἑκάστην?

virorum, ad quos sententias super puniendis sontibus transmittant, ut dispiciant num et ipsis sententiae optime habere videantur. si sententiae displicuerint et ipsi inter se dissenserint, negotium totum ad evocatorum senatum refertur. hic sententiae multa diligentia excutiuntur et tandem ad fidem ducuntur. sunt et alii magistratus plurimi in custodiam urbis comparati. sunt quibus negotium civitatis commissum est in eos qui defectionem aliquam sive tumultum noctu concitant. sunt et rerum venalium atque adeo totius fori praesides. alii praesident vectigalibus rerum, alii sunt tributorum et civitatis redituum exactores. quidam praepositi sunt vectigalibus et reditibus, ad quos universae civitatis opes adhibitis observatoribus deferuntur. magistratus hic constat viris aetate et honoribus gravissimis, qui per universam vitam istum magistratum retinent, quia difficile videtur accepta et expensa civitatis, quid expendatur et quid supersit, quotannis computare et singula in rationes referre. ex his sibi ducem capiunt, quando is qui rerum potitur mortuus fuerit. qui ad primum dignitatis locum evecti fuerint, ad istum tandem honorem promoventur. thesauros atque totius urbis opes et reditus inspiciunt et tutantur. eorum officium est, ubi magistratum hunc inierint, consul-

γάλων εἴτε βασιλέων εἴτε καὶ ἡγεμόνων ἀναφοράς. καὶ ἄνδρες οὗτοι ἡ τῆς πόλεως ὅλη ἐξουσία, ὀνομάζεται δὲ καὶ ἡγεμονία.

Προέχει δὲ αὕτη ἡ πόλις δυοῖν τῶν ἐν τῇ Ἰταλίᾳ πόλεων, οἰκιῶν τε εὐπρεπείᾳ καὶ κατασκευῇ τῶν ἐπὶ τῆς θαλάσσης οἰκοδομημάτων, ὡς τὸ ἐπίπαν τῆς πόλεως, καὶ πλούτῳ τῶν ἐν τῇ πόλει ἐνοικούντων, ἅτε τῆς πόλεως ἐπὶ ἐμπορίαν ἐπιτηδείως ἐχούσης ὡς μάλιστα καὶ χρήματα εὐπετῶς ποριζομένης. κεκόσμηται δὲ ἡ πόλις αὕτη τά τε ἄλλα, καὶ ἐπινείῳ ἐντὸς τῆς πόλεως ᾠκοδομημένῳ, καλλίστῳ τε ἰδεῖν B καὶ εὐπρεπεστάτῳ, ταῖς τριήρεσιν ἐξηρτυμένῳ ὡς πλείσταις καὶ πλοίοις ἄλλοις παμπόλλοις, καὶ τῇ σκευῇ τούτων ἀφθόνως τε ἐχούσῃ αὐτοῦ, ἀπό τε ὅπλων καὶ ἄλλων ὅσα ἐς χρείαν φέρει ταῖς ναυσί. διήκει δὲ ἐπὶ πέντε σταδίους, καὶ ἄνδρες ὡς πλεῖστοι ἐργαζόμενοι αὐτοῦ καθ' ἑκάστην ἐς τὰς ναῦς. ἄρχοντας δὲ αἱροῦνται τοῦ ἐνιαυτοῦ δύο ἐς τὸ ἐπίνειον τοῦτο καὶ ἐς ξύμπασαν τὴν κατασκευήν. ἵπποις δὲ οὐδέν τι χρῆται ἡ πόλις αὕτη, ἀλλὰ πεζῇ τε ἐπ' ἀλλήλους φοιτῶσι καὶ πλοιαρίοις, τῇ μὲν τῆς θαλάσσης διὰ τῶν οἰκιῶν διηκούσης, τῇ δὲ καὶ αὐτῶν κατεστρωμένων πλίνθοις ἁπανταχῇ τῆς πόλεως. τείχει δὲ οὐδὲν περιβέβληται ἡ πόλις.

Τὰς μέντοι ἀρχὰς τῶν σφετέρων πόλεων ἔστε τὴν ἤπει- C

5. τῶν ἐπὶ] ἐπὶ τῶν P 10. κάλλιστα P 11. ἐξηρτημένῳ P

tationibus cum principe vacare, et cum eodem legationes principum regumque relationes audire. potestas totius civitatis penes hos est; et revera principatum gubernant.

Civitas ista duobus omnes Italiae urbes antecedit, videlicet domorum magnificentia, et aedificiorum quae in mari aedificata sunt apparatu. excellit et opulentia, quae penes cives est: nam cum sit mercaturae et negotiationibus idonea, fit ut incolae plurimas hinc colligant opes. exornata est eadem urbs pulchra navium statione, quae intra urbem sita est, pulcherrima et amoenissima visu, instructa triremibus navibusque aliis plurimis. copiosus ibi est apparatus in promptu armamentorum et aliorum quae naves postulant. spatium occupat quinque stadiorum. viri complures quotidie huc commeant, operantes sedulo ut quae ad naves pertinent non desint. quotannis viros duos eligunt primarios, qui stationi illi praeficiuntur, ut ea quae ad ipsam spectant sedulo procurent. equorum nullus in ista urbe usus. pedestri itinere utuntur in congressibus mutuis. navigiorum usus apud eos frequens est, cum mare transeat per domos. praeterea urbs tota tegulis integitur, nec ullis moenibus cingitur.

Magistratus quos urbibus in Italiae continente et in maritima

V. 83 ρον τῆς Ἰταλίας καὶ ἐς τὴν παράλιον χώραν αὐτῶν, διὰ τέλους δὲ ὡς ἐπὶ τὸ πολὺ αἱροῦνται. ἐπειδὰν δὲ ἐπανίωσιν ἐς τὴν πόλιν, ἤν τι μὴ ὀρθῶς πεπραγμένον ᾖ αὐτῷ τάς τε εὐθύνας δίδωσι καὶ δίκην ἐφ' οἷς μὴ καλῶς πεπολιτευμένα τυγχάνει αὐτῷ. καὶ αἱροῦνται μὲν οὗτοι στρατηγὸν σφίσιν οὐκ ἐπιχώριον ἐς τὰ στρατεύματα τῆς ἠπείρου, δεδιότες μὴ προσαγόμενοι τοὺς στρατιώτας περὶ τὴν ἀρχὴν νεωτερίσωσι καὶ κινδυνεύσῃ αὐτοῖς διαφθαρῆναι τὰ πράγματα. ἐς μέντοι τὴν ἀρχὴν τῆς θαλάσσης οὐκ ἔχοντες ὅπως ἐπάγωνται ἀλλοτρίους, D καθιστᾶσί τε ἐκ τῶν ἐπιχωρίων αὐτοκράτορας, ἐπειδὰν πολεμεῖν ἐξέρχωνται, καὶ ἰδίᾳ κατ' ἐνιαυτὸν τὰς δέκα τριήρεις, ἃς ἐπιπέμπουσιν ἔτους ἑκάστου ἔστε τὸν Ἰόνιον καὶ ἐς τὸ Αἰγαῖον τῶν νεῶν αὐτῶν αἳ ἐπὶ ἐμπορίαν ἀφικνοῦνται ἐπὶ Αἴγυπτον καὶ Λιβύην καὶ ὠκεανὸν καὶ Εὔξεινον πόντον. καὶ καθαιροῦντες τὸ ληστρικόν, ὅποι ἂν περιτύχωσιν, αἱ δέκα αὗται τριήρεις διατρίβουσιν ὅλον ἐνιαυτόν, ἐς ὅπερ αἱ δέκα ἀφικνούμεναι ἀπαλλάττουσι ταύτας τῆς φυλακῆς. ἐπιπέμπουσι δὲ καὶ τριήρεις ἐπὶ ἐμπορίαν ἡ πόλις, ἐξωνουμένων τῶν πολιτῶν ταύτας, ἔστε Ἀλεξάνδρειαν καὶ Συρίαν καὶ Τάναϊν καὶ ἐς τὰς Βρετανικὰς νήσους καὶ ἐς τὴν Λιβύην. εἴησαν δ' ἂν αἱ τριήρεις αὗται δύο καὶ εἴκοσι μείζους τῶν ἄλ- P. 106 λων τριήρεων, ἅ τε ἐπὶ ἐμπορίαν κατεσκευασμέναι. νομίζεται δ' αὐτοῖς ἐφ' ἑκάστης νεὼς καὶ παῖδας συγκλητικῶν ἀν-

11. τὰς] ἐς τάς? 13. τῶν] φυλακῆς ἕνεκα τῶν? 23. αὐτῆς P

ipsorum regione sitis decernunt, plerumque ex iis qui in magistratu sunt constituunt. ubi hi reversi fuerint, poenas dant eorum quae inique in magistratu collocati egerunt. ducem quem exercitibus continentis proponunt, non indigenam aut civem creant, veriti ne conciliatis militum animis innovationem aliquam moliatur contra principatum, rerumque summa in periculum veniat. navalibus copiis cum non possint dare imperatorem peregrinum, unum de suo corpore deligunt, qui navalia praelia capessat, cum ad belligerandum prodeunt. separatim quotannis decem triremes mittunt in Ionium et Aegaeum mare, propter naves quae in Aegyptum et in Libyam mercium gratia proficiscuntur per Oceanum et Euxinum mare. mare hoc repurgant a piratis, quos arcentes ubicunque in eos inciderint, foris morantur per integrum annum, expectantes donec decem aliae submittantur. quae si venerint, liberatae priores maris custodia domum remeant. civitas ista mittit triremes, quas cives emunt, petitum merces, in Alexandriam, Syriam, Tanaim, Britannicas insulas et in Africam. hae sunt numero viginti duae, quae magnitudine differunt a reliquis, ut

δρῶν ἐπὶ τὴν ἐμπορίαν ἀφικνεῖσθαι, μεμισθωμένους καὶ τούτους σὺν τῇ νηὶ ἐπὶ τὴν ἐμπορίαν.

Ἐξεύρηται μὲν οὖν τούτοις τοῖς Οὐενετοῖς πρὸς τὸν Λιγυρίας τύραννον διαπολεμοῦσι χρήματα τῇ τε ἄλλῃ καὶ δὴ τῶν πολιτῶν ἑκάστου τῆς οὐσίας ὁ δεκατισμός, πρὸς οὓς δὴ τάττει ἡ πόλις ἐτήσιον πρόσοδον οἷα τοῦ χρέους ἀπόδοσιν. καὶ ἅττα δ' ἂν ἐπαγγέλῃ λαμβάνειν τοὺς πολίτας, τρία δὴ ἕκαστον ἐπαγγέλλει ἀποδιδόναι ἔτους ἑκάστου. οὐκ ἔστιν ὅτε ἐπὶ τοὺς παῖδάς τε καὶ ἐγγόνους οὐκ ἀφικνεῖται ἡ τοιαύτη πρόσοδος. ἐξωνοῦνται μὲν ἔνιοι ταύτας ὀλίγου τινὸς παρὰ B τῶν ἐνδεῶς τοῦ βίου σφίσιν ἐχόντων, καὶ εὐδαιμονοῦσι.

Δοκεῖ δὲ ἡ πόλις αὕτη Οὐενετῶν ἀπὸ παλαιοῦ εὐνομουμένη μηδένα φθῆναι ἐπὶ νεωτερισμὸν ἀφικέσθαι, πλὴν δὴ Βαϊμοῦνδον νεανίαν, ὀλβιώτατον δοκοῦντα γενέσθαι, ἀνακτώμενον τὸ πλῆθος ἐπὶ τοῦτο ὡρμῆσθαι· ἀπὸ οἰκίας δέ τινος βληθέντα ὑπὸ γυναικὸς ἄνωθεν, ἐν τῇ ὁδῷ προϊόντα ἐπὶ τα βασίλεια ἑπισπομένου αὐτῷ τοῦ πλήθους καὶ δεσπότην σφῶν καὶ τῆς πόλεως ἀποδεικνυμένου, καὶ ταύτῃ βληθέντα λίθῳ ἀποθανεῖν. ὕστερον μέντοι οὐδένες ὅ τι καὶ ἄξιον λόγου ἐς νεωτερισμὸν περὶ τὴν πόλιν ταύτην ἐξηνέχθησαν, δεινῶς τοῦτο C φυλαττομένης τῆς πόλεως μὴ συμβῆναι αὐτῇ.

12. αὔτη] αὔτη ἀπὸ P

quae ad merces capiendas extructae sint. solent autem, ita enim consuetudo tenet, cum singulis navibus patriciorum filii ad merces comparandas proficisci mercede conducti.

Magnam pecuniae vim Veneti confecerunt, cum bellum gererent adversus Mediolani ducem, bonorum, quae cives possidebant, introducta decimatione. propter hanc civibus annuum, quasi debiti persolutionem, ordinarunt reditum; promittentes, quaecunque contulissent cives in usum belli, eorum tertiam partem singulis annis cives singulos recepturos. hic reditus ad liberos et nepotes redit. quidam hos reditus parvo pretio redimunt ab iis qui pauperem apud ipsos vitam agunt. civitas ista plane felix est.

Haec cum iam a primordio bonis legibus esset fundata, evenit ut nullus repertus sit qui seditionem aliquam, novarum rerum cupidus, in ea excitare conatus sit, praeter Baimundum adolescentem opulentissimum, qui pretio alliciens multitudinem rei publicae statum innovare parabat. in quem prodeuntem ad regiam, stipatum turba hominum maxima, qui eum dominum suum et urbis declarabant, mulier de tecto quodam lapidem iaciens eum trucidavit, atque eo loci seditiosus vitam finiit. deinceps nullus alius, qui idem moliretur, inventus est, cum civitas summa ope, ne id mali contingat, praecavere soleat.

Ὡς μὲν οὖν τῇ πόλει ταύτῃ πόλεμον ἐπαγγείλας Μεχμέτης ὁ Παιαζήτεω παῖς, καὶ τριήρεις ἐπλήρωσαν ἐπὶ ταῖς προφυλακαῖς ἄλλας ἀεὶ καὶ δύο γενομένας, ἔπλεον αὗται εὐθὺ Ἑλλησπόντου, ἡγουμένου Πέτρου τοῦ Λαυρεδάνων οἰκίας, ὃς ὕστερον καὶ τὴν ἐπὶ τοὺς Ἰαννύους στρατηγίαν ἐστρατηγηκῶς εὐδοκίμησεν. οὗτος δὴ οὖν σὺν ταῖς ναυσὶν ἀφικόμενος ἐς τὸν Ἑλλήσποντον ἐπὶ τῆς Καλλιουπόλεως ἀνεκώχευε μετεώρους τὰς ναῦς ἐν τῷ πελάγει, ἑκὼν μὲν οὐχ ὑπάρχων πολέμου· ἐδόκει τε γὰρ εἰρήνη τε εἶναι καὶ τὰς σπονδὰς μὴ D λελύσθαι, καὶ ἀμύνειν μέντοι ἐπηγγέλλετο αὐτῷ, ὑπάρξαι δὲ V. 84 πολέμου μηκέτι. ἐδόκει τε γὰρ καὶ μὴ πολεμεῖν, τῶν πόλεων σφίσι ἐν τῇ τοῦ Μεχμέτεω χώρᾳ ὑπὸ Τούρκων μὴ κακῶς πάσχειν, ἔν τε τῇ πρὸς τὸν Ἰόνιον καὶ ἐν τῷ Αἰγαίῳ πελάγει. τούτῳ μὲν οὖν οὕτω ἐπιτέτακται ὑπὸ τῆς συγκλήτου, ἀμυνόμενον μὲν διαναυμαχῆσαι, ἑκόντα δὲ εἶναι μὴ ὑπάρξαι πολέμου. ὡς δὲ ἀφίκετο ἐς τὸν Ἑλλήσποντον καὶ ἀπὸ τῆς Ἀσίας ἐδρεύοντο αἱ τριήρεις, ὁ τῆς Καλλιουπόλεως ὕπαρχος οὐκέτι ἀνασχετὸν ἐποιεῖτο τοὺς Οὐενετοὺς οὕτω περιφανῶς ὑβρίζειν, ὅτι μὴ τὸν παῖδα τοῦ ἡγεμόνος τοῦ Φουσκαρέων P. 107 οἰκίας φασὶ νεωτερίζοντα ἑαλωκέναι ὑπὸ τῶν τῆς πόλεως

5. ὅς] ἐς P στρατηγίαν καὶ στρατηγικῶς P 8. οὐχ ἐπάρχων P 19. ὅτι μὴ] ὅτε καί? nisi haec de Foscaro narratio subiungenda est iis quae paulo ante de Baimundo sunt tradita.

Mechmetes igitur Paiazitis filius cum bellum Venetis indiceret, triremes, quae semper binae in propugnaculis erant, impleverunt, et recta navigarunt in Hellespontum, duce Petro familiae Lauredanorum, qui in expeditione contra Ianuenses admirabilem claritatem rebus fortiter gestis sibi paraverat. hic ubi cum navibus in Hellespontum advenisset, e regione Calliopolis vela expandens praelium haud volenti animo inire in animum induxerat. pax enim adhuc vigorem suum obtinere, nec dum foedera violata esse videbantur. erat praeterea a senatu illi imperatum ut defenderet potius, nec prior praelium exordiretur. visum enim est Venetis non hostilia facere, ne urbes ipsorum in Mechmetis regione quas habebant, aliquid mali a Turcis paterentur. hae autem sitae erant in regione quae Ionium spectat, et in Aegaeo mari. senatus igitur Venetorum mandatum huiusmodi suo duci dederat, ut non prior arma inferret, nec lacessens, verum lacessitus praelium occiperet. ut venit in Hellespontum, nec multum ab Asia naves starent, Calliopolis dux non amplius ferendos esse dicebat qui ex aperto contumeliis et iniuriis certarent. quod filius ducis e familia Phoscarorum ab decemviris captus in gravissimam necessitatem venisset quasi seditionis auctor et novarum rerum

ἀστυχῶν, καὶ ἐς ἀνάγκας ἀφικόμενον μεγάλας μηδ' ὁτιοῦν εὑρίσκειν ἐν ἑαυτῷ. καὶ τὸν μὲν νεανίαν ἐκπεπτωκέναι διά τήν τε ἑαυτῷ ἐπενεχθεῖσαν αἰτίαν· ὅθεν καὶ εὐφροσύνην εὐπορισάμενον κατελθεῖν. καὶ αὖθις ἁλῶναι διαφθείραντα τὸν ἄνδρα ἐκεῖνον ὃς ἀπῆγεν αὐτὸν προδοσίας. ἐς ἀνάγκας ἰόντα τὸν οὕτως ἐκπεπτωκότα διατρίβειν ἐν Κρήτῃ. ἐπιφερομένης δὲ αὐτὸν αὖθις αἰτίας, ἐπὶ τοῦτο μεταπεμψαμένους τοὺς δέκα τῆς πόλεως πολυπραγμονεῖν, καὶ οὐχ εὑρόντας ἀποπέμψαι τε αὖθις ἐς Κρήτην, καὶ μετ' οὐ πολὺ αὐτοῦ τελευτῆσαι . . . . ἐς τὴν βασιλέως χώραν καὶ ἐς αὐτὸ τὸ ἐπίνειον B αὐτοῦ, καὶ ὡς ἐπλήρου δὲ τὰς ναῦς, ἀντανήγετο καὶ 1416 d. 29 Mai. οὗτος, ἔχων τριήρεις πέντε καὶ εἴκοσι, νῆας δὲ ἄλλας ἀμφὶ τὰς ὀγδοήκοντα, ὡς δεδιττόμενος τοὺς Οὐενετοὺς τῷ βασιλέως ναυτικῷ. οὗτοι μὲν προῄεσαν ἐπὶ Προικόνησον, μετεώρους ἔχοντες τὰς ναῦς αὐτοῖς· ἡ δὲ Πελοποννησία ὑπολέλειπτο ὡς ὕστερον ἀναγομένη. ἐνταῦθα ὡς ἀγχοῦ ἐγένετο τριήρης μία τοῦ βασιλέως, μετεπέμπετο ὁ ἡγεμὼν τῶν Οὐενετῶν σημεῖον ἐπάρας, κελεύων ἕπεσθαι καὶ μὴ ἐμβάλλειν. οἰόμενος δ' ὁ τῆς τριήρους ἄρχων τῆς Πελοποννησίας ὡς κελεύοι ἐμβάλλειν, τὸ σύνθημα οἰόμενός οἱ γενέσθαι ὑπὸ τοῦ στρατηγοῦ, C ἐμβάλλει τε τῇ τοῦ βασιλέως νηὶ καὶ καταδύει. αἱ δὲ λοιπαὶ τῶν βαρβαρικῶν νεῶν ἰδοῦσαι ὡς ὑπῆρκτο πολέμου

1. ἀστυνόμων? 4. εὐπορισάμενοι P 7. αὐτῷ?

appetens: verum quaestione habita nullum invenire crimen potuisse. adolescentem quidem evasisse illatum crimen. ex qua re non mediocris laetitia oborta est; ipseque domum rediit. deinde iterum captus est, cum interfecisset virum qui crimen proditionis ei impegerat. unde in Creta morari coactus est. tandem cum denuo proditionis reus fieret, decemviri civitatis eum accersentes, cum omnia tentarent, nec ullo modo crimen pateret, remissus est in Cretam; nec multo post ibidem vita decessit. dux igitur Calliopolis veniens in regis regionem et in navale eius, naves militibus implevit, et ducens triremes viginti quinque aliasque naves circiter octoginta, regia classe Venetis, quos contra procedebat, terrorem iniicere nitebatur. hi quidem sublatis navium armamentis progressi sunt Periponnesum, nihil metuentes hostem. navis Peloponnesiaca relinquebatur a tergo, quia postremo adducenda erat; quae, cum regia triremis appropinquasset, accersebatur. dux autem Venetorum sublato signo eam sequi nec priorem in hostem incursionem facere iubebat. Peloponnesiacae triremis dux, cum putaret se iussum irruere in hostem et propter eandem rem signum esse datum, impetum in regis navem fecit, eamque demergit. reliquae barbarorum naves cum adverterent a parte adversa

καὶ ἐς μάχην καθίστανται, ἐπείγονται ἐπαμύνειν βουλόμεναι ἐπὶ τὴν Πελοποννησίαν ναῦν. ἐνταῦθα δὴ αἱ λοιπαὶ τῶν Οὐενετῶν τριήρεις κατιδοῦσαι τὸ γεγονός, ὡς ἐπὶ τὴν σφετέραν αἱ βαρβαρικαὶ νῆες ἐπείγονται, ἀντανήγοντο καὶ αὗται ἐπὶ ναυμαχίαν. καὶ ὡς ἐναυμάχουν, διέκπλουν τε ἐποιήσαντο, καὶ καταδύσαντες ναῦς τέ τινας καὶ ζωγρήσαντες τὰς λοιπὰς ἐς τὴν γῆν ἐτρέψαντο καὶ ἐνίκησαν Οὐενετοί, ναῦς λα-
D βόντες τῶν βαρβάρων τρισκαίδεκα, κενὰς δὲ τὰς πλείους· οἱ γὰρ Τοῦρκοι, ὡς ἁλίσκοιτο ἡ ναῦς, ἐς τὴν θάλατταν ἔπιπτον καὶ ἐξένεον ἐπὶ τὴν γῆν. ἐνταῦθα ὡς ἤδη πόλεμον τοῖς Οὐενετοῖς ἀνελομένοις πρὸς βασιλέα Μεχμέτην, τήν τε Λάμψακον πολιορκίᾳ παρεστήσαντο καὶ φυλακὴν ἐγκατέλιπον, καὶ αὐτοὶ ᾤχοντο ἐπ' οἴκου ἀποπλέοντες. ἐνταῦθα μέντοι οἵ τε Οὐενετοὶ τοῦτον τὸν στρατηγόν, ὃς περιεγένετο τοῦ τῶν βαρβάρων στόλου, ἦγοντο θανάτου ὡς πρότερον ὑπάρξαντα ἀδικίας καὶ λελυκότα τὰς σπονδὰς παρὰ τὰ ἐπεσταλμένα αὐτῷ. καὶ ἐν δίκῃ γενόμενος παρὰ δικασταῖς ἀπελύθη μὴ αὐτὸς
P. 108 πρότερος ὑπάρξαι τοῦ πρὸς βάρβαρον πολέμου. μετ' οὐ πολὺν δὲ χρόνον διεπρεσβεύσαντο καὶ σπονδὰς ἐποιήσαντο.

Ἐς τούτους μὲν οὖν οὕτως ἔσχε τῷ βασιλεῖ Μεχμέτῃ·
V. 85 τοῖς δὲ Ἕλλησιν ἐπιτήδειός τε καὶ συνήθης ἠξίου θεραπεύειν ὅτου ἂν δεήσαιντο παρ' ἑαυτῷ δι' αἰτίαν τήνδε. Μουσταφᾶς

occeptum praelium, et ipsae ad praelium se convertebant; festinantque impetum in Peloponnesiacam navem dantes resistere fortiter. Veneti ut viderunt quod parabatur, videlicet classem hostilem incursare in Peloponnesiacam triremem, ipsi quoque ad navale certamen accingebantur. interim dum ferveret praelium, navigabant per omnes hostium naves, quasdam remis ad litus agentes. Veneti in hunc modum victoria potiti sunt, capientes naves barbaricas tredecim, plerasque tamen vacuas: nam Turci ubi senserant naves, in quibus erant, iam capiendas, in mare se abiiciebant et in terram enatabant. eodem tempore cum armis urgerent Veneti Mechmetem, Lampsacum obsidendo in dicionem acceperunt; ibique praesidio relicto domum reversi sunt. Veneti ducem illum qui praelia secunda contra barbaros fecerat, reversum capitis accusabant. crimini dabatur, quod prior praeter ius et aequum, et praeter magistratus imperium, praelium iniisset foederaque fregisset. cum in hunc modum capitis anquireretur, crimine absolutus est ut qui praelium haud prior incepisset. nec tempore multo interposito legationes ultro citroque missae inter utrosque pacem icto foedere sanxerunt.

Mechmetes quidem, quemadmodum accepimus modo, erga Venetos affectus erat. Graecis vero erat perquam familiaris, eosque colere cu-

γάρ τοι ὁ τῶν Παιαζήτεω παίδων, μιμησάμενος Μωσέα τὸν ἀδελφόν, καὶ πρὸς τὸν Σινώπης ἄρχοντα πολέμιον ὄντα τῷ ἀδελφῷ Μεχμέτῃ ἀφικόμενος, καὶ ὅρκια ποιησάμενος ὥστε ξένους εἶναί τε καὶ φίλους ἀλλήλοις, καὶ πρὸς τὸν Δακίας ἡγεμόνα διαπρεσβευσάμενος, ὡς αὐτὸν ἄσμενος ὑπεδέχετο καὶ B *τἆλλα ὑπισχνεῖτο συγκατεργάζεσθαι τὰ ἐς τὴν βασιλείαν, διέβη τε εἰς τὴν Δακίαν Μουσταφᾶς, καὶ χρόνον αὐτόθι διατρίψας συχνόν, ἔχων ἄνδρας τριακοσίους ἔπρασσε πρὸς τοὺς Τούρκων ἀρίστους, μετιὼν ἕκαστον. ὡς δ' οὐδὲν προεχώρει (ἦν γὰρ Μεχμέτης τά τε ἄλλα ἐπιεικὴς καὶ ἐς τὸ θεραπεύειν τοὺς ἀρίστους τῶν Τούρκων οὐκ ἀδόκιμος, τρόπου τε ἡσυχίου, ψευδῆ τε παῖδα ἐνέφηνεν εἶναι τοῦ Παιαζήτεω τὸν Μουσταφᾶν, καὶ ὡς οὐδαμῇ καταφανῆ σχόντες τὴν διατριβὴν αὐτῷ· τὸν δὲ παῖδα τούτου τελευτῆσαι παρ' ἀνδρὶ ἐπιτηδείῳ καὶ τὸν τρόπον δικαιοτάτῳ, ὃς ἀφῖκτο παρ' ἑαυτὸν* C *τὸν θάνατον τοῦ παιδὸς διασημῆναι), ἐνταῦθα Μουσταφᾶς, ὡς οὐδὲν αὐτῷ κατὰ νοῦν ἀπέβαινεν ἀπὸ Δακίας, καὶ οἰόμενος ἑαυτῷ ἄμεινον ἐξεῖναι, ἢν ἐπὶ τοὺς Ἕλληνας ἀφίκηται, ἐν μέσῳ τῆς ἀρχῆς Μεχμέτεω ἱδρυμένος, ἐλαύνει ἀπὸ Δακίας διαμανὴς τῆς Θρᾴκης ἐπὶ τὴν Θέρμην, πόλιν Ἑλληνίδα. καὶ ἐς λόγους ἀφικόμενος τῷ Ἑλλήνων ἄρχοντι εἰσῄει τε εἰς*

13. *σχόντα* H 20. *διὰ μέσης?*

piebat in omnibus quaecunque petiissent, haud gravatim largiendo. familiaritatis autem eius causa, quam nunc dabimus, erat. Mustaphas unus e numero filiorum Paiazitis, imitatus Mosen fratrem, ad Sinopium ducem, qui hostis erat Mechmetis, perveniens, iuramenti religione interposita se invicem amicos et hospites in posterum fore confirmabant. deinde cum legatos misisset ad Daciae ducem et amice ab eo foret acceptus, pollicereturque se ipsi suppetias laturum in regno quod averet acquirendo, in Asiam abire decrevit. cum in Asia longo tempore moratus esset, habens secum viros trecentos, haud cessabat ambire Turcorum optimum quemque et ad defectionem pellicere. cum res parum succederet, angebatur maxime. nam Mechmetes aequitatis amantissimus erat, et egregie optimates Turcorum colere norat, moribusque erat tranquillus et placidus. hic dicebat Mustapham haud legitimum, verum suppositicium esse Paiazitis filium, ut qui nullo vel parvo indicio patrem et fratres repraesentaret. filium Paiazitis Mustapham excessisse e vivis, seque Mustaphae veri filii Paiazitis mortem accepisse a viro integerrimo et iustissimo, qui sibi eam pro certo nuntiarit. Mustaphas, cum coeptis parum succederet, abiit ex Dacia; et res suas meliore statu fore credebat, si se contulisset ad Graecos, sic in medio Mechmetis regno constitutus. iracundo itaque animo, relicta Dacia, per Thraciam contendebat

τὴν πόλιν καὶ κατελήφθη. Μεχμέτης δὲ ὡς ἐπύθετο τάχιστα ἐς τὴν Θέρμην ἀφικέσθαι τὸν ἀδελφόν, αὐτίκα οὐδὲν D ἐπισχὼν δρομαῖος ἐπῄει ἐπὶ τὴν Θέρμην, παραλαβὼν στρατόν, καὶ ἐζήτει τὸν ἀδελφὸν τοὺς Ἕλληνας. ὁ μέντοι τῆς Θέρμης ἄρχων ἄγγελον πέμψας ἐπὶ τὸν Βυζαντίου βασιλέα ἐδήλου τε ὡς ἔχει αὐτῷ περὶ τοῦ παιδὸς Παιαζήτεω Μουσταφᾶ, καὶ ὡς Μεχμέτης ἐπελαύνων ἐξαιτοῖτο τὸν ἀδελφὸν οἷα ψευδῆ ὄντα καὶ διαφθείροντα τὸ γένος αὐτοῦ. βασιλεὺς δὲ πρέσβυν τε ἔπεμψε πρὸς Μεχμέτην, καὶ συνέθετο αὐτῷ τὸν Μουσταφᾶν ἐς φυλακήν τε ποιήσασθαι καὶ μηδαμῇ μεθιέναι τε ἀπιόντα. καὶ ἐπὶ τούτῳ ὅρκιά τε ἐποιήσαντο, καὶ Μουσταφᾶν ἐν Ἐπιδαύρῳ τῆς Πελοποννήσου καὶ ἐν τῇ ἄκρᾳ P. 109 τῆς πόλεως καθείρξαντες, αὐτόν τε τὸν Μουσταφᾶν, καὶ τὸν Σμύρνης ἄρχοντα Ζουναΐτην, ἅμα αὐτῷ ἀπὸ Δακίας ἐπὶ τὴν Θέρμην ἀφικόμενον καὶ συνεπιλαβόμενον τοῦ πρὸς Μεχμέτην πολέμου. τούτους μὲν οὖν Ἕλληνες εἶχον ἐν φυλακῇ ἐπὶ συχνόν τινα χρόνον, μετὰ δὲ ταῦτα ἤγαγον ἐς τὴν Λῆμνον καὶ ἐς τὴν Ἴμβρον, καὶ αὐτοῦ εἶχον ἐν φυλακῇ ἐς ὃ δὴ ἐτελεύτησε Μεχμέτης ὁ Παιαζήτεω. τότε μὲν δὴ χαριζόμενοι τῷ βασιλεῖ οἱ Ἕλληνες, καὶ τὴν ὁμοίαν ἀνταποδιδόντες, κατέθεντο τούτους ἐν Ἐπιδαύρῳ τῆς Πελοποννήσου· καὶ οὐκ ἔστιν ὅτου ἀποτύχοιεν διὰ ταῦτα παρὰ βασιλεῖ Μεχμέτῃ.

Thermam, quae urbs est Graecorum. ibi veniens in colloquium cum Graecorum duce, et urbem ingressus, captus est. Mechmetes ubi rescivit fratrem suum pervenisse Thermam, confestim omni mora posita, Thermam summa celeritate adhibita profectus est; assumptoque exercitu, fratrem quaerebat apud Graecos. dux Graecorum, qui Thermam regebat, nuntium ad Byzantii regem ire iubet, ut dicat quid egerit cum Mustapha; narraret quoque advenisse Mechmetem, et postulare sibi dedi Mustapham ut fratrem suppositicium et sui generis maculam. rex misso legato pactum iniit cum Mechmete, quo iubebatur Mustapham in vincula dare, nec inde abire ipsum pateretur. pactum hoc iurisiurandi religione firmarunt. Mustapham igitur una cum Smyrnae duce Zunaite, qui cum eo Thermam advenerat accesseratque belli contra Mechmetem adiutor, in arce Epidauri in carcerem dedere vinctos. Graeci tempore longo eos in vinculis asservarunt. postea ducti sunt in Imbrum et Lemnum, ubi in carcere captivi delituere usque ad Mechmetis obitum. cum igitur Graeci hac in re morem gessissent Mechmeti et quasi gratiam retulissent, in carcere condentes Mustapham, accidit ut in posterum quaecunque vellent, facile apud regem Mechmetem impetrarent.

Τότε μὲν οὖν παρασχὸν σφίσιν ἐν βελτίονί τε τῇ πρόσθεν ἐπὶ πολὺν χρόνον ἀεὶ καταστάσει ἐτύγχανον ὄντες, εὖ B πράττοντες, καὶ τήν τε Πελοπόννησον καθίστασαν ἐπὶ τὸ σφίσι δοκοῦν ἕξειν ὡς συμφερώτατα. Ἐμμανουήλῳ μέντοι ἐγένοντο παῖδες ὅ τε Ἰωάννης ὁ πρεσβύτερος, ὃν δὴ τοῖς Ἕλλησιν ἀπεδείξατο βασιλέα, καὶ Ἀνδρόνικος καὶ Θεόδωρος μετὰ V.86 τοῦτον καὶ Κωνσταντῖνος καὶ Δημήτριος καὶ Θωμᾶς. τῷ μέντοι Ἰωάννῃ τῷ πρεσβυτέρῳ, πάντων τῶν ἄλλων κρατίστῳ δοκοῦντι γενέσθαι, τήν τε βασιλείαν ἐπέτρεψε, καὶ ἀπὸ Ἰταλίας ἀγόμενος αὐτῷ γυναῖκα τοῦ Μονφεράτου ἡγεμόνος θυγατέρα, ἐπιεικῆ μὲν τὸν τρόπον ἀηδῆ δὲ τὴν ὄψιν, διαδήματι ταινιώσας ἀρχιερέα τε καὶ βασιλέα ἐστήσατο τοῖς Ἕλλησι. ταύτην μὲν οὖν, ὡς οὔτε συνῴκει οὔτε συνεγένετο, ἐς ἔχθος ἀφικόμενος C καὶ ἀηδῶς ἔχων αὐτῇ ἐπί τινα χρόνον, καὶ ἥ τε γυνὴ τοῦ βασιλέως ἐνεώρα ἐς αὐτὴν τὸν ἄνδρα ἀηδῶς ἔχοντα, καὶ αὐτὴν ἀπεχθάνεσθαι τῷ ἀνδρὶ ἐς τὰ μάλιστα, ἐπιβᾶσα νεὼς ᾤχετο ἀποπλέουσα ἐπὶ Ἰταλίας παρὰ τοὺς προσήκοντας. ἠγάγετο δὲ γυναῖκα τὴν ἀπὸ Σαρματίας, τοῦ Σαρματῶν ἡγεμόνος θυγατέρα. οὗτος μὲν οὖν οὕτω διατεθεὶς ἐβασίλευεν, Ἀνδρονίκῳ μὲν τήν τε Θέρμην ἐπέτρεψεν οἰκεῖν, ἀνδρὶ οὐκ ἀγεννεῖ μετά γε Ἰωάννην τὸν βασιλέα. καὶ ἐπί τινα χρόνον διαγενόμενος ἐς νόσον περιῆλθεν ἐλεφαντίασιν, καὶ τὴν Θέρ-

1. παρέσχον P

Tunc quidem cum experirentur regis favorem Graeci, longo tempore admodum feliciter rebus sunt usi. Peloponneso eam induxere formam quam commodissimam fore iudicabant. Emanuel habuit filios, Ioannem seniorem, quem Graecis regem dedit, Andronicum et Theodorum, praeterea Constantinum Demetrium et Thomam. Ioanni seniori, qui reliquis vir melior esse apparebat, regnum commisit. eidem uxorem dedit ex Italia Montferrariae principis filiam, moribus quidem praeditam optimis, caeterum forma illiberali. diademate igitur caput filii cingens, eum regem et pontificem Graecorum esse iussit. uxorem, quam ex Italia petierat, non perinde ob formae turpitudinem amabat. proinde nec cohabitabat nec Veneris foedus cum ea inibat: tantum mulieris obrepserat fastidium. mulier advertens se marito esse invisam admodum, navem conscendit et ad genere propinquos se recepit. ipse interim matrimonio sibi iunxit Sarmatiae (quae et Russia) principis filiam. hic quidem in istum modum affectus regno praefuit. Andronico autem imperio regendam concessit Thermam, qui virtute post Ioannem secundus inter filios regios erat. cum aliquando tempore supervixisset, in elephantiasim incidit. Thermam quoque, ut quae non amplius retineri posset propter res civi-

μην ἀπέδοτο τοῖς Οὐενετοῖς, ὡς τῆς τε πόλεως οὐκέτι ἐπιτηδείως ἐχούσης ἐς φυλακὴν αὐτῆς, καὶ σφίσι τὰ πράγματα
D πονήρως ἤδη ἔχοντα. καὶ ὡς ἐδέδοκτο ἤδη αὐτοῖς ταύτῃ σφίσι τε αὐτοῖς καὶ τῇ πόλει ἄμεινον ἔσεσθαι, ἀπέδοτο ταύτην τοῖς Οὐενετοῖς οὐ πολλοῦ τινός. Ἀνδρόνικος μέντοι ἐς Πελοπόννησον παρὰ τὸν ἀδελφὸν ἀφικόμενος τήν τε δίαιταν εἶχεν ἐν Μαντινείᾳ τῆς Λακωνικῆς, ἐς ὃ δὴ ἐπικρατοῦντος τοῦ νοσήματος ἤδη τελέως ἐτελεύτησε. τὸν δὲ Θεόδωρον τούτου παῖδα ὄντα βασιλεὺς Ἐμμανουῆλος ἐπεπόμφει παρὰ ἀδελφὸν αὐτοῦ Θεόδωρον τὸν πορφυρογέννητον, ἐφ᾿ ᾧ διάδοχόν τε τὸν παῖδα καταλιπεῖν ἐπὶ τῇ Πελοποννήσῳ. καὶ ὡς ἐδέξατο τοῦτον ἀδελφοῦ τε παῖδα καὶ ἐπιτηδείου, εἶχέ τε
P. 110 παρ᾿ αὐτῷ, καὶ ὡς ἐτελεύτα, κατέλιπε τὴν ἀρχὴν αὐτῷ. οὗτος δὲ ὡς ἐς τὴν ἡγεμονίαν κατέστη, ἔγημέ τε γυναῖκα ἀπὸ Ἰταλίας, θυγατέρα Μαλατέστα τοῦ Μάρκης ἡγεμόνος, τῷ τε κάλλει διαπρέπουσαν καὶ τῇ ἄλλῃ κοσμιότητι. ὕστερον μέντοι, ὡς ἐς μῖσός τε ἀφίκετο τῇ γυναικὶ καὶ ἐς ἔχθος ἀφικόμενος ἐς διαφορὰν κατέστη, ἐς τὴν Ναζηραίων δίαιταν ὥρμητο γενέσθαι, καὶ τὸν ἀδελφὸν αὐτοῦ μεταπέμπετο ἐπὶ τὴν ἀρχήν, ὡς ἐπεί οἱ ἐδόκει ἰέναι ἐς τὸ Ναζηραίων σχῆμα, τήν τε ἀρχὴν ἐπιτρέψων αὐτῷ καὶ τὴν οὐσίαν. οὗτος μέντοι οὐκ εἰς μακρὰν αὖθις μετέβαλλεν, ἀποτρεπομένων τῶν ἀρίστων αὐτοῦ ἀπὸ τούτου καὶ οὐκ ἐπιτρεπόντων ἰέναι αὐτῷ εἰς ὃ ὥρμητο. τῷ μὲν οὖν πρεσβυτέρῳ Θεοδώρῳ τῷ πατρῴῳ παῖς
B οὐκ ἐγένετο ἀπὸ τῆς Ῥαινερίου θυγατρός, νόθοι δὲ ἐγένοντο.

tatis admodum accisas, Venetis vendidit. cum igitur iudicaret eam venditionem tum sibi tum urbi expedire, parvo pretio accepto eam Venetis tradidit. Andronicus autem profectus ad fratrem in Peloponnesum, victum in Mantinea Laconiae habuit. morbus cum in dies invalesceret, tandem vita functus est. Theodorum, qui defuncti filius erat, misit ad fratrem Theodorum Porphyrogenitum, ut eum Peloponnesi successorem relinqueret. quem suscepit, et ut fratris et necessarii filium apud se detinuit. quo mortuo, quemadmodum convenerat, successit in Peloponnesi administrationem. hic ubi imperio potitus est, uxorem accepit ex Italia, filiam Malatestae ducis Marchiae, quae formae venustate et reliquis mulierum dotibus admodum praestabat. postea cum odium, dehinc discordiae id matrimonium invasissent, odio, quo uxorem prosequebatur, promotus ad Nazaraeorum schema migrare statuit. cum autem iam animo fixum esset Nazaraeorum suscipere habitum, accersivit fratrem, ut ei regnum tribueret opesque. verum haud multo post voluntatem mutavit, cum eum optimi quique

ἠγάγετο γὰρ οὗτος τὴν τοῦ Ἀθηνῶν τυράννου θυγατέρα, πασῶν δὴ λεγομένην εἶναι καλλίστην τῶν εἰς ἐκεῖνον τὸν χρόνον κάλλει διενεγκουσῶν.

Ῥαινέριος δὲ οὗτος Κορίνθου τε ἐτυράννευε καὶ Ἀθηνῶν, τῆς τε Βοιωτίας ἐπῆρξεν ἔστε ἐπὶ Θετταλίαν χωρῆσαι. ἐπῆρξε δὲ τρόπῳ τοιῷδε. ὁπότε ἐπὶ τοὺς Ἕλληνας ἐνάγοντος τοῦ Ῥωμαίων ἀρχιερέως ἐστρατεύοντο οἱ ἀπὸ τῆς ἑσπέρας Κελτοί τε ἅμα καὶ Οὐενετοί, τότε δὴ καὶ οἱ ἀπὸ Νεαπόλεως τοῦ βασιλέως καὶ ἀπὸ Τυρρηνῶν ὥρμηντο ἄνδρες καὶ Ἰαννΐων μέγα δυνάμενοι ἐπὶ τὴν τῆς Πελοποννήσου τε ἅμα καὶ τῆς ἄλλης Ἑλλάδος καταστροφήν. καὶ τὴν μέντοι Πε- C λοπόννησον κατεστρέψαντο ἄλλοι τε καὶ ἀπὸ τῆς Ἰαννΐων μοίρας, τοῦ οἴκου Ζαχαρίων, τήν τε Ἀχαΐαν καὶ Ἤλιδος τὰ πλείω καὶ δὴ καὶ Πύλον καὶ Μεσήνης χώραν οὐκ ὀλίγην, ἔστε ἐπὶ Λακωνικὴν ἐλάσαι. τὴν μέντοι μεσόγαιον τῆς Πελοποννήσου κατεῖχον αὐτοί τε Πελοποννήσιοι Ἕλληνες. ξύμ- V. 87 πασαν δὲ τὴν παράλιον τῆς Πελοποννήσου οἱ ἀπὸ τῆς ἑσπέρας καταστρεψάμενοι εἶχον, Κελτοί τε δὴ καὶ Κελτίβηρες, καὶ τῶν Ἰαννΐων καὶ Τυρρηνῶν ἄλλοι τε καὶ δὴ καὶ Ῥαινέριος ἀπὸ Φλωρεντίας ἀφικόμενος ἐπὶ τῇ γε στρατιᾷ ταύτῃ, τοῦ οἴκου τῶν Ἀζαϊόλων, τήν τε Ἀττικὴν κατέσχε καὶ Βοιωτίαν, ὡς καὶ πρότερόν μοι δεδήλωται, καὶ Φωκαΐδος χώρας τὰ

2. δὲ P 9. καὶ om P 22. ὡς om P

ab isto instituto dehortarentur, nec eum ad hanc vitae formam transire sinerent. senior Theodorus non tulerat filios ex Rainerii filia: verum nati sunt ei filii nothi. nam duxit uxorem Athenarum principis filiam, quae omnes sui seculi formosas anteire dicebatur.

Rainerius hic Corinthi et Athenarum princeps extitit; Boeotiae quoque imperavit, et usque in Thessaliam processit. imperium hoc modo nactus est. cum contra Graecos, sic instigante Romano pontifice, expeditionem sumerent Galli et Veneti, tum etiam Neapolitanus rex, necnon Tyrrhenorum et Ianuensium viri potentissimi profecti sunt, ut Peloponnesum et reliquam Graeciam subigerent. et Peloponnesum quidem caeteri in dicionem redegere. at Ianuenses qui erant de familia Zachariarum, ceperunt Achaiam et Elidis partem maximam. occuparunt et Pylum, necnon Messanae regionem haud parvam, ut etiam in Laconiam irrumperent. mediterraneam regionem Peloponnesi obtinuere Graeci Peloponnesiaci. universam maritimam Peloponnesi oram capientes tenuerunt Celtiberi occidentales, necnon Ianuenses et Tyrrheni. Rainerius cum ab Florentia veniret in expeditionem hanc (erat enim ortus ex familia Azeolorum sive Accioiolorum), Atticam et Boeotiam, ut ante dixi, in dicionem accepit. na-

D πλείω. *Λίγυρες μέντοι τὴν Εὔβοιαν πολλῷ ἔτι παλαιότερον κατέσχον· ἀφ' ὧν ἐπιτραπέντες οἱ Οὐενετοὶ ἐπὶ ῥητῷ τῆς νήσου ἐπέβησαν. μετὰ δὲ ταῦτα κατὰ βραχὺ προϊόντες ξύμπασάν τε τὴν Εὔβοιαν κατέσχον, ἐς διαφορὰν σφίσι τῶν Λιγύρων ἀφικνουμένων, καὶ τήν τε χώραν καὶ προσόδους αὐτῶν, ὅσοι τοῖς Οὐενετοῖς ἐπιτήδειοι ἐτύγχανον ὄντες, εἰσέτι καὶ νῦν διατελοῦσιν ἔχοντες, καὶ κατὰ ταῦτα ἐμμένοντες ἐφ' οἷς σπενδόμενοι αὐτοῖς ξυνέβησαν κατὰ τὴν νῆσον οἱ Οὐενετοί. ὁ μέντοι Ῥαινέριος καὶ οἱ Κελτίβηρες, καὶ Κελτῶν ὅσοι ἐπὶ τὴν τῆς Ἑλλάδος καταστροφὴν ἐγένοντο, πολλῷ ὕστερον τούτων φαίνονται ἀφικόμενοι ἐπὶ τὸν χῶρον τοῦτον. Ῥαινέ-
P. 111 ριος δὲ καὶ πολλῷ ἔτι νέηλυς ὤν, ἐπιγαμίαν τε πρὸς τοὺς ἐν τῇ Εὐβοίᾳ Λιγύρων ποιησάμενος καὶ Προθυμοῦ τινὸς θυγατέρα ἔγημε, καὶ τήν τε χώραν κατασχὼν Κόρινθόν τε ἐχειρώσατο, καὶ τὴν Πελοπόννησον ἐπενόει ὅτι τάχιστα ὑφ' αὑτῷ ποιήσασθαι. ὕστερον μέντοι ἀφικομένου τοῦ Ἑλλήνων βασιλέως ἀδελφοῦ, ἐπιγαμίαν πρὸς τοῦτον ἐπεποίητο, καὶ θυγατέρα ἡρμόσατο τούτῳ τῷ ἡγεμόνι Θεοδώρῳ, κάλλει, ὡς ἔφην, πασῶν τῶν τότε διαφέρουσαν, καὶ τήν τε Κόρινθον ἐπὶ τῇ ἑαυτοῦ τελευτῇ κατέλιπεν· ὑπέσχετο γὰρ ὁπότε αὐτῷ τὴν θυγατέρα ἡρμόσατο ἐς φερνὴν αὐτῷ ταύτην, ἐπειδὰν τελευτήσῃ.*

21. *ταύτῃ* P

ctus est et Phocensium regionis pleraque. Ligures Euboeam longis temporibus retro ceperant; qui permiserunt Venetis certis condicionibus et pactis in insulam ascendere. posthaec paulatim progressi, Euboeam universam occuparunt, cum intercessissent discordiae inter Venetos et Ligures. regionem istam et reditus, quia placebant, Veneti adhuc habent condicionibus et pactis iisdem, quibus in eam insulam pervenerunt; quae quidem bona fide coluerunt. Rainerius, Celtiberi Gallique, quotquot bello Graecos lacessebant, longo tempore demum post Venetos et Ligures in istam regionem appulisse videntur. Rainerius quoque advena existens, affinitate iuncta cum Liguribus qui Euboeam tenebant, Prothimi cuiusdam filiam uxorem sibi associavit. hinc regionem eam occupans etiam Corinthum subegit. Peloponnesum quoque subiicere animo agitabat. postea cum ad ipsum veniret frater Graecorum regis Theodorus, inter se affinitatem fecerunt: nam uxorem dedit Theodoro duci filiam suam, quae formae elegantia omnes antecedebat, Corinthumque, ubi mortuus eset, ei concessit. promiserat enim Rainerius, ut dotis nomine, ubi primum ipse defunctus fuerit, Corinthum accipiat.

Ἡρμόσατο δὲ καὶ ἑτέραν αὐτοῦ θυγατέρα Καρούλῳ τῷ Ἀκαρνανίας τε καὶ Αἰτωλίας ἡγεμόνι. οὗτος γάρ, ὡς οἱ τῆς B χώρας ταύτης ἄρχοντες πρότερον προσήκοντές τε ἦσαν τοῦ Παρθενόπης τῆς Νεαπόλεως καλουμένης βασιλέως, καὶ ὡς ὑπό τε τῶν περιοίκων καὶ τῶν ταύτῃ ἐθνῶν ἀπελαύνοντο ἐκ τῆς χώρας ἄρχοντος ἀπαλλαττόμενοι ἐπὶ Ἰταλίας, Κεφαλληνία δὲ καὶ Ζάκυνθος καὶ αἱ Ἐχινάδες νῆσοι, ὅσαι ταύτῃ ᾠκημέναι ἐτύγχανον, ἐς τουτονὶ τὸν βασιλέα τετραμμέναι ἁρμοστήν τε ἐδέχοντο καὶ ἄρχοντα τοῦ βασιλέως Παρθενόπης. ἀφίκοντο μὲν δὴ καὶ ἄλλοι πρόσθεν ἁρμοσταὶ εἰς τὰς νήσους ταύτας, ἐν δὲ δὴ καὶ Κάρουλος οὑτοσίν, ὁ τῆς οἰκίας Τόκων καλούμενος, ἔχων ἑταίρους μεθ' ἑαυτοῦ ἄνδρας ἀγαθούς, τόν τε Ῥῶσον καὶ Γυΐδον καὶ Μυλειϊαρέσην. καὶ ὡς ἐν τῇ Κεφαλληνίᾳ διατρίβοντες προσέσχον τε τῇ Ἠπείρῳ, ἐπαγομένων C τῶν Ἠπειρωτῶν, τήν τε χώραν ἐκτήσαντο σφίσιν ὑπήκοον καὶ κατὰ βραχὺ τήν τε Ἀκαρνανίαν. Ἀλβανοὶ δὲ ὡρμημένοι ἀπὸ Ἐπιδάμνου καὶ τὸ πρὸς ἕω βαδίζοντες Θετταλίαν τε ὑπηγάγοντο σφίσι καὶ τῆς μεσογαίου Μακεδονίας τὰ πλέω, Ἀργυροπολίχνην τε καὶ Καστορίαν. ἀφικόμενοι δὲ ἐπὶ Θετταλίαν τήν τε χώραν σφίσιν ὑποχείριον ποιησάμενοι, καὶ τὰς πόλεις ἐπιδιελόμενοι, κατὰ σφᾶς ἐνέμοντο τὴν χώραν, νομάδες τε ὄντες καὶ οὐδαμῇ ἔτι βέβαιον σφῶν αὐτῶν τὴν οἴκησιν ποιούμενοι. ἐπεὶ δὲ καὶ ἐς Ἀκαρνανίαν ἀφικόμενοι γνώμῃ τοῦ

6. οἱ ἄρχοντες? 23. ἔπειτα?

Filiam suam alteram despondit Carolo Acarnaniae et Aetoliae principi. duces regionis illius priores pertinebant ad regem Parthenopes, quae nunc Neapolis vocatur. cum a finitimis et vicinis gentibus expellerentur suis sedibus, duce destitutae, Cephallenia Zacynthus et Echinades insulae, ad istum regem conversae, praefectum et principem ab eo acceperunt. venerant iam olim et alii praefecti et principes in insulas istas. ibi tum Carolus ille de familia Tocorum habuit secum viros spectatae virtutis, Rosum, Gidium sive Guidonem, Myleiaresem. et cum Cephalleniae moras traherent, animum in Epirum intenderunt, adiunctisque Epirotis regionem quam habebant subiectam, in dicionem acceperunt; paulatimque etiam Acarnania in dicionem venit. Albani ruentes ab Epidamno et ad Orientem properantes Thessaliam et mediterraneae Macedoniae pleraque, Argyropolichnam et Castoriam dominio suo addiderunt. advenientes deinde in Thessaliam urbes inter se sunt partiti, regionemque, ut qui pastores essent nec ullo in loco fixas sedes haberent, depascebantur. postquam autem in Acarnaniam pervenere, Acarnaniae principe id per-

ἡγεμόνος Ἀκαρνανίας, ἀφιεμένου αὐτοῖς τῆς χώρας, ἐνέμοντό D τε τήνδε τὴν χώραν. μετὰ δὲ ταῦτα συνίσταντο ἀλλήλοις ὡς τοῖς Ἕλλησιν ἐπιθησόμενοι, ὅπως ἂν αὐτοῖς προχωροίη. καὶ δή ποτε τοῦ ἡγεμόνος (Ἰσαάκιος δ' ἦν τοὔνομα) ἐπὶ ἄγραν φοιτῶντος ἀφικνουμένου, ἐπέθεντό τε αὐτῷ οἱ Ἀλβανοί, ἡγουμένου αὐτοῖς Σπάτα, ἀνδρὸς ὁρμήν τε καὶ τόλμαν ἐπιδεικνυμένου σφίσιν ἐν τῷ τότε παρόντι ξύμφορον ἐς τὰ V. 88 παρόντα αὐτοῖς καὶ οὐκ ἀδόκιμον. καὶ τὸν μὲν ἡγεμόνα αὐτοῦ ταύτῃ ἀνεῖλον, τὴν δὲ χώραν αὐτίκα ἐπελαύνοντες κατέσχον τε καὶ ἐζώγρησαν τοὺς ἐν τοῖς ἀγροῖς, συλλαμβάνοντες ᾧ ἂν περιτύχοιεν. μετὰ δὲ ταῦτα πολιορκοῦντές τε Ἄρτην τῆς Ἀκαρνανίας πόλιν παρεστήσαντο, καὶ τὴν χώραν ταύ- P. 112 την ὑφ' αὐτοῖς ποιησάμενοι τὴν τῶν ἑσπερίων χώραν ἐδῄουν, οὐδὲν ἔτι ἐς ἡσυχίαν ἐνδιδόντες. μετὰ δὲ ταῦτα οἱ τῆς Νεαπόλεως ἄρχοντες, ἀπὸ Κερκύρας τῆς νήσου ὁρμώμενοι (εἶχον δὲ τότε τὴν νῆσον οἱ Παρθενόπης βασιλεῖς) καὶ παρεσκευασάμενοι στρατόν, ἵεντο ἐπὶ τὴν Ἀκαρνανίαν ὡς τούς τε Ἀλβανοὺς τὴν χώραν ἀφαιρησόμενοι καὶ Ἄρτην τῆς Ἀκαρνανίας καταστρεψόμενοι λαβόντες. ἀφικόμενοι δὲ ἐς Ἄρτην τήν τε πόλιν ἐπολιόρκουν καὶ μηχανὰς προσέφερον τῷ τείχει ὡς αἱρήσοντες. Σπάτας δὲ ὁ τῶν Ἀλβανῶν ἡγεμὼν (οὐ γὰρ εἰσῄει ἐς τὴν πόλιν, ἀλλ' ἐκτὸς περιῄει τὴν χώραν) τοὺς

1. ἀφιέμενον R. genitivum reposuit H 9. ὑπελαύνοντες P

mittente, etiam eam regionem pecoribus depascendam obiecere. postea convenit inter ipsos ut insidias tenderent Graecis, utcunque tamen res cecidisset. et sane duci Isaaco, qui venatum profectus erat, Albani venientes insidias struunt duce Spata, qui cum foret vir impiger et ad omnia audax, plurimum suis eo tempore audacia et fortitudine profuit. ducem Isaacium eo loci confecerunt. hinc continuo incursionem in regionem eius facientes eam subegere, virosque quoscunque in agris deprehenderunt, cepere vivos. postea obsidentes Arten (quae olim Ambracia) Acarnaniae urbem, haud cessarunt priusquam eam occupassent. hanc regionem subigentes haud abstinebant ab occidentalium regione, quam miris modis evastabant, nunquam quieti se tradentes. his moti principes Neapolitani, ab Corcyra insula pergentes (insulam enim istam ea tempestate Parthenopes reges tenebant) et copias contrahentes proficiscebantur contra Acarnaniam, ut Albanos ex sua regione deturbarent et Arten Acarnaniae urbem captam recuperarent. qui advenientes Arten obsederunt, bellicasque machinas muro admoverunt, ut urbem vi caperent. Spatas Albanorum dux haud intra moenia se continebat, sed extra urbem obambulans consulebat Albanis, quos in unum collegerat, ut se prom-

τε Ἀλβανοὺς συλλέξας ἐς ταὐτὸ καὶ βουλευσάμενος, ὥς αὐτῷ εἵποντο ἑτοίμως εἰς τὸν κίνδυνον, ἄφνω ἐπεισπί- B πτουσι τῷ Ἰταλῶν στρατεύματι ὃ ἐπολιόρκει τὴν πόλιν, καὶ τρεψάμενοι ἐς φυγὴν πολλοὺς μὲν διέφθειραν, τοὺς δὲ πλείους ἐζώγρησαν. συνεπελάβετο δὲ αὐτοῖς ἐς τόνδε τὸν πόλεμον καὶ Πριάλουπας ὁ τῆς Αἰτωλίας ἡγεμών, ἀνὴρ Τριβαλλός, ὃς ἐπιγαμίαν πρὸς τὸν Σπάταν τῆς Ἄρτης ἡγεμόνα ἐπεποίητο. οὕτω μὲν οὖν κατέσχον οἱ Σπαταῖοι τὴν χώραν τῆς Ἀκαρνανίας· μετὰ δὲ ταῦτα ὡρμημένου τοῦ Καρούλου ἀπὸ τῶν νήσων σὺν τοῖς ἑταίροις αὐτοῦ καί τινων τῶν τῆς χώρας ἅτε δὴ ἀχθομένων τῇ Ἀλβανῶν τυραννίδι, τήν τε χώραν κατεστρέψαντο τῆς Ἀκαρνανίας, πρὸς δὲ καὶ τὴν Αἰτωλίαν, ἀφελόμενοι Ἰζάουλον τὸν τότε ἡγεμονεύοντα Δρομαίνων τε τῆς πόλεως καὶ χώρας τε τῆς C Αἰτωλίας ἤδη.

Ἡ δὲ ἀρχὴ τῆς Αἰτωλίας οὖσα τὸ πρότερον Θωμᾶ τοῦ Πριαλούπων Τριβαλλοῦ, περιῆλθεν ἐς τοῦτον δὴ τὸν Ἰζάουλον τρόπῳ τοιῷδε. ὡς συνεπελάβετο ὁ Πριάλουπας τῷ τε Σπάτᾳ καὶ τοῖς Ἀλβανοῖς ἐς τὸν πρὸς Ἰταλοὺς πόλεμον, πολιορκοῦντας Ἄρτην μητρόπολιν τῆς Ἀκαρνανίας χώρας, ἑάλωσαν δὴ ἐν τῇ μάχῃ ταύτῃ ἄλλοι τε πολλοὶ τῶν παρὰ σφίσιν εὐδοκιμούντων τῷ γένει καὶ δὴ καὶ Ἰζάουλος, εἷς τῶν ἀρίστων λεγόμενος γενέσθαι τοῦ Παρθενόπης βασιλέως νεανίας, τὸ μὲν εἶδος οὐκ ἀηδής, ἐπιεικὴς δὲ τὸν τρόπον καὶ

pte sequerentur ad praesens periculum. quo impigre facto opprimunt subito Italorum exercitum oppugnationi intentum, quos in fugam compellunt, plurimis partim necatis partim captis. socius et auxiliaris aderat in eo praelio Prialupas Aetoliae princeps, Triballus, affinis Spatae duci Artae. in hunc modum Spataei Acarnaniam occuparunt. postea Carolus cum proficisceretur ab insulis cum suis sociis, necnon aliis quibusdam qui in societatem belli venerant offensi Albanorum tyrannide, regionem Acarnaniae subegerunt. praeterea eripuerunt Aetoliam Izaulo regenti Dromaenorum urbem et Aetoliam.

Imperium Aetoliae antea penes Thomam Prialupae Triballi filium fuit, et hoc pacto in Izaulum pervenit. cum adiuvaret Prialupas Spatan et Albanos in bello quod gestum est cum Italis, Arten metropolim Acarnaniae obsidentibus, evenit ut in eo praelio captivi complures, qui generis claritate excellebant admodum, in manus venirent. inter captivos hos extitit et Izaulus e grege optimatum; qui adolescens regis Parthenopes (quae et Neapolis) nuncupabatur. forma

ἡσύχιος. τοῦτον σὺν πολλοῖς ἄλλοις ἀγόμενος ὁ Πριάλουπας
D εἰς τὰ οἰκεῖα ὡς ἀνδράποδά τε περιεῖπε καὶ εἶχεν ἐν φυλακῇ.
ἐς τὰ βασίλεια διατρίβων κατεῖχεν ὡς χρημάτων ἐς τοὺς προσήκοντας ἐσαῦθις ἀποδιδόμενος, ἢν αἰτοῖντο αὐτούς. ἡ δὲ γυνὴ τούτου ὡς ἑώρα τὸν νεανίαν, ἠράσθη τε αὐτοῦ· ἦν γὰρ καὶ ἐς ἄλλους πρότερον φοιτῶσα [εἰς] ἄνδρας καὶ ἀκόλαστος. συγγινομένη τοίνυν τῷ νεανίᾳ, καὶ ἐπιμαινομένη αὐτῷ ἐς τὸν ἔρωτα, συντίθεται αὐτῷ ἐπὶ τῷ ἀνδρὶ ἐπιβουλήν. καὶ ἐξηγουμένης τῆς γυναικὸς ἐς τὴν κοίτην, ὡς ἀνεπαύετο Πριάλουπας ὁ ἡγεμών, ἀνεῖλέ τε αὐτὸν ἅμα σὺν τῇ γυναικί. καὶ ἅμα συγκατίσχει τὴν ἡγεμονίαν αὐτῷ. ἐπειδὴ ἐτυράννευεν, οὐδενὶ τῶν ἐν τῇ πόλει
P. 113 ἀλλ' ἐν τῇ γυναικὶ ἀρεσκόμενος. ἡ μέντοι δίκη τὸν Πριαλούπην οὐκ εἰς μακρὰν κατέλαβε τὸν παῖδα αὐτοῦ ἀπὸ ταύτης δὴ τῆς γυναικὸς γενόμενον αὐτῷ· τοῦτον γάρ τοι, ὡς ἐφοίτα παρὰ βασιλέα Μωσέα αἰτούμενος συμμαχίαν τε καὶ ἐπικουρίαν ἐπὶ Κάρουλον τὸν τότε δὴ Ἀκαρνανίας τύραννον, συλλαβὼν ὥστε τὴν χώραν αὐτοῦ κατασχεῖν, ἐξέκοψε τὼ ὀφθαλμώ. τὴν μέντοι χώραν οὐδεὶς κατεστρέψατο τῆς Ἰωαννίνων πόλεως. ἐπαγομένη τοῦτον δὴ τὸν Κάρουλον ἐπὶ σφίσιν ἄρ-
V. 89 χοντα, καὶ ἐπιτετραμμένου αὐτῷ διέπειν τὰ τῆς πόλεως πράγματα, καὶ ἀντεχομένου ἐς τὸν πόλεμον κράτιστα. ἡ μέντοι

11. ἔπειτα? 12. ἐν] ἢ? τοῦ Πριαλούπη? 15. Μωσεῖ P

erat liberali, et quantum ad mores attinet, aequus et placidus. hunc cum plurimis aliis captivum trahens Prialupas domum ut mancipium tractavit; eosque in custodia asservavit, moratus in regia, volens eos propinquis restituere accepta pecunia, si venirent suos redemptum. uxor Prialupae adolescentem visum amare coepit. erat enim istius mulieris ingenium ut, priusquam peteretur, peteret viros, prae intemperantia cui obnoxia erat. cum igitur stupri consuetudinem cum adolescente habuisset, amore ardens et furens cum adolescente insidias marito subornat. mulier adolescentem ducit in cubiculum, in quo quiescere solitus erat Prialupas dux; ibique adiuvante adolescentem muliere Prialupas occisus est, et ipse ad imperii gubernacula ascendit. cum autem sibi tyrannidem ad eum modum parasset, nemini nisi mulieri soli placebat. at ultio haud multo post secuta est. Prialupas enim, qui filius eius erat, patris nomen gerens, natus ex ista uxore, cum properaret ad regem Mosem petens auxilium et praesidium contra Carolum Acarnaniae principem, ut eam regionem in potestatem redigeret, captus est, oculique eius eruti sunt. regionem urbis Ioanniorum nemo subegit. petiit enim Carolum sibi ducem; cui ubi primum urbis administratio est commissa, bellum fortiter ad-

ἀρχὴ αὕτη Τριβαλλῶν οὖσα τὸ παλαιὸν οὕτω ἔστε Ἰζάουλον καὶ ἐπὶ Κάρουλον τὸν ἡγεμόνα περιῆλθεν. οὕτω δὲ ἄμφω τὼ χεῖρε κατασχὼν οὗτος, καὶ τὴν πρὸς τῷ Ἀχε- B λώῳ χώραν τό τε Αἰετὸν καλούμενον καὶ Ἀγγελοπολίχνην ἔστε ἐπὶ Ναύπακτον τὴν καταντικρὺ Ἀχαΐας, ἐπεκράτει τῆς χώρας καὶ ἐτυράννευεν ἐπὶ μέγα χωρήσας δυνάμεως, ἀνὴρ τά τε ἐς ἀρχὴν καὶ ἐς τὸν πόλεμον δοκῶν γενέσθαι οὐδενὸς τῶν τότε ἡγουμένων λειπόμενος. καὶ ἐν πολέμοις πρὸς τοὺς περιοίκους μέγα εὐδοκιμῶν ἠγάγετο, ὡς πρότερόν μοι ἐλέγετο, τοῦ Ἀθηνῶν τε καὶ Κορίνθου ἡγεμόνος θυγατέρα ἐς γάμον.

Τούτῳ τῷ ἡγεμόνι παῖς ἐγένετο νόθος· ἀπὸ γὰρ τῆς Εὐβοΐδος αὐτῷ γυναικὸς ἄρρενος οὐκ ἔτυχε γόνου. νόθῳ δὲ τῷ παιδὶ ἦν ὄνομα Ἀντώνιος. τούτῳ τῷ Ἀντωνίῳ τήν τε Βοιωτίαν κατέλιπε καὶ τὴν Θηβῶν πόλιν· τὴν γὰρ Κόρινθον κατέλιπε τῷ κηδεστῇ αὐτοῦ Θεοδώρῳ τῷ βασιλέως ἀδελ- C φῷ. τὴν δὲ Ἀθηνῶν πόλιν, ἀφελόμενος ταύτην τὸ πρόσθεν τοὺς Κελτίβηρας ἀπὸ Ναβάρης (εἶχον γὰρ δὴ καὶ ταύτην οἱ Ἴβηρες καταστρεψάμενοι) κατέλιπε τοῖς Οὐενετοῖς. ὁ μέντοι παῖς αὐτοῦ Ἀντώνιος οὗτος, ὃς παρὰ τοῦ πατρὸς παρεδέξατο τὴν τῆς Βοιωτίας ἀρχὴν (τὴν γὰρ δὴ Φωκαΐδα χώραν ἄλλην καὶ Λεβαδίαν ὑπηγάγετο Παιαζήτης ὁ Ἀμουράτεω, προσθέμενος τῇ

3. Ἀρχελώῳ P 5. τὸν P 14. τήνδε P 20. ὡς P

modum sustinuit. regnum hoc, cum prius Triballorum foret, ad Izaulum et Carolum ducem in hunc modum descendit. cum utraque teneret finitimam Acheloi regionem, quae ea tempestate Aetus vocabatur, et Argyropolichnam usque Naupactum, quae est e regione Achaiae, suo imperio admovit. qui principatum administravit cum usque res suae incrementa sumerent, pace belloque nulli ducum cederet: tandem, cum bellis, quae adversus finitimos gessit, plurimum gloriae sibi peperisset, duxit, ut supra docuimus, Rainerii Athenarum et Corinthi principis filiam.

Huic duci natus est filius nothus: nam ex Euboide uxore stirps virilis haud nata est. nomen filii nothi erat Antonius. huic testamento reliquit Boeotiam et Thebas urbem: nam Corinthus cesserat genero Theodoro, regis fratri. urbem Athenas, quae prius Celtiberorum erat (nam et hanc tenuere Iberi), sibi subiectam tandem Venetis reliquit. filius Antonius a patre accepit Boeotiae regnum: nam reliqua Phocensium regio et Lebadia venerant in potestatem Paiazitis, quas suo dominio adiunxit, ut supra memoravimus. Antonius contra Venetos bellum movit, et Athenas summa diligentia exerciti-

ἑαυτοῦ ἀρχῇ, ὡς πρότερόν μοι δεδήλωται), οὗτος δὲ οὖν ἐπὶ τοὺς Οὐενετοὺς ἐξήνεγκε πόλεμον, καὶ τὰς Ἀθήνας ἐπολιόρκει προσέχων ἐντεταμένως. οἱ μέντοι Οὐενετοὶ δεινὸν ποιησάμενοι πολιορκεῖσθαι τὴν πόλιν αὐτῶν, καὶ ἀμύνειν βουλόμενοι, καὶ D ἐπὶ τὴν Θηβῶν διανοούμενοι πόλιν ἰέναι, στρατόν τε τὸν ἀπὸ τῆς Εὐβοίας ὅσον ἠδύναντο συλλέξαντες καὶ ὁπλισμόν, ἀπὸ τῆς Εὐβοίας ἐχώρουν ἐπὶ τὴν Βοιωτίαν καὶ ἐπὶ τὴν πόλιν. Ἀντώνιος δὲ πυθόμενος τοὺς Οὐενετοὺς στρατευομένους ἐπ᾽ αὐτόν, λόχους ποιησάμενος διττοὺς κατὰ τὴν ὁδὸν ᾗ ἐπύθετο μέλλοντας διαπορεύεσθαι τούς τε Εὐβοέας ἅμα καὶ Οὐενετούς, τὸν μὲν ἐνεδρεύσας ἐς τὸ πρόσω τῆς ὁδοῦ τὸν δὲ ἐς τὸ ὄπισθεν, ἐπέμενεν ἐμβαλεῖν ἐς τὸ μέσον τοὺς πολεμίους. ἐνταῦθα οὖν ὡς οἱ Οὐενετοὶ ἐπορεύοντο ἐπὶ τὴν Θηβῶν πόλιν (διέχει δ᾽ ἡ πόλις αὕτη ἀπὸ Εὐβοίας σταδίους ὡσεὶ ρν᾽) καὶ ἦσαν ἐξωπλισμένοι τε ἅμα καὶ πολλοὶ ὄντες ἐπὶ τὰς P. 114 Θήβας (ἦσαν δὲ ἀμφὶ τοὺς ἑξακισχιλίους), ἐπιπεσὼν τούτοις ἄφνω ὁ Ἀντώνιος, ἔχων κατὰ τοὺς λόχους οὐ πλείους τῶν τριακοσίων, καὶ ἀπ᾽ ἀμφοῖν ἅμα ἐπιφανεὶς τοῖς Οὐενετοῖς ἐς φυγήν τε ἐτρέψατο, καὶ πολλούς τε αὐτῶν διέφθειρε, τοὺς δὲ ἐζώγρησε, καὶ τοὺς τότε ἡγεμόνας τῆς χώρας αὐτῶν ἐζώγρησε. καὶ ἀπιὼν αὖθις ἐς τοὔπισω ἐπολιόρκει τὴν Ἀθηνῶν πόλιν, ἐς ὃ δὴ προδοσίαν συνθεμένων αὐτῷ τῶν Ἀθηναίων

bus circumsedit. Veneti aegre ferebant urbem suam obsidione premi. parant igitur eam obsidione solvere. et cum statuissent hostili animo proficisci contra Thebas, exercitum ex Euboea quantum potuere compararunt, necnon reliqua quae ad instruendum exercitum attinent collegerunt. et ab Euboea recta movent in Boeotiam et contra urbem. Antonius ut accepit Venetos contra se cum exercitu pergere, suos in duas turmas partitur, quas locat in via per quam Venetos et Euboeenses iter facturos compertum habebat. unam posuit in fronte, alteram ut a tergo esset iter ingressis. deinde expectavit donec hostes ex improviso in medium venirent. Veneti progrediebantur ad urbem Thebas, quae aberat ab Euboea stadiis centum quinquaginta. numerus autem eorum qui arma Thebis inferre parabant, complectebatur sex milia militum. Antonius, cum in insidias hostes praecipitati essent, in hos undique coortus, habens in singulis turmis non ultra ter centenos, simul utrisque apparens hostes fugam arripere coegit, plurimis caesis et captis. etiam principes qui eorum regionem gubernabant, cepit vivos. hinc cedens reversus est, unde digressus erat, ad obsidionem Athenarum. ad hanc urbem copias habuit, donec quidam Athenienses pacto intercedente per proditionem urbem hosti traderent. deinde paucis diebus post et arcem, quam

τήν τε πόλιν κατέσχε, καὶ οὐ πολλῷ ὕστερον πολιορκῶν τὴν ἀκρόπολιν παρεστήσατο, καὶ ἐτυράννευε τῆς τε Ἀττικῆς ἅμα καὶ Βοιωτίας. καὶ ἀφικόμενος ἐς τὰς Παιαζήτεω μὲν πρῶτα θύρας, τοῦ πατρὸς αὐτοῦ ἔτι περιόντος, μετὰ δὲ ταῦτα ἐς τὰς Μωσέως τε καὶ Μουσουλμάνεω καὶ δὴ καὶ Μεχμέτεω B θύρας, ἐθεράπευέ τε χρήμασι τὰς βασιλέως θύρας, καὶ κατὰ τὴν χώραν ἄρχων ἀδεῶς τοῦ λοιποῦ διῃτᾶτο. λέγεται μὲν δὴ καὶ οὗτος καὶ δοκεῖ γενέσθαι ἀνὴρ τά τε ἄλλα εὐδοκιμῶν, καὶ ἐπεί τε παρέλαβε τὴν Ἀθηνῶν πόλιν, ἐπί τε τὰς βασιλέως θύρας οὐδέν τι πολλῷ ἀφικόμενος, ἐπιτηδείους τε αὐτῷ σχεῖν καὶ συνήθεις τοὺς ἀμφὶ τὸν βασιλέα. ἐτυράννευε δὲ V.90 γήμας γυναῖκα ἀνδρὸς ἰδιώτου ἀπὸ Θηβῶν. ὡς γὰρ ἀνῆγον οἱ Θηβαῖοι χοροὺς ἐπὶ γάμῳ τινί, καὶ ἦν ἱερέως θυγάτηρ ὑπ' ἀνδρὶ γεγενημένη, οὐκ ἀηδὴς μέντοι, τὸν δὲ τρόπον ἐπι- C εικής τε ἅμα καὶ σώφρων, ἠράσθη τε αὐτῆς ἐν τῷ χορῷ ἅμα, καὶ ἐρασθεὶς ἀπάγεται ταύτην. ἐπιμανεὶς δὲ τῷ ἔρωτι οὐ πολλῷ ὕστερον ἔγημέ τε αὐτήν, καὶ εὐδαιμόνως βιοτεύων ἐτύγχανεν, ἐξοικονομῶν τε τὴν ἀρχὴν ἐπὶ τὸ ὡς κάλλιστα ἔχειν δοκοῦν ἅμα τοῖς τε ἐν τῇ χώρᾳ καὶ τοῖς ἄλλοις. οὗτος μὲν οὖν καὶ πρὸς τὸν ἐν τῇ Αἰγίνῃ ἄρχοντα Γαλεώτου παῖδα, τοῦ ἐπὶ ῥώμῃ σώματος ἐπισήμου ὄντος, ἐπιγαμίαν ποιησάμενος ἐπὶ θετῇ αὐτοῦ θυγατρί, καὶ ἀπὸ Εὐβοίας νεανίαν τῆς Γεωργίου οἰκίας κηδεστὴν ἐπὶ ἑτέρᾳ αὐτοῦ θετῇ

obsidione urgebat, occupavit, princepsque Atticae et Boeotiae declaratus est. cum autem venisset iam ante in ianuas Paiazitis, superstite adhuc patre, deinde quoque accessit ianuas Mosis Mulsumanis et Mechmetis; ianuae milites muneribus sibi conciliavit, et in regione sua admodum suaviter et tranquille in reliquum regnavit. dicunt hunc virum caetera illustrem extitisse. deinde cum in dicionem redegisset Athenas, ferunt eum tum demum abiisse ad ianuas regis, quas sibi familiaritate et artissima necessitudine devinxit. tyrannidem autem exercuit, ducta privati cuiusdam Thebani uxore. cum enim nuptiale sacrum peragentes in nuptiis cuiusdam Thebani choreas ducerent, aderat et sacerdotis cuiusdam filia, maritum habens, forma quidem luculenta moribusque venustis et modestis praedita. hanc in ipsa chorea adamavit. amore autem amens, haud multo tempore post eam sibi matrimonio iunxit. feliciterque vitam egit, cum principatum ad eum modum instituisset, quo sibi suisque et aliis maxime opportune habere videbatur. Aleoti filium, Aeginae principem, qui corporis fortitudine praestabat, generum ascivit, data ei quam adoptaverat, in uxorem, filia. habuit et aliam filiam adoptivam, qua

D ποιησάμενος, πρός τε τοὺς Οὐενετοὺς σπονδάς τε ποιησάμενος ἡσυχίαν ἦγε. καὶ Γαλεώτου τὸν παῖδα, Αἰγίνης δὲ ἄρχοντα, ἐπιτήδειον ἔχων, παρ' αὐτὸν φοιτῶντα ἐθεράπευε, καὶ σωφρονῶν ἐπὶ πολὺ δὴ τοῦ χρόνου διεγένετο εὐδαιμονῶν, ἀπό τε τῆς κατὰ τὴν ἀρχὴν οἰκονομίας πλοῦτον ἑαυτῷ περιποιούμενος καὶ τὴν πόλιν ὡς οἷόν τε μάλιστα κοσμῶν.

Τούτων μὲν οὖν πέρι ἐς τοσοῦτον ἐπιμνησάμενος, ἐπάνειμι δὴ ἐπὶ Θεόδωρον τὸν βασιλέως παῖδα, ἡγεμόνα Σπάρτης τε καὶ ἄλλης Πελοποννήσου, ὃς ὑπὸ Θεοδώρου τοῦ πα- P. 115 τρῴου ἐξετρέφετο ἅμα καὶ ἐπαιδεύθη, μετὰ δὲ ταῦτα κατελείφθη ἐς τὴν ἀρχὴν αὐτοῦ ἡγεμών. ἐς τοῦτον δὲ ἀφικόμενος ὁ πατὴρ αὐτοῦ Ἐμμανουὴλ ὁ Βυζαντίου βασιλεὺς τόν τε παῖδα καθίστη ἐς τὴν ἀρχὴν βεβαιότερον, καὶ ἐπὶ τῷ ἀδελφῷ ἤδη τετελευτηκότι λόγον ἐπικήδειον ἐξετραγῴδει διεξιὼν ἐπὶ τῷ τάφῳ αὐτοῦ, ἀπολοφυρόμενός τε ἅμα τὸν ἐπιτήδειον ἀδελφόν. καὶ μετὰ ταῦτα μεταπεμπόμενος τοὺς Πελοποννησίους ἐς Ἰσθμὸν τόν τε Ἰσθμὸν ἐτείχισε, καὶ φυλακὴν καταστησάμενος αὐτοῦ ἀπήει ἀποπλέων ἐπὶ Βυζαντίου, ἔχων μεθ' ἑαυτοῦ καὶ τοὺς Πελοποννησίων ἄρχοντας ἐν φυλακῇ.

Ταῦτα μὲν οὖν κατὰ τοὺς τῶν Ἑλλήνων βασιλεῖς συνη-

5. ὡς P 10. ἐπιτήδειον P

sibi generum paravit iuvenem quendam ab Euboea oriundum, claro loco natum. postremo cum bellum inter ipsum et Venetos pace diremptum foret, pacatam amplexus est vitam. Aleoti filium, Aeginae ducem, virum maxime sibi commodum, quando ad se venisset, magnifice venerabatur. vitam vero suam cum temperanter instituisset, ad multam senectam pervenit, feliciter vivens. et quia imperium pulchre et decenter ordinarat, multas comportavit inde divitias. urbem quoque, quam potuit maxime, aedificiis et reliquo apparatu exornavit.

Horum cum hucusque mentionem fecerim, tempus est ut redeam ad Theodorum regis filium, Spartae et reliquae Peloponnesi principem, qui educatus et disciplinis institutus a Theodoro patruo, postea ab eodem mortuo principatum accepit. ad hunc cum venisset pater eius Emanuel Byzantii rex, principatum firmiorem et stabiliorem Theodoro fecit. sermonem quoque funebrem habuit, et maximo maerore affectus volutabatur super fratris sepulcro. postea advocans Peloponnesios in Isthmum, muro eum includere aggressus est. cui cum imposuisset praesidium, Byzantium repetiit, habens secum in vinculis Peloponnesiorum duces.

Haec quidem sunt quae ea tempestate regibus Graecorum eve-

νέχθη ἐς ἐκεῖνον τὸν χρόνον· ἐπὶ δὲ Μεχμέτεω ἄμεινον σφίσιν ἔχοντες ἔστε τὴν ἀρχὴν καὶ ἐς τὴν ἄλλην αὐτῶν βιο- B τήν, ἐπεὶ ἠσφαλίζοντο τὴν πρὸς βασιλέα Μεχμέτην εἰρήνην τε καὶ σπονδὰς ἐμπεδοῦντες, ὡς οἷόν τε μάλιστα αὐτοῖς. δι' ἃ δὴ καὶ ὁ βασιλεὺς Μεχμέτης ἐνήργει ὡς περὶ πλείστου ποιοῖντο τὴν ἑαυτοῦ εἰρήνην, καὶ πᾶν ὁτιοῦν μᾶλλον πεισομένους ὥστε τὴν ξενίην σφίσι μὴ διαλύεσθαι, ἐχαρίζετό τε αὐτοῖς ὅ τι ᾤετο ἐν χάριτι ποιεῖσθαι αὐτοῖς, τά τε ἄλλα καὶ ἐπὶ τῷ παιδὶ αὐτοῦ Ἀμουράτῃ. ἤστην γὰρ αὐτῷ δύω παῖδε, Ἀμουράτης μὲν ὁ πρεσβύτερος, Μουσταφᾶς δὲ ὁ νεώτερος καὶ ἔτι παῖς ὤν. τούτοιν τὸν μὲν Ἀμουράτην ἐς τὴν Εὐρώπην διενοεῖτο καταλιπεῖν, τὸν δὲ ἕτερον ἐς τὴν Ἀσίαν βασιλέα. καὶ ἐπιδιελόμενος τούτοις τὴν ἀρχὴν ἐγκατέλιπεν, C ὥστε παῖδας ἐμμένειν οἷς ἐπέτρεψε, τῷ Βυζαντίου βασιλεῖ κατὰ ταῦτα συλλαμβάνειν, ἥν τις ἀδικῇ, μὴ ἐπιτρέπειν, ἀλλὰ τῷ ἀδικουμένῳ τιμωρεῖν κατὰ δύναμιν. ἐς τὴν μέντοι Δακίαν στρατεύματα ἐπιπέμψας τήν τε χώραν ἐληΐζετο καὶ Παιονοδακίαν, Βρενέζεω τοῦ Χότζα Θερίζεω θεράποντος ἡγουμένου τε καὶ ἔργα μεγάλα ἀποδεικνυμένου, πρὸς δὲ καὶ Μιχαήλεω τοῦ τῆς Εὐρώπης αὐτῷ στρατηγοῦ στρατιάν τε ἄγοντος ἐπὶ τοὺς Παίονας καὶ Παιονοδακίαν καὶ δὴ καὶ Ἰλλυριούς. Βρενέζῃ μέντοι ἔργα ἀποδεδειγμένα ἄξια λόγου κατὰ τὴν Εὐρώπην, ἄλλα τε καὶ ἐπὶ Ἰλλυριοὺς καὶ Παίονας καὶ V. 91

5. ἐνεργεῖ P

nerunt. imperante Mechmete, bene se res Graecorum habebant, tum quantum ad regnum tum quantum ad reliquum vivendi pertinet modum. postquam in foedus et pacem coierant cum Mechmete, nihil antiquius Mechmetes ducebat quam summa ope niti ut Graeci quamplurimi istam pacem facerent. proinde quidvis potius malebat quam ut peregrini cum his in colloquium congrederentur. nec cessabat in eos dona conferre, quaecunque iis grata fore arbitrabatur. reliqua etiam faciebat propter filium suum Amuratem. erant enim ei duo filii, Amurates, qui natu erat maximus, et Mustaphas annis iunior et adhuc puerilem agens aetatem. Europae imperium illi, huic Asiae testamento relinquere parabat. cumque ita filiis quae ad regnum attinere visa sunt disposuisset, iussit ut extremam suam voluntatem servarent; Byzantioque regi subsidio venirent, quandocunque ab hostibus vim pateretur, et fortiter virum defenderent ab his qui ei iniuriam facerent. cum copias misisset in Daciam, eam diripiebat. nec a Pannodacia manus abstinuit, Chotza Therozis ministro exercitum ductante contra Pannones et Pannodaciam Illyriosque. Brenezis, qui arma inferebat Illyricis et Pannonibus et Peloponneso, extant in Eu-

D ποιησάμενος, πρός τε τοὺς Οὐενετοὺς σπονδάς τε ποιησάμενος ἡσυχίαν ἦγε. καὶ Γαλεώτου τὸν παῖδα, Αἰγίνης δὲ ἄρχοντα, ἐπιτήδειον ἔχων, παρ' αὐτὸν φοιτῶντα ἐθεράπευε, καὶ σωφρονῶν ἐπὶ πολὺ δὴ τοῦ χρόνου διεγένετο εὐδαιμονῶν, ἀπό τε τῆς κατὰ τὴν ἀρχὴν οἰκονομίας πλοῦτον ἑαυτῷ περιποιούμενος καὶ τὴν πόλιν ὡς οἷόν τε μάλιστα κοσμῶν.

Τούτων μὲν οὖν πέρι ἐς τοσοῦτον ἐπιμνησάμενος, ἐπάνειμι δὴ ἐπὶ Θεόδωρον τὸν βασιλέως παῖδα, ἡγεμόνα Σπάρτης τε καὶ ἄλλης Πελοποννήσου, ὃς ὑπὸ Θεοδώρου τοῦ πα-
P. 115 τρῳοῦ ἐξετρέφετο ἅμα καὶ ἐπαιδεύθη, μετὰ δὲ ταῦτα κατελείφθη ἐς τὴν ἀρχὴν αὐτοῦ ἡγεμών. ἐς τοῦτον δὲ ἀφικόμενος ὁ πατὴρ αὐτοῦ Ἐμμανουὴλ ὁ Βυζαντίου βασιλεὺς τόν τε παῖδα καθίστη ἐς τὴν ἀρχὴν βεβαιότερον, καὶ ἐπὶ τῷ ἀδελφῷ ἤδη τετελευτηκότι λόγον ἐπικήδειον ἐξετραγῴδει διεξιὼν ἐπὶ τῷ τάφῳ αὐτοῦ, ἀπολοφυρόμενός τε ἅμα τὸν ἐπιτήδειον ἀδελφόν. καὶ μετὰ ταῦτα μεταπεμπόμενος τοὺς Πελοποννησίους ἐς Ἰσθμὸν τόν τε Ἰσθμὸν ἐτείχισε, καὶ φυλακὴν καταστησάμενος αὐτοῦ ἀπῄει ἀποπλέων ἐπὶ Βυζαντίου, ἔχων μεθ' ἑαυτοῦ καὶ τοὺς Πελοποννησίων ἄρχοντας ἐν φυλακῇ.

Ταῦτα μὲν οὖν κατὰ τοὺς τῶν Ἑλλήνων βασιλεῖς συνη-

5. ὡς P 10. ἐπιτήδειον P

sibi generum paravit iuvenem quendam ab Euboea oriundum, claro loco natum. postremo cum bellum inter ipsum et Venetos pace diremptum foret, pacatam amplexus est vitam. Aleoti filium, Aeginae ducem, virum maxime sibi commodum, quando ad se venisset, magnifice venerabatur. vitam vero suam cum temperanter instituisset, ad multam senectam pervenit, feliciter vivens. et quia imperium pulchre et decenter ordinarat, multas comportavit inde divitias. urbem quoque, quam potuit maxime, aedificiis et reliquo apparatu exornavit.

Horum cum hucusque mentionem fecerim, tempus est ut redeam ad Theodorum regis filium, Spartae et reliquae Peloponnesi principem, qui educatus et disciplinis institutus a Theodoro patruo, postea ab eodem mortuo principatum accepit. ad hunc cum venisset pater eius Emanuel Byzantii rex, principatum firmiorem et stabiliorem Theodoro fecit. sermonem quoque funebrem habuit, et maximo maerore affectus volutabatur super fratris sepulcro. postea advocans Peloponnesios in Isthmum, muro eum includere aggressus est. cui cum imposuisset praesidium, Byzantium repetiit, habens secum in vinculis Peloponnesiorum duces.

Haec quidem sunt quae ea tempestate regibus Graecorum eve-

νέχθη ἐς ἐκεῖνον τὸν χρόνον· ἐπὶ δὲ Μεχμέτεω ἄμεινον σφίσιν ἔχοντες ἔστε τὴν ἀρχὴν καὶ ἐς τὴν ἄλλην αὐτῶν βιο- B τήν, ἐπεὶ ἠσφαλίζοντο τὴν πρὸς βασιλέα Μεχμέτην εἰρήνην τε καὶ σπονδὰς ἐμπεδοῦντες, ὡς οἷόν τε μάλιστα αὐτοῖς. δι' ἃ δὴ καὶ ὁ βασιλεὺς Μεχμέτης ἐνήργει ὡς περὶ πλείστου ποιοῖντο τὴν ἑαυτοῦ εἰρήνην, καὶ πᾶν ὁτιοῦν μᾶλλον πεισομένους ὥστε τὴν ξενίην σφίσι μὴ διαλύεσθαι, ἐχαρίζετό τε αὐτοῖς ὅ τι ᾤετο ἐν χάριτι ποιεῖσθαι αὐτοῖς, τά τε ἄλλα καὶ ἐπὶ τῷ παιδὶ αὐτοῦ Ἀμουράτῃ. ἤστην γὰρ αὐτῷ δύω παῖδε, Ἀμουράτης μὲν ὁ πρεσβύτερος, Μουσταφᾶς δὲ ὁ νεώτερος καὶ ἔτι παῖς ὤν. τούτοιν τὸν μὲν Ἀμουράτην ἐς τὴν Εὐρώπην διενοεῖτο καταλιπεῖν, τὸν δὲ ἕτερον ἐς τὴν Ἀσίαν βασιλέα. καὶ ἐπιδιελόμενος τούτοις τὴν ἀρχὴν ἐγκατέλιπεν, C ὥστε παῖδας ἐμμένειν οἷς ἐπέτρεψε, τῷ Βυζαντίου βασιλεῖ κατὰ ταῦτα συλλαμβάνειν, ἤν τις ἀδικῇ, μὴ ἐπιτρέπειν, ἀλλὰ τῷ ἀδικουμένῳ τιμωρεῖν κατὰ δύναμιν. ἐς τὴν μέντοι Δακίαν στρατεύματα ἐπιπέμψας τήν τε χώραν ἐληΐζετο καὶ Παιονοδακίαν, Βρενέζεω τοῦ Χότζα Θερίζεω θεράποντος ἡγουμένου τε καὶ ἔργα μεγάλα ἀποδεικνυμένου, πρὸς δὲ καὶ Μιχαήλεω τοῦ τῆς Εὐρώπης αὐτῷ στρατηγοῦ στρατιάν τε ἄγοντος ἐπὶ τοὺς Παίονας καὶ Παιονοδακίαν καὶ δὴ καὶ Ἰλλυριούς. Βρενέζῃ μέντοι ἔργα ἀποδεδειγμένα ἄξια λόγου κατὰ τὴν Εὐρώπην, ἄλλα τε καὶ ἐπὶ Ἰλλυριοὺς καὶ Παίονας καὶ V. 91

5. ἐνεργεῖ P

nerunt. imperante Mechmete, bene se res Graecorum habebant, tum quantum ad regnum tum quantum ad reliquum vivendi pertinet modum. postquam in foedus et pacem coierant cum Mechmete, nihil antiquius Mechmetes ducebat quam summa ope niti ut Graeci quamplurimi istam pacem facerent. proinde quidvis potius malebat quam ut peregrini cum his in colloquium congrederentur. nec cessabat in eos dona conferre, quaecunque iis grata fore arbitrabatur. reliqua etiam faciebat propter filium suum Amuratem. erant enim ei duo filii, Amurates, qui natu erat maximus, et Mustaphas annis iunior et adhuc puerilem agens aetatem. Europae imperium illi, huic Asiae testamento relinquere parabat. cumque ita filiis quae ad regnum attinere visa sunt disposuisset, iussit ut extremam suam voluntatem servarent; Byzantioque regi subsidio venirent, quandocunque ab hostibus vim pateretur, et fortiter virum defenderent ab his qui ei iniuriam facerent. cum copias misisset in Daciam, eam diripiebat. nec a Pannodacia manus abstinuit, Chotza Therozis ministro exercitum ductante contra Pannones et Pannodaciam Illyriosque. Brenezis, qui arma inferebat Illyricis et Pannonibus et Peloponneso, extant in Eu-

ἐπὶ Πελοπόννησον στρατευσαμένῳ, πλεῖστα δὲ τοῦ γένους τού- D του ἐπὶ στρατηγίας καθισταμένου, σὺν τοῖς Εὐρώπης ἱπποδρόμοις, ὥστε αὐτῷ αὐτίκα ἑπομένους, ὅποι ἂν ἐξηγοῖτο, ἀποφέρεσθαι κέρδη ὡς μέγιστα, καὶ ἐπὶ τῶν Ἑνετῶν χώραν ἀφικόμενον καὶ ἀνδραποδισάμενον τὴν χώραν, ἀνδράποδα ἀπαγαγόμενον πλουτίσαι τοὺς ἑφεπομένους Τούρκων καὶ μέγα ὀλβίους ἀποδεικνύναι ὡς ἐν βραχεῖ. ἔστι δὲ καὶ οἰκοδομήματα ἀνὰ τὴν Εὐρώπην ἁπανταχῇ οὐκ ὀλίγα Βρενέζῃ πεποιημένα, ὥστε ὡς μνημόσυνα ἐς τοὺς ἐπιγιγνομένους καταλιπεῖν. ὕστερον μέντοι ἐπὶ Μωσέως τοῦ Παιαζήτεω συνέβη τε αὐτὸν μεταστησάμενον ἐπὶ Μεχμέτη τὸν ἀδελφὸν τοῖς γε παισὶν αὐτοῦ ὑφέσθαι τῆς στρατηγίας, καὶ τὸ ἐντεῦθεν ἡγουμένους τοὺς Βρενέζεω παῖδας, Ἰησοῦν καὶ Βαράγκον καὶ δὴ P. 116 καὶ Ἀλίη, ἐπὶ μέγα δόξης ἀφίκοντο ἀνὰ τὴν Εὐρώπην. ᾤκει δὲ Βρενέζης τὰ Ἰανιτζὰ πόλιν, ἣν δὴ αὐτὸς οἰκῆσαι παρὰ βασιλέως ἐδωρήθη, ἑαυτῷ τε καὶ τοῖς παισὶν ἀνήκειν τὴν πόλιν, αἰεὶ ὁτουοῦν ἂν δέοιτο ὑπηρετοῦντας τῷ βασιλεῖ. τὰ δὲ Ἰανιτζὰ πόλις ἐστὶ παρὰ τῷ Ἀξιῷ ποταμῷ, καὶ κῶμαι παρ' αὐτὴν τὴν πόλιν Βρενέζεω οὐκ ὀλίγαι. ἐπὶ μέντοι Μεχμέτεω μετὰ δὲ Βρενέζη Τουραχάνης παρὰ Τούρκοις εὐδοκι- B μῶν ἐπὶ στρατηγίας τε ἐξήει, ἐπισπομένων αὐτῷ τῶν ἱπποδρομίων, καὶ τύχῃ χρώμενος ἀγαθῇ τὴν πολεμίων ἐληίζετο

7. οἰκοδομημένα P

ropa designata opera plurima memoratu digna; plurima quoque egregia facta Turcorum, cum Europae equitibus adiuncti stipendia facerent, maxime celebrantur. cum enim expediti sequerentur quocunque dux duxisset, commoda plurima reportabant. et cum eodem duce incursionem fecissent in Venetorum regionem Turci, magna praeda hominum aliarumque rerum abacta admodum opulenti facti sunt. itaque haud modica aedificia a Breneze in Europa sunt excitata, ut posteris monumentum forent. postea autem cum relicto Mose ad fratrem eius transiisset, imperatoriam dignitatem filiis concessit. hinc cum Brenezis filii Iesus Barancus et Halies provincia ducendi in hostes fungerentur, brevi ad maximam claritatem pervenere. Brenezes inhabitavit Ianitzam urbem, quam a rege, ut ibi domicilium haberet, dono acceperat. filiis autem praeceptum erat ut, quandocunque necessitas postularet, haud cunctarentur ministrare et inservire regi. Ianitza urbs sita est prope flumen Axium (quem hodie Vardani vocant), nec pauci iuxta coluntur Brenezis vici. sub Mechmete post Brenezem Turachanes eximius dux erat, qui praeerat equitibus, qui undique ad ipsum concurrebant. ususque prospero rerum successu praedas agebat plurimas ex hostili regione.

χώραν. εἶχε δὲ Βυδίνην τότε ὑπὸ Μεχμέτεω ἐπιτετραμμένος ἄρχειν, καὶ ἐς Παιονίαν διαβαίνων, μέγα εὐδοκιμῶν ἐν τῇ Εὐρώπῃ.

imperavit Bydinae, cum huic a rege Mechmete esset praefectus; transiensque in Pannoniam multum gloriae per universam Europam obtinuit.

ΛΑΟΝΙΚΟΥ ΧΑΛΚΟΚΟΝΔΥΛΟΥ
ΑΘΗΝΑΙΟΥ
ΑΠΟΔΕΙΞΙΣ ΙΣΤΟΡΙΩΝ Η ΠΕΜΠΤΗ.

LAONICI CHALCOCONDYLAE
ATHENIENSIS
HISTORIARUM
DE ORIGINE AC REBUS GESTIS TURCORUM
LIBER QUINTUS.

P. 117 V. 92 1421 Ἐπεὶ δὲ ἐτελεύτησεν ὁ Παιαζήτεω Μεχμέτης βασιλεύσας ἔτη δυοκαίδεκα, διεδέξατο τὴν βασιλείαν Ἀμουράτης ὁ Μεχμέτεω, παῖς αὐτοῦ πρεσβύτερος γενόμενος. ἐτύγχανε δὲ ὢν ἐν Προύσῃ κατὰ τὴν Ἀσίαν, καὶ καθίστη τὰ ἐν τῇ ἀρχῇ. Ἕλληνες δὲ ὡς ἐπύθοντο τελευτήσαντα Μεχμέτη καὶ Ἀμουράτη ἐς τὴν βασιλείαν καταστῆναι, μετεπέμποντο ἀπὸ Λήμνου Μουσταφᾶν τὸν Παιαζήτεω λεγόμενον παῖδα γενέσθαι. ἔτυχε δὲ διατρίβων ἐν Λήμνῳ, ὑπὸ Ἑλλήνων ὡς μετριώτατα

Mortuo Mechmete, qui Paiazitis fuit filius, regni sui anno duodecimo, imperii moderamen Mechmetis filius Amurates, qui caeteros aetate anteibat, nactus est. ea tempestate versabatur Prusae, quae Asiae urbs est, quaeque ad regni curam attinere visa sunt constituebat. Graeci Mechmetis morte et Amuratis in regnum successione accepta accersebant e Lemno Mustapham, qui Paiazitis ferebatur esse filius et tum temporis in Lemno agebat mediocri custodia a Graecis

φυλαττόμενος. ἐπεὶ δὲ μεταπεμπόμενοι τοῦτον διεκωλύοντο ὑπὸ πνευμάτων ἐν τῷ τότε δὴ παρόντι βιαζομένων τὴν ἐπὶ Ἑλλήσποντον ἀπὸ Λήμνου ἄνοδον, καὶ ἔδει ἐν τῇ Εὐρώπῃ αὐτοὺς καθιστάναι βασιλέα, (τριήρεσι γὰρ διεκώλυον τὴν P. 118
διάβασιν Ἀμουράτεω ἐπὶ τὴν Εὐρώπην, καί τήν γε Προποντίδα τε καὶ Ἑλλήσποντον εἴργοντες ἐς τὴν διάβασιν) κατέπλευσαν ἐπὶ Καλλιούπολιν τῆς Χερρονήσου, πόλιν εὐδαίμονα, ὡς ἐνταῦθα τῷ τε Μουσταφᾷ ἐσπλέοντι συγγένοιντο, καὶ ἀποδεικνύμενοι αὐτὸν βασιλέα Εὐρώπης τήν τε Καλλιούπολιν σφίσιν ἀποδοῦναι πείσαιεν Μουσταφᾶν. ἐνταῦθα μὲν οὖν Ἕλληνες ἀπὸ ἀφροσύνης σφᾶς τε αὐτοὺς καὶ τὰ πράγματα ἵεντο διαφθεροῦντες ὡς τὸ ἐπίπαν, καὶ παρὰ βραχὺ δὲ τὴν πόλιν αὐτῶν ὑπὸ Ἀμουράτεω ἀνδραποδισθῆναι. ὡς γὰρ δὴ οἱ τοῦ Ἀμουράτεω ἄρχοντες καταλειφθέντες ἐν τῇ B
Εὐρώπῃ ὑπὸ Μεχμέτεω τοῦ πατρὸς ὥστε αὐτῷ πείθεσθαι διαδεχομένῳ τὴν βασιλείαν, ἀφίκοντο ἐπὶ Βυζαντίου βασιλέα πρεσβευόμενοι ἐς τὰ παρόντα σφίσι μὴ ἀξυμφώνους γενέσθαι τοὺς Ἕλληνας, καὶ περὶ σφᾶς νεωτερίσαι παρ' ἃ καὶ ἐπηγγελμένοι εἶεν τῷ βασιλεῖ Μεχμέτῃ. ἦν δὲ Παιαζήτης τῶν ἀρίστων τοῦ βασιλέως, πρύτανίς τε καὶ στρατηγὸς τῆς Εὐρώπης γενόμενος. οὗτος οὖν ἀγχοῦ ἐλάσας τῷ Βυζαντίου βασιλεῖ διεπρεσβεύετο ἐπὶ τὰς σπονδὰς παρακαλῶν, ὥστε σφίσιν αὐτὸν ἐπιτήδειον εἶναι, ἐδίδου ὁμήρους τῶν ἀρίστων C

asservatus. cum autem hi qui Mustapham vocatum ierant, prohiberentur ventis adversis, qui transitum a Lemno in Hellespontum violenter eo tempore auferebant, regemque in Europa constitui oporteret, triremibus intercipiebant Amuratis in Europam traiectum, Propontidem et Hellespontum intercludentes, ne posset traiicere. ipsi vero navigaverunt Callipolim, quae est urbs Chersonesi, rerum omnium abundantia affluentem, ut ibi in colloquium cum adveniente Mustapha venirent. quem ubi imposuerunt regem Europae, petentes ut sibi restitueret Callipolim, facile impetrarunt. hic quidem Graeci semetipsos resque suas planissime perditum ivere prae nimia imprudentia; urbsque eorum parum abfuit quin capta et direpta ab Amurate fuisset. nam duces Amuratis relicti in Europa ab Mechmete patre, ut filio in regnum succedenti obtemperarent, accessere ad Byzantium regem, petentes ne in praesentiarum Graeci dissentire velint, neve ipse quid contra ea quae promisisset regi Mechmeti, novarum rerum cupidine moliretur. Paiazites, unus de numero optimatum regis, declaratus iudex et dux Europae, legatus ibat ad regem Byzantium, adhortans eum ad foedus faciendum, quo iuberetur auxiliaris esse, si quando usus postularet. et quo magis regis animum commo-

V. 93 παῖδας δυοκαίδεκα, χρυσοῦ δὲ μυριάδας εἴκοσι καὶ χώραν πολλὴν Καλλιουπόλεως, ὅσην ἂν ἕλωνται παρὰ σφίσι. ταῦτα δὲ ὑπισχνεῖτό τε καὶ ἐδίδου, ὥστε αὐτὸν Μουσταφᾶν μὲν ἐᾶν χαίρειν, μηδετέροις δ' ἐπιβοηθεῖν, ἀλλ' ἐᾶν αὐτοὺς μαχομένους, ὁπότεροι ἂν περιγένωνται, τὴν βασιλείαν περιέπειν. ταῦτα μὲν οὖν διεκηρυκεύετο πρὸς τὸν τότε βασιλέα Ἑλλήνων Ἰωάννην, νέον τε ἔτι ὄντα καὶ οὐδὲν μικρὸν ἐπινοοῦντα αὐτῷ ἐς τὴν ἀρχήν· ἐδόκει τε γὰρ αὐτῷ ἄμεινον ἔχειν ἐς σφᾶς αὐτοὺς περιπίπτοντας, καὶ δίχα γενομένης αὐ-
D τῷ τῆς ἀρχῆς τὰ πράγματα αὐτῷ ἐν βελτίῳ τε ἔσοιτο τοῦ καθεστηκότος, καὶ ἐπὶ μεῖζον ἀφίξοιτο εὐδαιμονίας, δεομένων ἀμφοῖν, καὶ τῆς γε ἀρχῆς ἐπ' ἀμφοτέρα γινομένης πλέοντι περιγίνεσθαι ἀπ' ἀμφοῖν, ὥστε μηδετέρῳ δὴ ταλαντεύεσθαι. τοῦτο δ' εἶναι, ἐπειδὰν τὴν ἀρχὴν ἄμφω ἐπιδιελόμενοι σφίσι βασιλεύωσιν. ὕστερον μέντοι οὐδὲ τοῦτο ταύτῃ προδιετίθετο, ἀλλ' ἐπὶ τὸν Μουσταφᾶν δῆλος ἦν τῷ παντὶ γινόμενος ὁ βασιλεὺς οὑτοσί. βασιλεύων δὲ ὁ πατὴρ αὐτοῦ, τἀναντία τούτου φρονῶν, ἠξίου μὴ παραβαίνειν τὰς σπονδάς, ὡς οὐδενὶ ὅτῳ παραβαίνοντι τὰς σπονδὰς ἔσοιτ' ἂν ὑγιὲς ὁτιοῦν ἢ ἔμ-
P. 119 πεδον, ὥστε μὴ σφαλλομένῳ ἐπιτρίβεσθαι. καὶ τοῦτ' ἔφασκε λογίζεσθαι δεῖν, ὁποτέρῳ γε δέοι προστίθεσθαι, ἔνθα τά τε

9. αὐτοῖς? 21. δέει P

veret, offerebat obsides duodecim nobilium filios. his addebat aureorum myriades viginti, necnon regionem plurimam Callipoli adiacentem, quamcunque eo loci Graeci petiissent. haec quidem pollicebatur et dabat, ut Mustapham rex Byzantius missum faceret neutrisque suppetias ferret, sed ipsos potius sineret concurrere infestis armis, eumque quem belli eventus regem declarasset, regno praeesse pateretur. haec praeconis ad voce Ioannem tum Graecorum regem iuvenem, nec quicquam moderati, ut sibi pararet regnum, cogitantem, referebantur. arbitrabatur namque res suas melius habituras, si illi inimicitias inter se gererent hostiles; seque feliciore rerum successu usurum quam hactenus, si inter se discordias fovissent. etiam hinc magnam sibi pollicebatur felicitatem fore, si ambo sua opera indiguissent. praeterea haec cogitatio eius subibat animum, quod si inter se diviserint regnum et id super utroque recubuerit, fore ut facile superare possit utrumque, cum neutri, quantum ad regni magnitudinem spectat, tum sit conferendus. id autem commodissime evenire putabat, si regnum inter se distribuerent et ambo regnarent. post longe aliam tenebat sententiam: totus namque stetit a partibus Mustaphae. pater autem Ioannis, qui regnum administrabat, diversum a filio sentiebat. nam censebat foederum religionem nec temerandam nec violandam esse; et qui id fecisset, nihil boni ei unquam

χρήματα τῆς βασιλείας καὶ νεήλυδες πάρεισι. καὶ τοῦτο μέντοι ἀναμφιλόγως ἔχον ἐμπεδοῦν ἔφασκε τὴν αἵρεσιν, ἥντινα ἂν ἕλοιτο. ἐκεῖνα δ' αὖ ἐνδοιασμὸν παρεχόμενα, ὅποι τε καὶ ᾗ ἐπὶ τὴν βασιλείαν ἀφίκοιτο, κίνδυνον σφίσι τὸν μέγιστον παρέχεσθαι. ταῦτα μέντοι τοῖς Ἕλλησιν ἐπ' ἀμφότερα γινομένοις ταῖς γνώμαις, ἅτε τοῦ νέου βασιλέως τὸ κράτος ἔχοντος τότε τῶν Ἑλλήνων, ταύτῃ τῇ γνώμῃ ἐτίθεντο, καὶ αἱρούμενοι τὰ πράγματα ᾗ ἐξηγεῖτο, ἐπὶ τὴν Μουσταφᾶ ἐτράποντο B τύχην, ὥστε καθιστάναι αὐτὸν βασιλέα καὶ τὴν Καλλιούπολιν σφίσιν ἀποδίδοσθαι. ὡς δὲ ταῦτα ἐδέδοκτο, καὶ ἐπλήρουν τὰς ναῦς. ἀφίκετο οὖν ὁ βασιλεὺς ἐπὶ τὴν Καλλιούπολιν, καὶ ὡς οὐδὲν παρεγένετο ἀπὸ Λήμνου ὁ Μουσταφᾶς, προαγόμενος πράσσειν τι ἐς τὴν ἀρχὴν τῆς Εὐρώπης καὶ πολιορκεῖν τὴν Καλλιούπολιν, Ζουναΐτην τὸν τῆς Σμύρνης ἄρχοντα, παρόντα δὴ τότε σφίσιν ἅτε ἑταῖρον ὄντα τοῦ Μουσταφᾶ, ὡς παρεσομένου δὲ αὐτίκα κἀκείνου, ἐξεπιδεικνύντες τοῖς Τούρκοις, ἐπολιόρκουν τὴν ἄκραν τῆς Καλλιουπόλεως. μετ' οὐ πολὺν δὲ χρόνον παρεγένετό τε καὶ αὐτὸς C Μουσταφᾶς, καὶ τά τε ἄκρα τῆς πόλεως προσεχώρησεν αὐτῷ, καὶ ἡ Χεῤῥόνησος αὐτίκα ἐδέξατο βασιλέα καὶ εἵπετο ὅπου ἐξηγεῖτο. τὴν μέντοι Καλλιούπολιν ὁ Ἑλλήνων βασιλεὺς ἠξίου ἀποδίδοσθαι. ὁ δὲ ἕτοιμος μὲν εἶναι ἀποδώσειν καὶ μὴ ἀντιτείνειν, τοὺς μέντοι Τούρκους χαλεπῶς τε

10. τε P

eventurum; nec quicquam prohibere quo minus cum errato suo pereat penitus. verum haec in deliberationem proponenda esse ei qui deliberet utri patri sit adhaerendum: ab hac parte locentur opes regni et peregrinorum militum robur: ab altera, quae modo diximus, ponantur. illa quidem dubiam faciunt electionem. haec etiam ambiguitatem inferunt, dum cogitaret qua et quomodo regnum sibi subiiceret, et interim Graecorum res in summum adduceret discrimen. in hunc modum ad utramque partem Graecorum animi propendebant. vicit tamen sententia, quae iubebat regem iuvenem, qui rerum tum potiebatur, sequi quocunque duxisset. proinde adiungebantur Mustaphae, eumque regem pronuntiarunt, hac tamen condicione ut Callipolim amissam reciperent. his ita decretis, copiis navalibus implevere naves, quibus instructus rex venit Callipolim. cum autem nondum eo advenisset Mustaphas e Lemno, volens ipse interim aliquid agere quod pertineret ad regnum Europae, Callipolim obsidere statuit. aderat et Zunaites Smyrnae princeps, Mustaphae familiaritate iunctus. porro dicebant Turcis, qui convenerant, Mustapham brevi affuturum. oppugnabant arcem Callipolis; nec multo post dedidit se

οἴσειν, καὶ σφίσι μὴ ἐν καλῷ, οὔπω ἔτι κατειργασμένης τῆς
ἀρχῆς, ἀποβαίνειν τὰ πράγματα. ὑπέσχετο μέντοι, ἐπειδὰν
ἐς τὴν ἀρχὴν παραγένηται, τήν τε πόλιν ἀποδιδόναι, καὶ εἴ
τι ἄλλο ἐπιτήδειον αὐτοῖς οἴοιτο ἔσεσθαι, μήτε τοῦ λοιποῦ
D ἂν στερῆσαι αὐτούς ποτε. πείσας μὲν οὖν τότε τοὺς Ἕλλη-
νας ἤλαυνεν ἐς τὸ πρόσω τῆς Εὐρώπης, καὶ προσεχώρει τε
αὐτῷ σύμπαντα ὡς βασιλεῖ τε ὄντι σφῶν καὶ Παιαζήτεω
V.94 παιδὶ γενομένῳ. ἐπεὶ δὲ Παιαζήτης ᾔσθετο ἐπιόντα ἐπὶ
Ἀδριανούπολιν (ἐπετρόπευε δὲ τῆς πόλεως καταλειφθεὶς ὑπὸ
Μεχμέτεω βασιλέως ἐπὶ τῇ τελευτῇ αὐτοῦ), συνήγειρέ τε τὸ
ἀπὸ τῆς Εὐρώπης στράτευμα, καὶ ὑπήντα τῷ Μουσταφᾷ
ἀγχοῦ τῆς Ἀδριανουπόλεως, ὡς διὰ μάχης ἐλευσόμενος καὶ
μὴ ἐπιτρέπων, ἣν δύναιτο, ἐπὶ τὰ βασίλεια πορεύεσθαι. ὡς
P.120 μέντοι συνταξάμενος ἐπῄει, οἱ Τοῦρκοι οὖν αὐτίκα ᾖεσαν
ἅμα πάντες ἐπὶ τὸν Μουσταφᾶν καὶ προσεκύνουν ὡς βασι-
λέα, καὶ αὐτός τε Παιαζήτης προσεκύνησε καὶ τὰ πράγματα
παρεδίδου τῷ Μουσταφᾷ, χρῆσθαι αὐτοῖς ὅ τι ἂν βούλοιτο.
τοῦτον μὲν οὖν λαβὼν αὐτίκα αὐτοῦ διεχρήσατο, καὶ ἀπε-
λαύνων τήν τε πόλιν ἔσχε καὶ ἐπὶ τὰ βασίλεια παρεγένετο.
μετὰ δὲ ταῦτα συστραφεὶς ἵετο ἐπὶ τὴν Ἀσίαν, ὥστε καὶ
τὴν τῆς Ἀσίας βασιλείαν ἑαυτῷ προσκτησόμενος. διαβὰς δ'

advenienti Mustaphae Chersonesus; et illico eum regem consalutavit, et quocunque duxisset, promptissime sequebantur. Callipolim sibi tradi postulabat Graecorum rex. Mustaphas paratus erat eam dare nec abnuere. Turci rem istam iniquis patiebantur animis, cum parum honestum sibi fore arbitrarentur, regno nondum satis firmato, urbem talem Graecis donare. praeterea in dubio adhuc esse, cum regnum nondum satis sit munitum, quonam res erupturae sint. pollicebatur itaque Graecis rex, cum in regnum venisset, se ipsis traditurum Callipolim: praeterea si aliquid aliud, quod sibi utile fore putarent, postulaverint, eos porro haud repulsam passuros. Graecis in hunc modum persuasis recta in Europam contendit. quem advenientem omnes ut regem et Paiazitis filium excipiebant, eiusque imperio se submittebant. cum Paiazites compertum haberet Mustapham Adrianopolim pergere (urbem enim istam regebat iussu Mechmetis, qui moriens id ei mandarat) exercitu ex Europa congregato obviam processit Mustaphae quam proxime Adrianopolim, quasi pugnaturus, nec permissurus, si tantae vires fuissent, eum in regni sedem procedere. cum Mustaphas agmine composito accederet, Turci confestim omnes ad Mustapham transitionem faciunt, eumque ut regem adorant. praeterea Paiazites provolutus ad genua Mustaphae eum ut regem adoravit, resque eidem tradidit, ut pro suo arbitrio ageret. hunc continuo necari iussit; ducensque ex-

ἐς τὴν Ἀσίαν, ἔχων τό τε Εὐρώπης στράτευμα καὶ ἀζάπιδας τοὺς Τούρκων πεζοὺς οὕτω καλουμένους, καὶ ἐς τὴν Ἀσίαν διεπόρθμευσεν ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν Ζουναΐτην Σμύρνης ἄρχοντα, ἐπὶ Ἀμουράτην ἤλαυνε τὸν Μεχμέτεω. τὸν μέντοι B βασιλέα Ἑλλήνων πέμπων πρέσβεις ἠξίου μηδὲν ἐς τὴν ξενίαν αὐτοῦ νεωτερίζειν, ὡς τὴν Καλλιούπολιν αὐτίκα ἀποδώσοντος, ἐπειδὰν τὴν Ἀσίαν αὐτῷ ὑπάγηται, καταστρεψάμενος τὸν ἀδελφιδοῦν. παρῆσαν δὲ καὶ Ἀμουράτεω παρὰ βασιλέα Βυζαντίου ἀφικόμενοι, χρηματίζοντες καὶ οὗτοι ἐπὶ σφίσι γενέσθαι βασιλέα, καὶ ὑπισχνούμενοι δώσειν ὅ τι ἂν βούλοιντο. οἱ μὲν οὖν Ἕλληνες ἀνεβάλλοντο μὲν ἐπὶ χρόνον τὰς πρεσβείας, τέλος δὲ τὴν μὲν Ἀμουράτεω ἀπεπέμψαντο πρεσβείαν, τὰ δὲ Μουσταφᾶ ἑλόμενοι πράγματα προσίεντό τε καὶ ἐπέσχον, ὥστε αὐτοῖς σπένδεσθαι κατὰ πᾶν δεδογμένον αὐτοῖς. ἡ μὲν οὖν Ἀμουράτεω πρεσβεία ἀφικομένη παρὰ τὸν στρατὸν τοῦ Ἀμουράτεω διεφήμισεν ὡς τοὺς Ἕλληνας σφίσι C προσκτήσαιντο συμμάχους. ἐτύγχανον δ' ἐν Λοπαδίῳ τῇ λίμνῃ ἐστρατοπεδευμένοι, καὶ τήν τε χώραν διέλυσαν τοῦ Μιχαλικίου αὐτοῦ, ᾗ ἐς τὴν θάλασσαν ἐξιοῦσα ἡ λίμνη διὰ στενοῦ ἐπὶ πολὺ προϊοῦσα ἐκδιδοῖ, γέφυρα δὲ ἐστι. Μουσταφᾶς δὲ καὶ αὐτὸς ἐλάσας ἀγχοῦ ἐστρατοπεδεύετο παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ τῆς λίμνης. ἐνταῦθα ὡς ἀφίκοντο οἱ πρέ-

5. πέμπειν P

ercitus Adrianopolim eam urbem cepit, et in regni sedem progressus est. his peractis conversus proficiscebatur contra Asiam, volens et Asiae regnum subigere. traiecit autem in Asiam cum Europae exercitu et Turcorum peditibus, quos azapidas vocant. adhibuit et Smyrnae principem Zunaitem. his copiis in Asiam transportatis, aggressus est Amuratem Mechmetis filium. legatos misit ad regem Graecorum, qui orarent ne quid, quia peregre abesset, innovarent: se, ubi primum Asiam subegerit et Amuratem devicerit, ipsis redditurum Callipolim. adveniebant quoque ad regem Byzantium legati ab Amurate, dicentes, si arma Amuratis sequantur, fore ut quicquid peterent ab Amurate consequerentur. Graeci legationes differebant aliquandiu: postremo Amuratis legatos dimiserunt. Graeci autem secuti sunt partes Mustaphae: cui persuaserunt ut secum foedus faceret condicionibus quas ipsi praescripsissent. legati Amuratis cum rediissent in castra, rumorem sparserunt se Graecos sibi auxiliares parasse. eo tempore castrametati sunt prope Lopadium lacum, et regionem Michalicii eo loci evastaverunt, ubi lacus multis ambagibus per angustias in mare effunditur et pons est. Mustaphas igitur accedens castra locavit iuxta fluvii ostium, qui ex lacu promanat. eo cum advenissent Amuratis legati, commodum sane vulgarunt rumorem, quasi

σβεις Ἀμουράτου, τύχῃ τινὶ ἀγαθῇ χρησάμενοι διεφήμιζον ὡς συμμαχομένους σφίσι τοὺς Ἕλληνας ἔχοντες ἥκοιεν, καὶ ἐπὶ τὸ στρατόπεδον τοῦ Μουσταφᾶ ἐφώνουν ἐπαπειλοῦντες ὡς ἀπειλημμένῳ ἐν τῇ Ἀσίᾳ. ἐνταῦθα φήμης παρὰ τὸ στρα-
D τόπεδον τοῦ Μουσταφᾶ γενομένης, ὡς σφίσιν οὐ παρῆσαν οἱ πρέσβεις, καὶ δεδιότες μὴ οἱ Ἕλληνες τὸν Ἑλλήσποντον κατασχόντες τοῦ λοιποῦ μὴ ἐπιτρέπωσι διαβαίνειν καὶ αὐτοῦ ταύτῃ ἀπόλοιντο, λόγον τε σφίσιν ἐδίδοσαν, καὶ νυκτὸς ἐπιγενομένης αὐτὸς ὁ Ζουναΐτης ὁ τῆς Σμύρης ἡγεμὼν ἀπέδρα ἐπὶ τὴν πατρῴαν ἀρχήν, καὶ οἱ λοιποὶ τῶν ἀρχόντων ἀπεδίδρασκον οὐδ' ὁπωσοῦν ἐπισχόντες, τύχῃ τοῦ Μουσταφᾶ οὐκέτι ἀγαθῇ πιστεύοντες. ὡς δὲ Μουσταφᾶς ἰιδὼν τὰ στρατεύματα αὐτῷ ἀποδιδράσκοντα, περὶ αὐτῷ δεδιὼς ἀπέδρα καὶ αὐτὸς ἐπὶ θάλασσαν. Ἕλληνες μέντοι, ὡς ἑλόμενοι Μουσταφᾶν σφίσι σύμμαχον εἶναι, ἐπλήρωσαν τὰς ναῦς καὶ ἐπέπλεον
P. 121 ἐπὶ Ἑλλήσποντον. βασιλεὺς δὲ αὐτὸς Βυζαντίου ἐν Προικονήσῳ γενόμενος ἐσχόλαζέ τε περὶ γυναικὸς ἔρωτα, ἧς ἐρῶν ἐτύγχανε (. . γὰρ ἱερέως θυγάτηρ), καὶ οὐκ ἐν δέοντι παρεγένετο ὥστε διακωλῦσαι Ἀμουράτην ἐς τὴν Εὐρώπην ἀφικέ-
V. 95 σθαι. Ἀμουράτης μὲν δή, ὡς τάχιστα ἡμέρα ἐγεγόνει, καὶ κατεῖδε τὸ στρατόπεδον τῶν πολεμίων κενόν, καὶ ὑπὸ τὴν οἰχομένην νύκτα ἀποδρᾶν τε, καὶ τούς τε ἀζάπιδας χεῖρας ὀρέγοντας, ὅτι ὑπὸ τῶν σφετέρων προδεδομένοι εἶεν ἱππέων,

6. δεδοιότες P, more suo. 13. δεδοιὼς P

sua legatione effecissent ut Graeci sibi auxilio venirent. minitantes igitur vociferabantur contra Mustaphae exercitum, quasi periturus sit in Asia interclusus. haec fama cum volaret in castris Mustaphae, necdum legati praesto essent quos ipse miserat, veriti ne Graeci occupantes Hellespontum, nec transitum in Europam darent, et milites Mustaphae in Asia intercidererent, inter se collocuti sunt varia. postea, ea nocte quae insecuta est, Zunaites Smyrnae princeps Mustapha relicto ad paternum profugit principatum. aufugerunt et reliqui duces, parum fidentes Mustaphae fortunae. ut animadvertit Mustaphas suos exercitus dilabi, sibi quoque tandem timens fuga praepropera ad mare se proripuit. Graeci qui elegerant Mustapham eumque sibi socium paraverant, navibus imposuere milites, et navigarunt in Hellespontum. rex autem Byzantii cum foret in Periponneso, amori importuno mulieris, quam amabat, operam dabat. haec autem sacerdotis cuiusdam filia erat. nec sane admodum opportune ibi vivebat: transitu enim in Europam Amurates arcendus erat. Amurates, ut primum dies illuxit, castra hostium vacua et deserta deprehendit. azapides autem manus supplices tendebant, rogantes ne in se a suis

τόν τε ῥοῦν τῆς λίμνης ἔζευξε, καὶ διέβη ὡς εἶχε τάχους, καὶ τούς τε ἀζάπιδας διεχρήσατο ἅπαντας αὐτοῦ. μετὰ δὲ ταῦτα ἐδίωκε κατὰ πόλεις τὸν Μουσταφᾶν. Μουσταφᾶς μὲν οὖν ἔφθη διαβὰς ἐς Καλλιούπολιν, Ἀμουράτης δὲ ἐντυχὼν B νηὶ μεγίστη τῶν Ἰαννΐων αὐτοῦ ταύτῃ ὁρμιζομένῃ, συντίθεται τῷ νεὼς δεσπότῃ διαπορθμεῦσαι αὐτόν τε ἅμα καὶ τοὺς νεήλυδας καὶ τοὺς τῶν θυρῶν αὐτοῦ καὶ ἅπαν τὸ στράτευμα ἐς τὴν Εὐρώπην, καὶ ἐτέλεσεν αὐτῷ ἀργύριον ἱκανόν, ὅσον δὴ ᾐτήσατο. καὶ διεπόρθμευσεν αὐτῷ τε ἅμα καὶ τῷ στρατῷ ἅπαντι. ὁ μὲν οὖν Μουσταφᾶς ὡς ἐπύθετο διαβεβηκότα Ἀμουράτην ἐς τὴν Εὐρώπην, καὶ ᾗ ὅποι σώζοιτο ἀνεώρα ἐπισφαλὲς ἂν ἤδη ἁπανταχῇ, ἅτε Ἀμουράτεω καταλαβόντος αὐτόν, ἐσώζετο ἐπὶ τὸ ὄρος Τουγάνου οὕτω καλούμενον. ὁ C δὲ ὡς ἐδίωκε, καὶ ἐπισχών, πάντα ζητῶν οὐκ ἀνίει, σαγηνεύσας τε τὸν χῶρον αὐτοῦ ᾗ ἐδόκει καὶ ἤδη ὑποψίαν παρεῖχεν ἐνταυθὶ κρύπτεσθαι, εὗρεν αὐτὸν ὑπὸ θάμνῳ τινὶ κεκρυμμένον, καὶ ζωγρήσας ἀγχόνῃ τε τὸν λαιμὸν αὐτοῦ ἐχρήσατο. 1423 ἐτελεύτησε δὲ Μουσταφᾶς βασιλεύσας ἐν τῇ Εὐρώπῃ ἔτη τρία. Ἀμουράτης δὲ ὡς ἔσχε τὴν ἀρχὴν ἀμφοῖν ταῖν ἠπείροιν, ἐς τὴν βασιλείαν κατέστη.

Οὐ πολλῷ δὲ ὕστερον ἐστρατεύετο ἐπὶ Βυζάντιον καὶ

12. ὃν?

equitibus foede desertos et proditos saevire statueret. ponte igitur Amurates lacum eum iungens, quam celerrime ad hostium castra transiit, et azapides omnes occidit. hinc persequi statuit Mustapham omnes urbes, quascunque adiisset. Mustaphas autem praeverterat Amuratem transfretando Callipolim. Amurates vero nactus navim Ianuensium maximam, quae forte appulerat, paciscitur cum gubernatore ut se cum peregrinis et ianuae militibus necnon cum reliquis copiis in Europam traduceret. mercedem gubernatori solvit maximam, pecuniam quantam petiisset, impigre numerando. et in hunc modum cum copiis suis universis in Europam transvectus est. Mustaphas ubi comperit Amuratis in Europam transitum, iamque minus minusque tutus foret ubique fratre imminente, circumspiciens locum ubi exitium evitaret, fuga se contulit in montem quem incolae Toganum nominant. eo secutus est Amurates, nec desinebat omnia indagare ut potiretur Mustapha. cum autem quasi verriculo lustrasset et indagine circumdedisset locum in quo eum se occultare suspicabatur, sub arbusto latitantem offendit. cuius, ubi vivus in manus venerat, guttur laqueo fregit. interfectus est itaque Mustaphas, cum regnasset in Europa annis tribus. Amurates ubi utramque continentem in potestatem redegit, rex creatus est.

Nec multo post expeditionem sumpsit adversus Byzantium et

ἐπὶ τοὺς Ἕλληνας. προέπεμψε δὲ Μιχάλογλην, πρυτανέα τε ἅμα καὶ στρατηγὸν τῆς Εὐρώπης. καὶ λαβὼν οὗτος τὸ ἀπὸ D τῆς Εὐρώπης στράτευμα ἅπαν, ἐπέδραμέ τε τὴν Βυζαντίου χώραν. μετὰ δὲ ταῦτα ἐστρατοπεδεύετο, καὶ αὐτίκα ἐπήλαυνεν Ἀμουράτης ὁ Μεχμέτεω, τούς τε νεήλυδας ἔχων καὶ τὴν θύραν ἅμα, ὅσοι βασιλεῖ ἕπονται ὅποι ἂν στρατεύηται. καὶ τὰ Ἀσίας στρατεύματα ἔχων παρεγένετο, καὶ ἐστρατοπεδεύετο ἀπὸ θαλάττης εἰς θάλατταν.

Αἱ μὲν οὖν θύραι ὧδέ πῃ ἔχουσαι. πεζοὶ πάρεισι τῷ βασιλεῖ ἀμφὶ τοὺς ἑξακισχιλίους καὶ ἐνίοτε ἀμφὶ τοὺς μυρίους· ἀπὸ γὰρ τούτων φρουράν τε φαίνει ἐν ταῖς ἀκροπόλεσι, καὶ αὖθις ἑτέραν ἐς τὴν χώραν ἐκείνων καθίστησι.
P. 122 παρεγένοντο δ' αὐτῷ τῇδε. παῖδας λαβὼν αἰχμαλώτους ὅσους ἂν τύχῃ ἀνδραποδισάμενος, κατατίθεται. ἐς τὴν Ἀσίαν παρὰ τοῖς Τούρκοις, ὥστε τὴν φωνὴν ἐκμαθεῖν ἕνα ἕκαστον. καὶ ἐπὶ δύο ἢ καὶ τρία ἔτη διαγενόμενοι τήν τε γλῶσσαν ἐκμανθάνουσι, καὶ συνιέντες τῆς φωνῆς ὅσα ἂν δυνηθῶσιν, αὖθις συλλέγει ἀφ' ὧν κατέθετο ἐς δισχιλίους καὶ πλείους τούτων. ἄγει δ' αὐτοὺς ξύμπαντας ἐς τὴν Καλλιούπολιν, καὶ καθίστησιν αὐτοὺς ἐς τὰ πλοῖα, ναυτίζεσθαί τε καὶ διαπορθμεύειν ἐς τὴν Ἀσίαν ἀπὸ τῆς Εὐρώπης τοὺς βουλομένους διαβαίνειν. ὀβολὸν δ' ἔχει ἕκαστος ἐνταῦθα, καὶ χιτῶνα τοῦ

4. ἀπήλαυνεν P

Graecos. praemisit ducem Michaloglen, qui iudicis et ducis partes in Europa gerebat. hic assumptis Europae exercitibus incursionem fecit in Byzantii regionem, et postea ibi castrametatus est. hunc illico secutus est Amurates Mechmetis filius, ducens secum peregrinos et ianuae milites, necnon reliquos omnes qui belli tempore regem comitari assolent. adduxit secum et Asianum exercitum, castraque posuit, quae ab una parte maris initium sumentia excurrebant usque in alteram partem maris.

Ianuae autem sic se habent. peditum adsunt apud regem semper sex milia, interdum decem milia. ex his praesidiarios milites eligit, quos arcibus defensandis imponit, et in eorum locum subrogat alios. ad hunc autem modum ianuae milites ad regem conveniunt. pueros quoscunque potest acquirere, ubicunque terrarum captivos abductos, Turcis in Asia in disciplinam tradit, ut Turcicam linguam addiscant; penes quos si manserint duobus aut tribus annis, linguam apprehendunt Turcicam. ubi linguam didicerunt quantum satis est, ex eorum numero quos in disciplinam dedit, bis mille aut ter mille eligit, quos Callipolim perducit navibusque praeficit, ut artem nauticam discant, transvehentes homines qui in Asiam ex Eu-

ἐνιαυτοῦ. μετ' οὐ πολὺν δὲ χρόνον μεταπέμπονται ἐς τὰς B θύρας αὐτοῦ, παρέχων τε μισθόν, ὅσος ἂν ἱκανὸς εἴη ἐς τὸ ἀποζῆν αὐτούς, ἐνίοις· ἄλλοις δὲ πλείω παρέχεται. καὶ ἐς δεκαδάρχας τε καὶ πεντηκοντάρχας καὶ ἐνωμοτίας καὶ λόχους τεταγμένοι τε καὶ διακεκριμένοι στρατεύονται κατὰ τὰ συσσίτιά τε καὶ τῷ δὶς μηνοὺς εἶναι σὺν τῷ δεκαδάρχῃ ἐς τὴν V. 96 σκηνήν. σκηνοῦσι δὲ οὗτοι ἀμφὶ τὸν βασιλέα, ἐς τὸν ἑαυτοῦ χῶρον ἕκαστος ἐχόμενος τοῦ ἑτέρου. ἐντὸς μέντοι τούτων οὐδενὶ ἔξεστι σκηνοῦν, πλὴν τῶν τοῦ βασιλέως παίδων καὶ τῶν θησαυρῶν τοῦ βασιλέως καὶ τοῦ κοιτῶνος. σκηνὴ δὲ ἐρυθρὰ αὐτῷ. ὁτὲ μὲν δύο, ὁτὲ δὲ καὶ τρεῖς ἵδρυνται αὐτῷ τῷ βασιλεῖ, ἀπὸ πίλου ἐρυθροῦ χρυσόπαστοι, καὶ σκηναὶ ἕτεραι ἀμφὶ τὰς πεντεκαίδεκα, πᾶσαι ἐντὸς τῶν νεηλύδων. ἐκ- C τὸς δὲ σκηνοῦσιν οἱ λοιποὶ τῶν θυρῶν ἄνδρες, οἵτε ἀμουραχόριοι καὶ οἰνοχόοι οἱ λεγόμενοι παρ' αὐτῶν σαραπτάριοι, καὶ σημαιοφόροι οἱ λεγόμενοι ἐμουραλάμιοι, καὶ οἱ τῶν θυρῶν πρυτανεῖς, βιξόριδες οὕτω καλούμενοι, τοῦ βασιλέως ἀγγελιαφόροι. οὗτοι μὲν οὖν μεγάλοι τε ὄντες, καὶ ὡς πλείους ἐπαγόμενοι θεράποντας, πληθὺν παρέχονται ἄπλετον. μετὰ δὲ σύλικτάριδες ἔνεισι τῶν βασιλέως θυρῶν ἀμφὶ τῶν τριακοσίων, οἳ ἱππεῖς ὄντες ἀπὸ τῶν νεηλύδων ἐπὶ ταύτην παραγίνονται τὴν χώραν. μετὰ δὲ τούτους χαρίπιδες οἱ ἐπήλυδες

12. πίλου Hammer I p. 493 et 661, πηλοῦ P 19. παρέχοντας P

ropa iter instituunt. quotannis singuli tunicam et gladium instar verum accipiunt. haud multo tempore post citantur in regis ianuas, quibus rex suppeditat mercedem sufficientem, ut hinc vivere possint; aliisque ampliorem tribuit mercedem. qui sub decurionibus et quinquagenariis constituti, et in cohortes cuneosque discreti, stipendia faciunt, manentque mensibus duobus in tentorio decurionis. hi tentoria sua figunt, ut se mutuo contingant quam proxime apud regem. intra hos nulli tendere tentorium licet, praeterquam filiis regis. inter hos sunt thesauri regii cubiculumque regium. tentorium rubrum, quandoque duo et aliquando tria, regi ponuntur, quae fiunt ex argilla rubea, et inaurantur. sunt et alia tentoria regis intra peregrinos, numero ferme quindecim. extra tendunt reliqui ianuae milites, Amurachorii et pocillatores, quos Saraptarios vocant; signiferi, quos Emuralamios nominant; ianuarum iudices, quos Bixorides appellant, et regis tabellarii. hi omnes cum numero sint plurimi, numerus tamen eorum augetur, cum accedunt ministri et famuli, quos habent complures. illos quos modo diximus, ordine sequuntur in ianuis regis Sylictorides circiter trecenti, qui sunt equites ex peregrinis in istum or-

καλούμενοι, ἀπό τε Ἀσίας καὶ Αἰγύπτου καὶ δὴ καὶ Λιβύης
D αὐτῷ ἐς τὰς θύρας παραγενόμενοι, καὶ ἀρετῆς ἀντιποιούμενοι ἔναντι βασιλέως, μεμισθωμένοι αὐτῷ ὁ μὲν πλείονος ὁ δὲ ἐλάττονος. τούτων δὲ ἔχονται ἀλοφατζίδες οἱ μισθωτοὶ καλούμενοι, ἀμφὶ τοὺς ὀκτακοσίους. τούτων δὲ αὖθις ἔχονται οἱ σπαχίδες καλούμενοι, ἀμφὶ τοὺς διακοσίους. οὗτοι δ' εἰσὶν οἱ τῶν ἀρχόντων παῖδες, ὧν τοὺς μὲν ἀπὸ τοῦ κοιτῶνος ἐκβαλὼν ἐς ταύτην αὐτοὺς καθίστησι τὴν χώραν, τοὺς δὲ ἐπιλεξάμενος ἐνταῦθα ἔχει ὡς ἀνδρῶν παῖδας ἀγαθῶν γενομένους.

Καὶ αἱ μὲν θύραι, ὡς ξυνελόντι μοι φάναι, οὕτω τετάχαται· δύο δὲ ὑπὸ βασιλέως ἐς ξύμπασαν αὐτῷ τὴν ἀρ-
P.123 χὴν καθίστανται στρατηγοί, ὁ μὲν τῆς Εὐρώπης ὁ δὲ τῆς Ἀσίας. καὶ τούτων ἑκατέρῳ ἕπονται τάτε στρατεύματα καὶ οἱ ἄρχοντες, ὅποι ἂν ἐξηγῶνται, ἐπειδὰν ἐπαγγείλῃ αὐτοῖς ὁ βασιλεύς. ἕπονται δὲ αὐτοῖς καὶ οἱ ὕπαρχοι παρ' αὐτοῖς σημαιοφόροι καλούμενοι· ἐπειδὰν γὰρ ἐς τὴν ἀρχὴν ταύτην ὑπὸ βασιλέως καθίστηται, σημαίᾳ τε δωρεῖται αὐτὸν ὁ βασιλεὺς ὡς στρατηγῷ γενομένῳ καὶ πολλῶν ἄρχοντι πόλεων. τούτῳ δ' αὖ τῷ ὑπάρχῳ ἕπονται οἱ τῶν πόλεων ἄρχοντες ὅποι στρατεύηται. χωροῦσι δὲ ἅπαντες κατὰ ταῦτα ἑπόμενοι τοῖς σφετέροις αὐτῶν ἄρχουσί τε καὶ στρατηγοῖς, ἐπειδὰν ἐς
B τὸ βασιλέως παραγένωνται στρατόπεδον. αὕτη σχεδὸν ἡ τῶν

20. αὖ τῷ] αὐτῷ P

dinem allecti. hos attingunt Caripedes peregrini, isto nomine notati, quod ab Asia Aegypto et Africa in ianuas veniant; et exercentes fortitudinem mirabilem mercede a rege conducuntur, alius quidem maiore, alius vero minore. his ordine proximi sunt Alophatzides, qui mercenarii dicuntur, qui numero sunt octingenti. ab his tendunt Spachides, quorum cohors ducentos complectitur. hi sunt ducum et principum filii, quos de suo cubiculo rex eiiciens in istum militiae ordinem mittit, et alios in eiectorum locum substituit.

In hoc grege eos retinet qui virorum bonorum et illustrium filii censentur. hic est, ut paucis dicam, ianuarum ordo. universae suae monarchiae rex duos praeponit imperatores: unus Europae, quem Bassam Romani appellant, alter Asiae (Bassa Anatoliae sive Natoliae dictus) imperator nuncupatur. hos sequuntur copiae universae et duces reliqui, quocunque molem avertunt, iussu regis. comites se iis iungunt et praesides, quos signiferos nominant: ubi enim in istum ordinem fuerint allecti a rege, donantur signis, ut qui duces et praesides sint multarum urbium. hunc praesidem comitantur urbium principes et magistratus, quocunque cum exercitu proficiscitur, cum

στρατευμάτων αὐτῷ διάταξις. οἱ μέντοι ἱπποδρόμοι τάττονται καὶ οὗτοι ἐς τοὺς σφῶν αὐτῶν ὑπάρχους. οἱ δὲ ἀζάπιδες ὑφ' ἑνὶ ἄρχοντι ἑπόμενοι, ἐς ταὐτὸ γιγνόμενοι στρατεύονται.

Ἀμουράτης μὲν οὖν ὡς ἐπέλασε, καὶ ἐπολιόρκει Βυζάντιον ἀπὸ θαλάττης εἰς θάλατταν, τηλεβόλοις τε ἔτυπτε τὸ τεῖχος καὶ ἐπειρᾶτο, οὐ μέντοι κατέβαλέ γε. εἷλκον δὲ οἱ λίθοι τῶν τηλεβόλων σταθμὸν τρία ἡμιτάλαντα. ὥστε ἀντεῖχε τὸ τεῖχος ὀχυρόν τε ὂν πρός τε τούτους τοὺς τηλεβόλους, καὶ οὐδαμῇ ὑπεῖκον. δοκεῖ μὲν οὖν ὁ τηλεβόλος οὐ πάνυ παλαιὸς εἶναι, ὥστε συνιέναι ἡμᾶς ἐπὶ νοῦν ἐληλυθέναι τοῖς παλαιοῖς τὸ τοιοῦτον. ὅθεν μέντοι ἀρχὴν ἐγένετο, καὶ τίνες ἀνθρώπων ἐς τὴν τοῦ τηλεβόλου ἀφίκοντο πεῖραν, οὐκ ἔχω διασημῆναι ἀσφαλῶς· C οἴονται μέντοι ἀπὸ Γερμανῶν γενέσθαι τε τούτους, καὶ τούτοις ἐπὶ νοῦν ἀφῖχθαι ταύτην τὴν μηχανήν. ἀλλ' οἱ μὲν τηλεβολίσκοι ἀπὸ Γερμανῶν καὶ ἐς τὴν ἄλλην κατὰ βραχὺ ἀφίκοντο οἰκουμένην· οἱ δὲ τηλεβόλοι οὐκ ἂν εἰδείην σαφῶς ἰσχυρίζεσθαι ὅθεν ἐγένοντο τὴν ἀρχήν. τὴν V.97 δὲ ἰσχύν τε καὶ φορὰν τὴν ἀμήχανον, ᾗ ἐπιφερόμενος ὁ λίθος, ὅποι ἂν γένοιτο, μεγίστην τοῖς σώμασιν ἐπιφέρεται βλάβην, ἥ τε κόνις παρέχεται τῷ παντί, καὶ ἀπὸ ταύτης ἐνήνεκται. τῆς δὲ κόνεως τὸ νίτρον ἔχει τὴν δύναμιν, ἀνθρακί τε καὶ θείῳ ἐπιμιγνυμένη. οὕτω δὲ ὡς ἄμεινον ἔχει τὰ τῆς οἰκου- D

universi sequantur suos magistratus et duces. ubi ventum fuerit in castra regis, hic ferme ordo servatur. equites secernuntur in suos tribunos. Azapides sub uno duce collecti stipendia faciunt.

Amurates cum venisset Byzantium urbemque eam obsedisset, moenia tormentis quatiebat. tentabat quidem murum sternere, at coepta parum succedebant. globi, quos bombardae torquebant, ponderis erant maximi. murus autem cum foret firmus et admodum munitus, tormentis nihil cessit. bombardam ego arbitror non esse inventum antiquum, ut quis credat a veteribus esse repertam. unde autem originem sumpserint, aut qui mortales primi bombardas in usu habuerint, haud certo tradere possum. quidam Germanos putant bombardis esse usos, iisdemque bombardarum inventum acceptum ferunt. reliqui autem bombardarii ex Germania progressi in universum paulatim pervenere orbem. unde autem originem ceperint bombardae, certo assignare non possum. impetus vero bombardarum et mirabilis vis cognoscitur inde, quod corporibus, vel iis quae resistendi vim habent, damnum infert maximum. pulvis autem impetum illum violentum, quo fertur, ministrat. nitrum enim, ex quo pulvis

μένης ἐς τὰ ὅπλα. διὸ καὶ ἀρετῆς ἔλαττον ἴσχει αὐτῇ τὴν δαιμονίαν ἐκείνην φοράν. δοκεῖ δὲ γενέσθαι σιδηρῆς μὲν τὸ πρῶτον, μετὰ δὲ ταῦτα τὴν τοῦ χύματος καλουμένου ἐπιφράσασθαι πεῖραν, τοῦ χαλκοῦ σὺν τῷ κασσιτέρῳ μεμιγμένου, εὐδοκιμεῖν ἐς τὸ ἀφιέναι τὸν λίθον ἄμεινόν τε καὶ βιαιότερον. τὸ μέντοι σχῆμα διεξιέναι οἷόν ἐστί, περίεργον μέντ' ἂν εἴη πᾶσι καθορῶσιν ἁπανταχῇ. ἐπίμηκες δ' ὄν, ὅσον δ' ἂν εἴη ἐπιμηκέστερον, τοσούτῳ ἐπὶ μήκιστον ἀφίησι τὸν λίθον, ὥστ' ἂν γενέσθαι τηλεβόλον, ᾗ ἐπυθόμεθα, ἀφιέντα τὸν λίθον
P. 124 ἐπὶ ἑβδομήκοντα σταδίους, πέριξ σειομένην τὴν γῆν κατ' ἄμφω τὼ διαστήματε. δοκεῖ δ' ἡ τοῦ πυρὸς αὕτη δύναμις τόν τε ψόφον ἀπεργάζεσθαι καὶ τὴν φοράν, ᾗ ὁ λίθος φέρεται· βιαζόμενον γὰρ τὸ στοιχεῖον τοῦτο πάμμεγα καὶ δαιμόνιόν τι δύνασθαι δοκεῖ, ᾗ δὴ καὶ τὸν σκηπτὸν ἀπεργάζεται τὸ πνεῦμα εἰς τὸ πῦρ μεταβάλλον. εἴτε μὲν οὖν τὸ μὴ κενὸν συγχωρεῖσθαι, τόν τε ψόφον γίνεσθαι καὶ τὴν φοράν, εἴτε ταύτῃ τοῦ πυρὸς τιθεμένου τῇ δυνάμει, ἐπειδὰν προσβιαζόμενον ὕλης ἐπιλάβηται, ἀνάγκη ταῦτα ἀπεργαζόμενον ἴσχειν ἄμφω
B ταῦτα. δοκεῖ δὲ τοῦ πυρὸς τὴν δύναμιν εἶναι ταύτην ξύμπασαν, καὶ τὴν κόνιν ἀξεῖς πεφυκυῖαν, τὴν τοῦ πυρὸς δύ-

4. μεμιγμένον P

conficitur, addito carbone et sulfure, vim istam tenet. orbis iudicat bombardas arma et munimenta esse optima. quapropter etiam minus virtutis bombardae habent, quamvis earum impetus pene sit divinus. primam bombardam existimo fuisse ferream. postea demum opinor fusionem aeris et stanni esse excogitatam, quae per conflationem fit. quae quidem materia iuxta censetur esse firmissima et optima; eoque conferre plurimum, ut globus in mirandam emittatur longitudinem. formam autem bombardarum describere, cum ubique hominum oculis obiectae sint, supervacaneum fore iudicavi. bombarda oblonga est; et quanto longior est, tanto longius eiaculatur globum. accepimus enim bombardam fuisse, cuius globus impetu emissus superaverit septuaginta stadia, cum finitima terra, quae interiacebat, utrobique moveretur. potentia autem ignis, ut apparet, tonitru procurat, necnon violentam lationem lapidis. nam si ignis inclusus cogatur, magna quaedam, et quae nostrum plane captum excedunt, efficere novit. etiam fulmen nascitur, si ventus in ignem mutatur. hinc igitur et tonitru et latio fit, sive quod concedatur non esse vacuum in rerum natura, sive quod ignis efficacia accedat; quae si violenter urgeatur et materiam apprehendat sibi accommodam, utraque ista praestare possit. omnis autem ista potentia in ignem, ut causam, referenda est. huc additur et pulvis qui nactus est ignis

ναμιν, διὰ τοῦ πυρὸς κινεῖν τε ἀμήχανον καὶ βάλλειν μακρότατα.

Τότε μὲν οὖν Ἀμουράτης ὁ Μεχμέτεω τηλεβόλοις καὶ ἄλλαις μηχαναῖς πειρασάμενος τοῦ τείχους περὶ ἡμέρας ἱκανὰς προσέβαλε τῷ τείχει ἁπανταχῇ καὶ ἑλεῖν ἐπειρᾶτο. ἐξεκρούσαντο δὲ αὐτὸν ἀπό τε τῶν κλιμάκων καταβαλόντες οἱ Ἕλληνες τοὺς βασιλέως νεήλυδας, καὶ ἐνίων ἀποταμόμενοι τὰς κεφαλὰς ἀπηνέγκαντο. Ἀμουράτης δ', ὡς οὐδὲν προεχώρει ἡ τοῦ ἄστεως αἵρεσις, ἤσχαλλέ τε καὶ ἠθύμει, ᾤετο δὲ αἱρήσειν τὴν πόλιν. διατρίβοντι δὲ αὐτῷ ἐπεκηρυκεύοντό τε C οἱ Ἕλληνες· ἀλλ' οὐδ' ὣς ἤθελεν αὐτοῖς σπένδεσθαι. μετ' οὐ δὲ πολλὰς ἡμέρας ἀπεχώρει ἐπ' οἴκου, καὶ τὰ στρατεύματα αὐτῷ διῇκεν. οἱ μὲν οὖν Ἕλληνες πρέσβεις τε ἔπεμπον παρὰ Ἀμουράτη καὶ ἐδέοντο· ὁ δὲ ἀπεπέμπετο καὶ οὐ προσίετο τὴν ἀξίωσιν. μετὰ δὲ ταῦτα, ὡς πειρωμένοις τοῖς Ἕλλησι τῶν σπονδῶν οὐδὲν προεχώρει, τρέπονται ἐπὶ τὸν Μουσταφᾶν τὸν Μεχμέτεω παῖδα. ἔτυχε δὲ διατρίβων παρὰ τῷ Καραμάνῳ τὴν δίαιταν ποιούμενος. πρέσβεις δὲ πέμψαντες μετεπέμποντο ἐπὶ Βυζάντιον τὸν παῖδα, γεγονότα ἀμφὶ τὰ τρισκαίδεκα ἔτη. ἐπεὶ δὲ ἀφίκετο ἐς Βυζάντιον ὁ παῖς, ἔπεμπε λόγους παρὰ τοὺς Τούρκους, μεγάλα τε ὑπισχνούμενος, καὶ D μετιὼν ἕκαστον ἐπηγγέλλετο διπλασίω πάντων ὧν εἶχεν ὑπὸ

potentiam, intercedente igne, movere. quibus omnibus coniunctis fit ut lapis sive globus in tantam longitudinem iaciatur.

Amurates igitur Mechmetis filius, aggressus murum, ubique admotis bombardis et aliis machinis eum capere nitebatur. at Graeci moenia fortiter defendebant, de scalis deturbantes peregrinos regis. quidam amputatis capitibus devolvebantur ad suos. Amurates cum nihil efficeret, licet omnia tentaret quae ad urbem capiendam pertinerent, tristitia affectus est; et animi anxius usque putabat se urbem occupaturum. moras igitur cum necteret nec ab urbis obsidione discederet, Graecorum legati veniunt pacem et foedus petentes. at ipse Graecos in foedus suscipere aspernabatur; nec multis diebus post re infecta domum reversus est. copiae vero eius omnes dilabebantur ad sua. Graeci legatos ire iusserunt ad Amuratem, oratum pacem; quos dimisit Amurates, ipsorum petitionem aversatus. cum igitur Graeci affectarent summis votis pacem, nec tamen eam impetrarent, ad Mustapham convertuntur, Mechmetis filium. ea tempestate is apud Caramanum agebat, victum et necessaria ab eo capiens. missis igitur legatis Graeci Mustapham Mechmetis filium, cum natus esset annos tredecim, accersunt. puer ubi Byzantium venit, sermones sparsit per Turcos, magnis promissis eos accendens; prehensabat singulos, qui-

Ἀμουράτεω. καὶ ηὐτομόλησαν μέν τινες Τοῦρκοι παρὰ τὸν παῖδα, οὐ πολλοὶ δέ. ὁ μέντοι παῖς ἐς τὴν Ἀσίαν διαβάς, συνεπιλαβομένου καὶ τοῦ Ἑλλήνων βασιλέως, τό τε Ἱερὸν καλούμενον ἐξεπολιόρκησε, καὶ προσελαύνοντι αὐτῷ διὰ τῆς V. 98 Ἀσίας προσεχώρουν τε οἱ ἀπὸ τῆς Ἀσίας Τοῦρκοι ἅτε βασιλέως παιδὶ ὄντι. ἐνταῦθα Ἀλιάζης ὁ οἰνοχόος ἐπίκλην, τοῦτον τὸν παῖδα ἐπιτετραμμένος ὑπὸ Μεχμέτεω, συντίθεται P. 125 προδοσίαν τῷ Ἀμουράτῃ ὥστε καταπροδοῦναι αὐτῷ τὸ παιδίον. καὶ ὡς συνέθετο αὐτῷ, ἔπρασσεν ὥστε τὸν παῖδα αὐτῷ παραδοίη, διεσήμαινέ τε πέμπων ἄγγελον ὅποι διατρίβων τυγχάνοι ὁ παῖς. ὡς μὲν οὖν ἐς Νίκαιαν ἀφίκετο ὁ παῖς, τήν τε Νίκαιαν ὑπηγάγετο, καὶ ἐνταῦθα διατρίβων ὁ παῖς μετῄει τοὺς κατὰ τὴν Ἀσίαν ἀρίστους. καὶ ὡς ἤδη χειμὼν ἦν, διεκωλύετο ἐς τὸ πρόσω τῆς Ἀσίας ἰέναι. ἐνταῦθα πυθόμενος Ἀμουράτης παρὰ Ἀλιάζεω τοῦ σαραπτάρη τήν τε διατριβὴν τοῦ παιδὸς ἐν τῇ πόλει, λαβὼν ἀμφὶ τοὺς ἑξακισχιλίους τῶν θυρῶν, ὡς εἶχε τάχους, ἀφικόμενος ἐπὶ τὸν B Ἑλλήσποντον καὶ διαβὰς ἤλαυνεν εὐθὺ Βιθυνίας. ἐπιπεσὼν δὲ ἄφνω ἐς τὴν πόλιν συλλαμβάνει τε τὸν παῖδα αὐτοῦ ταύτῃ, παραδιδόντος αὐτῷ τοῦ Ἀλιάζεω. ὁ μὲν γὰρ παῖς, ἅτε τοῦτο πυθόμενος, κατέφυγεν ἐπ' αὐτόν, ὡς ἐπὶ σωτηρίαν σφίσι τράπωνται· ὁ δὲ κελεύων μὴ δεδοικέναι τὸν παῖδα, ἐπέμενε τὸν ἀδελφὸν τοῦ παιδός, καὶ ἐλθόντι ἐς τὰ βασίλεια τῆς πό-

bus promittebat duplum eorum quae sub Amurate habuissent accepturos. et quidam Turci, at pauci, ad puerum istum transfugiunt. puer autem transgressus in Asiam, auxilio Graecorum regis instructus, locum qui templum nominatur expugnavit. iter facienti per Asiam Turci qui ibi erant adiungebantur, ut qui esset regis filius. ibi tum Aliazes cognomento Saraptares, sive pocillator, cui ab Mechmete puer ille commissus erat, per proditionem Amurati puerum tradere paciscitur. pactis autem satis firmatis conclusum est ut puer Amurati proderetur. misso itaque nuntio significavit Amurati ubinam terrarum puer ageret. cum puer Nicaeam venisset, urbem eam cepit; et cum ibi moraretur, optimates Turcorum conciliabat. hiems erat, qua prohibebatur puer longius procedere. Amurates cum intellexisset puerum Nicaeae versari, nuntiante id Aliaze Saraptare, assumptis sexies mille iauuarum militibus, venit quam ocyssime in Hellespontum, et transiens recta abiit in Bithyniam. et cum inopinatus et improvisus irruisset in urbem, puerum ab Aliaze proditum comprehendit. puer enim excitus tumultu confugerat ad Aliazem, cui obediebat, ut se defenderet ab imminenti periculo. Aliazes puerum metum omittere et bono animo esse iubet, et sic eius fratrem expectat. cui ubi

λεως ἐνεχείρισε τὸν παῖδα αὐτῷ. τοῦτον μέντοι ὁ Ἀμουράτης λαβὼν ἀγχόνῃ ἀνεῖλεν, ᾗ νομίζεται παρ' αὐτοῖς. λέγεται δὲ Τεζητίνη ἄνδρα γένους τοῦ βασιλείου τοῦ Ἐρτζιγάνης βασιλέως, ἀφικόμενον τῷ παιδὶ σύμμαχον, ὡς ἐπύθετο τοὺς πολεμίους ἐπὶ τὴν πόλιν ἀφῖχθαι, ἐλάσαντα ἐς μέσους τοὺς πο- C λεμίους τόν τε Μιχαλίην τὸν τῆς Εὐρώπης στρατηγὸν καὶ πρυτανέα ἀνελεῖν, πολέμιον αὐτῷ ὄντα, καὶ συχνοὺς ἄλλους ἀνελόντα καὶ αὐτὸν τελευτῶντα ἀποθανεῖν.

Τότε μὲν δὴ Ἕλληνες οὕτω ἐπεπράγεισαν, ἑλόμενοι αἵρεσιν ἐναντίαν τῷ Ἀμουράτῃ· τὴν μέντοι Θέρμην τῆς Μακεδονίας ἀπέδοντο Ἑνετοῖς, ἀδύνατα εἶναι νομίζοντες σφίσι παραδοῦναι τὴν πόλιν ἐς τὸν περιόντα τότε Ἀμουράτεω. Ἀμουράτης μὲν δὴ ἐπὶ Θέρμην μετὰ ταῦτα ἐστρατεύετο, καὶ ἐπολιόρκει τὴν πόλιν προσέχων ἐντεταμένως, καὶ προσῆγε τῷ τείχει μηχανάς. καὶ οὐδὲν προυχώρει αὐτῷ ἡ τῆς πόλεως D αἵρεσις. ἐνταῦθα, ὡς λέγεται, συντίθεται τοῖς ἐν τῇ πόλει προδοσίαν· ᾧ, λέγεται, ὑπορύσσοντες ἀπὸ τῶν οἰκιῶν ὀρύγματα ἐκτὸς φέροντα καὶ ἑάλωσαν ὑπὸ Οὐενετῶν, ᾗ λέγεται. καὶ οἱ ὀρύσσοντες ἀπέδρασαν ἐς τὸ τοῦ Ἀμουράτεω στρατόπεδον, καταβάντες ἀπὸ τοῦ τείχους. ὕστερον μέντοι ἀπὸ τῆς ἄκρας ὡς προσέβαλεν, εἷλέ τε κατὰ κράτος τὴν πόλιν καὶ ἠν-

in regiam urbis sedem processerat, puerum in manus tradidit; quem acceptum laqueo, ut moris est regum illorum, praefocavit. aiunt Tezetinem, virum regio sanguine ortum Erziganis regis, auxilio venisse puero, ut audiverat hostes in urbem penetrasse, et coniecisse se in medios hostes; ubi et Michalinem Europae et ducem et iudicem hostem suum confecit. tandem cum plurimos alios neci dedisset, et ipse occubuit.

Graecorum res tum sic habuerunt, cum secuti essent partem Mechmeti adversam. Thermam Macedoniae Venetis vendidere, impossibile existimantes ut sperarent urbem sibi hanc ab Amurate dari in posterum. his peractis bellum convertit Amurates contra Thermam; quam, ad omnia intentus, summa ope oppugnabat. machinas etiam moenibus admovit; nec tamen coeptis respondebat eventus. tandem proditionem paciscitur cum oppidanis, quibus imperatum erat ut ab domibus suis cuniculos subterraneos agerent, qui extra ferrent. at fossores comprehensi a Venetis, quidam fugerunt in Amuratis castra, descendentes de muro. postmodum ab arce, quam aggressi erant, expugnarunt urbem, expugnatamque diripuere. accepi peregrinos impigre scandentes et superantes moenia urbem cepisse, reliquis deinde accedentibus; quam postmodum diripuere. nec quisquam eorum qui in oppido erant evadere potuit manus hostium. hinc

δραποδίσατο. τοὺς μέντοι νεήλυδας πυνθάνομαι ἀναβάντας
P. 126 ἐς τὸ τεῖχος ἑλεῖν τε τὴν πόλιν, καὶ ἐπισπομένων τῶν ἄλλων ἁλῶναί τε τὴν πόλιν καὶ ἐπὶ ἀνδραποδισμῷ πρὸς τοῦ βασιλέως γενέσθαι. ἀνδραποδισάμενον μέντοι τὴν πόλιν ταύτην οὐδένα ἐξελέσθαι τοῦ ἀνδραποδισμοῦ ἐπυθόμεθα Ἀμουράτη, ὥστε λογίζεσθαι ἡμᾶς ἔχειν, διὰ τὴν προδοσίαν ἐξείλετο αὐτούς. ἐγένετο μὲν οὖν αὕτη μεγίστη δὴ τοῖς Ἕλλησι συμφορά, καὶ οὐδεμιᾶς τῶν πρόσθεν γενομένων αὐτοῖς συμφορῶν λειπομένη. οἵ τε ἄνδρες τῆς πόλεως ἀνὰ τὴν Ἀσίαν τε καὶ Εὐρώπην, αἰχμάλωτοι γενόμενοι, περιήγοντο ἀνδραποδισθέντες. ἡ μέντοι Οὐενετῶν φυλακὴ ἐν τῇ πόλει οὖσα, ὡς ᾔσθετο ἁλῶναι ἤδη τὴν πόλιν, ὥρμητο φυγεῖν ἐπὶ τὴν θάλατταν καὶ
V. 99 ἐπὶ τὰς ναῦς, καὶ ἐμβάντες εἰς ταύτας, ὅσαι σφίσι παροῦσαι
B ἐτύγχανον, ᾤχοντο ἀποπλέοντες. ἡ μέντοι πόλις αὕτη Ἑλληνὶς μεγάλη τε οὖσα καὶ εὐδαίμων ἑάλω ὑπὸ Ἀμουράτεω. τὴν μέντοι πόλιν ἐπέτρεπε τοῖς αὐτοῦ ταύτῃ τῶν περιοίκων ἐνοικῆσαι.

Αὐτὸς δὲ οἴκαδε ἐπανιὼν ἔπεμψε τὸν τῆς Εὐρώπης στρατηγὸν Καρατζίαν ἐπὶ Ἰωάννινα πόλιν τῆς Αἰτωλίας, τὸ τῆς Εὐρώπης στράτευμα αὐτῷ παραδούς. ὁ δὲ ὡς ἀφίκετο ἐπὶ τὴν Αἰτωλίαν, τήν τε χώραν ἐπέδραμε, καὶ ἐληΐσατο ὅσα ἔφθη καταλαβεῖν ἄφνω, μετὰ δὲ ταῦτα ἐλάσας ἐπολιόρκει τὴν πόλιν. Κάρουλος μέντοι ὁ ἡγεμὼν τῆς πόλεως ἤδη ἐτελεύτησε· καὶ ἐπειδὴ παῖς αὐτῷ ἐκ τῆς γυναικὸς

5. ἐξέλευσθον P

reor Amuratem urbem istam per proditionem suo dominio iunxisse. urbs autem haec erat maxima, nec ulla quae modo Graecis parerent inferior. cives eius urbis passim per Europam Asiamque captivi trahebantur. praesidium Venetorum, quod in urbe erat, ut rumore allatum est urbem in potestatem venisse hostium, citato agmine ad mare et naves contendunt; et conscensis navibus quae forte ibi aderant, inde citi solvebant. urbs ista magna opibusque florens ab Amurate occupata est. cum autem eam habitandam assignasset finitimis, qui circa colebant, domum profectus est.

Caratziam Europae ducem arma contra Ioanninam urbem Aetoliae ferre iussit, dato ad eam expeditionem Europae exercitu. hic adveniens incursionem fecit in Aetoliae regionem; et quaecunque occurebant, diripiebat et spoliabat. postea exercitus ad urbem duxit obsidendam. Carolus urbis princeps iam ante obierat mortem. et cum haud tulisset liberos ex uxore sua Rainerii filia, superessent vero filii nothi, Memnon Turnus et Herculius natu maiores, his di-

αὐτοῦ τῆς Ῥαινερίου θυγατρὸς οὐκ ἐγένετο, νόθοι δὲ ἐγένοντο παῖδες, ὅ τε Μέμνων καὶ Τύρνος καὶ Ἑρκούλιος οἱ πρεσβύ- C
τεροι, διένειμε τούτοις μὲν τὴν ἐντὸς τοῦ Ἀχελώου χώραν Ἀκαρνανίας ἐπινέμεσθαι, τὸν δὲ ἀδελφιδοῦν αὐτοῦ, τὸν Λεονάρδου παῖδα, κατέλιπε διάδοχον ξυμπάσης ἤδη τῆς ἀρχῆς αὐτοῦ, καὶ τήν τε Ἄρτην τῆς Ἀμπρακίας μητρόπολιν καὶ Αἰτωλίαν τε καὶ τὴν πόλιν κατέλιπε Καρούλῳ τῷ ἀδελφιδοῦ. οἱ μέντοι νόθοι παῖδες αὐτῷ οὐκ εἰς μακρὰν διενεχθέντες ἀφίκοντο ἐπὶ τὰς βασιλέως θύρας. Μέμνων δ' αὖ ἀφικόμενος, ὃς ἐδόκει τε τῶν ἄλλων συνέσει τε καὶ ἀξιώσει προέχειν, οὗτος δὲ ἀφικόμενος παρὰ τὸν βασιλέα προυκαλεῖτο τε καὶ ἠξίου ἐπὶ τὴν χώραν σφᾶς τὴν πατρῴαν κατάγειν. διὸ δὴ ἐλάσας σὺν τῷ τῆς Εὐρώπης στρατεύματι εἰσῄει. ὁ D
δὲ τῆς Εὐρώπης στρατηγὸς τὴν τῶν Ἰωαννίνων πόλιν ἐπολιόρκει, καὶ χρόνον ἐνδιατρίβων τῇ πολιορκίᾳ ὡς οὐδὲν ἀνίει πολιορκῶν, ὁρῶντες οἱ τῆς πόλεως καὶ ὁ τῆς χώρας ἡγεμών, ἐντὸς ἀπειλημμένος καὶ πολιορκούμενος, προυκαλεῖτο τὸν στρατηγὸν ἐπὶ ξύμβασιν, καὶ αἰτεῖτο αὐτὸν δοθῆναι αὐτῷ τήν τε ἄλλην χώραν τῆς Ἀκαρνανίας καὶ τῆς Ἠπείρου παρὰ βασιλέως, καὶ σπονδὰς αὐτῷ ἐπὶ τούτῳ γενέσθαι, καὶ οὕτω παραδιδόναι τὴν πόλιν. τούτου δὴ γενομένου τήν τε πόλιν παρέλαβε τὸ τοῦ βασιλέως στράτευμα, καὶ αὐτῷ συνεχώρει τὴν Ἀκαρνανίαν καὶ τὴν ἄλλην Ἤπειρον ἐπινέμεσθαι, φόρον ἀπάγοντα τῷ βασιλεῖ τοῦ ἐνιαυτοῦ, καὶ αὐτὸν φοιτῶντα ἐς τὰς βασιλέως θύρας. ὕστερον δὲ ἀφικόμενοι οἱ τοῦ Καρού-

stribuit Acarnaniam, quae sita est inter Acheloi regionem. fratris autem sui Leonardi filium reliquit totius regni successorem. Carolo vero fratris sui filio Arten Ampraciae metropolim et Aetoliam, urbemque concessit. nothi filii haud diu pugnantes relati sunt in numerum ianuarum regis. Memnon autem, qui videbatur reliquis prudentia et auctoritate prior, accessit ad regem, quem rogabat ut se ad patriam reduceret regionem. quapropter cum Europae exercitu hostiliter eam regionem ingressus est. Europae exercitus Ioanniorum urbem obsidione circumvenit; et incumbens aliquanto tempore obsidioni cum nihil proficeret, tandem oppidani et regionis princeps, qui obsessus tenebatur, hostium imperatorem sive bassam ad colloquium evocarunt; in quo princeps sibi dari postulabat a rege reliquam Acarnaniae regionem et Epiri, quae sibi foedere interposito confirmari volebat. quod si impetrasset, se regi urbem traditurum. foedere icto urbem accepit regius exercitus; et Acarnania reliquaque Epirus cessit principi, ut quotannis tributum ferret, et in ianuas regis, quandocunque moneretur, adventaret. postea venientes

λου ἡγεμόνος παῖδες, ὅ τε Ἑρκούλιος καὶ Μέμνων, καὶ οὐκ ὀλίγα κατασχόντες τῆς χώρας ἐπαγομένων τῶν ἐποίκων αὐτούς, πράγματά τε παρεῖχον τῷ ἀνεψιῷ αὐτῶν, καὶ ἦγον καὶ ἔφερον τὴν χώραν καὶ ἐπολέμουν. ὁ μέντοι Κάρουλος καὶ
P. 127 ἀπὸ τῶν θυρῶν τοῦ βασιλέως στράτευμα ἐπαγόμενος ἐπὶ τούτους καὶ ἀπὸ Ἰταλίας, ὡς οὐδὲν ἤνυεν, ἐσπένδετό τε αὐτοῖς καὶ καθυφίετο τῆς χώρας ἧς ἦρχον, ἐφ' ᾧ μηκέτι αὐτῷ τοῦ λοιποῦ παρέχειν πράγματα.

Αἰτωλία μὲν δὴ οὕτω ἐγένετο ὑπὸ βασιλεῖ Ἀμουράτῃ· μετὰ δὲ ταῦτα ὡς Ἕλληνες ἰόντες ἐς τὰς θύρας ἠξίουν σφίσι σπένδεσθαι, εἰρήνην μέντοι ἐποιήσαντο ἐφ' ᾧ τόν τε Ἰσθμὸν καθελεῖν καὶ μηδὲν ἔτι νεωτερίζειν τοῦ λοιποῦ. τὸν μέντοι Τουραχάνην ἐπὶ Πελοπόννησον πέμψας τήν τε Οὐενετῶν χώραν ἐδῄου, καὶ τὸν Ἰσθμὸν καθεῖλε, καὶ πολίσματα ἄττα ἑλὼν τῶν Οὐνετῶν ἠνδραποδίσατο. ἐνταῦθα μὲν οὖν ἐξιόντι
B ἀπὸ Πελοποννήσου συνελέγοντο οἱ τῆς Πελοποννήσου Ἀλβανοὶ περὶ τὴν μεσόγαιον, Δαβίην καλουμένην χώραν, καὶ σφίσι στρατηγὸν ἐστήσαντο, καὶ ἀπόστασιν ἐβουλεύοντο ἀπὸ Ἑλλήνων, ὡς τὸ Τουραχάνεω στράτευμα διαφθείρωσι. Τουραχάνης μέντοι ὡς ἐπύθετο τοὺς Ἀλβανοὺς ἐπ' αὐτὸν ὁμόσε ἰόντας ὡς διὰ μάχης, ὡς οὐκ ἠδύνατο διαφυγεῖν, παρετάξατό τε εἰς μάχην. καὶ οἱ Ἀλβανοὶ συνταξάμενοι καὶ αὐτοὶ

Caroli ducis filii, Herculius et Memnon, nec modicam regionis partem occupantes, congregatis finitimis qui confluebant, molesti erant admodum patrueli suo, cuius regionem agebant et ferebant, bellum gerentes. contra quos Carolus exercitum, quem ex ianuis regis contraxerat, necnon alterum quem ab Italia exciverat, ducens, cum nihil promoveret, pacem cum iis composuit; qua tenebatur ut ipse cederet ea regione cui illi praefuissent, hi vero deinceps nullas molestias Carolo facerent.

Hoc modo Aetolia in Amuratis dicionem devenit. Graeci postea in ianuas regis proficiscuntur, petitum pacem. quibus ea data est his condicionibus ut Isthmum destruerent et nihil in posterum quemadmodum hactenus, rerum novarum molirentur. Turachanem misit in Peloponnesum, qui Venetorum regionem populabatur, et Isthmum diruit. Venetorum autem oppidula quae subegerat, diripuit. cum autem egrederetur Peloponneso, Albani in Peloponneso habitantes colligebantur in mediterranea regione, quae Dabia nuncupatur; electoque duce defectionem a Graecis parabant, et Turachanis exercitum penitus delere volebant. Turachanes ut accepit contra se Albanos praelii cupidos pergere, cum non posset effugere ipsorum impetum, in aciem copias eduxit. etiam Albani in aciem descenderunt et hostes aggressi sunt.

ἐπῄεσαν, καὶ ἐς χεῖρας ἐλθόντες οὐδὲ ἐδέξαντο τοὺς Τούρ- V.100
κους, ἀλλ' ἐτράποντο ἐς φυγήν. ἐνταῦθα ἐπεξελθὼν ὁ Του-
ραχάνης ἐπιδιώκων πολλούς τε ἀνεῖλεν ἐν τῇ διώξει, καὶ οὓς
ἐζώγρησεν ἀμφὶ τοὺς ὀκτακοσίους, αὐτοῦ ἅπαντας διεχρή- C
σατο, καὶ ταῖς κεφαλαῖς αὐτῶν πυργία ἐποικοδομησάμενος
ἀπῄει ἐξελαύνων. τούτῳ μὲν οὖν τἀνδρὶ ἔστι καὶ ἄλλα ἀπο-
δεδειγμένα ἔργα ἐς ἀφήγησιν οὐκ ἀχρεῖα, δι' ἃ δὴ εὐδοκιμῶν
παρὰ βασιλεῖ ἐπὶ τὴν τοῦ Βρενέζεω χώραν ἐχώρει. καὶ ἐπὶ
Δακίαν οὐ πολλῷ ὕστερον πεμφθεὶς ὑπὸ Ἀμουράτεω τήν τε
χώραν ἐδῄωσε, καὶ στρατὸν αὐτοῦ συλλεχθέντα οὐ σμικρὸν
ἐτρέψατο, καὶ νίκην ἀνείλετο περιφανῆ ἀνδράποδά τε καὶ
λείαν πολλήν.

Τοῖς μὲν οὖν Ἕλλησι θαμὰ ἰοῦσιν ἐπὶ τὰς θύρας αὐτοῦ, 1424
καὶ ἄνδρας τοὺς παρὰ σφίσι πρωτεύοντας ἄλλους τε δὴ καὶ D
Νοταρὰν τὸν κυρίου Λουκᾶν ὄλβον ἐπιπέμψασι, σπονδὰς
ἐποιήσατο. ὁ μὲν οὖν Ἑλλήνων βασιλεύς, ὡς εἰρήνη ἐγένετο,
ἔπλει ἐπὶ Πελοπόννησον, μεταπεμπομένου τοῦ ἀδελφοῦ Θεο-
δώρου τοῦ Σπάρτης ἡγεμόνος ὃς ὡς καὶ πρότερον ἤια λέξων,
διὰ τὸ πρὸς τὴν γυναῖκα αὐτοῦ τὴν ἀπὸ Ἰταλίας ἔχθος αὐ-
τῷ γενόμενον ὥρμητο ἐπὶ τὴν Ναζηραίων ἰέναι δίαιταν. ὡς
μέντοι ἐς Πελοπόννησον ἀφίκετο ὁ Βυζαντίου βασιλεύς, τόν
τε ἀδελφὸν αὐτοῦ Κωνσταντῖνον ἐπαγόμενος ὡς διαδεξόμενον

15. ἐπιπέμψας P 18. ὃς om P

cum autem Turcorum impetum sustinere non possent, in fugam vertuntur. quorum caedem maximam Turachanes insecutus in fuga fecit. capti sunt octingenti, quos omnes eo loci obtruncavit; ex quorum capitibus cum turriculas extruxisset, abscessit. vir ille et alia memoratu digna facta designavit; propter quae cum in maximo honore penes regem foret, etiam in regionem Brenezis et in Daciam iter intendit. nec multo post iussus ire ab rege cum exercitibus regionem evastavit, et conscriptum ibi exercitum haud parvum in fugam compulit; ex quo praelio redibat victoria memorabili illustris, plurimam tum mancipiorum tum aliarum rerum vehens praedam.

Cum Graecis igitur Amurates cum frequenter venirent in ianuas, mittentes viros primarios, opibus reliquaque felicitate claros, inter quos et Notaram et Carolucam (immo domini Lucae filium), tandem pacem composuit. Graecorum rex, ubi primum pax convenisset, navigavit in Peloponnesum accersito fratre Theodoro, qui Spartam regebat. rex propter odium, ut antea significavimus, quo prosequebatur uxorem, quam ab Italia duxerat, statuerat Nazaraeorum assumere habitum. cum autem in Peloponnesum venisset Byzantii rex, adducens secum fratrem Constantinum, ut in eum transferret regnum,

τὴν ἀρχήν, μετεμέλησέ τε αὐτίκα καὶ οὐκ ἔφασκεν ἰέναι ἔτι, P. 128 *μὴ ἐπιτρεπόντων τῶν τῆς χώρας ἀρίστων. διηλλάγη μέντοι καὶ τῇ γυναικὶ μετὰ ταῦτα, καὶ ἐβίου ἡδέως συνὼν αὐτῇ τοῦ λοιποῦ. ὁ μέντοι Ἑλλήνων βασιλεὺς πρός τε τὸν τῆς Ἠπείρου ἡγεμόνα τὸν Κάρουλον πόλεμον ἐξήνεγκε, καὶ Κλαρεντίαν τῆς Ἤλιδος μητρόπολιν ἐπολιόρκει. μετ' οὐ πολὺν δὲ χρόνον, ὡς οὐδὲν αὐτῷ προεχώρει πολιορκοῦντι, ἡρμόσατο τὴν ἀδελφιδοῦν ἡγεμόνος, Λεονάρδου δὲ θυγατέρα, ἐπὶ τῷ ἀδελφῷ Κωνσταντίνῳ, ὥστε καὶ ἡ πόλις αὕτη ἐδόθη αὐτῷ ἐς φερνήν. καὶ βασιλεὺς Ἑλλήνων ἐπολιόρκει Πάτρας τῆς Ἀχαΐας, μετὰ δὲ ταῦτα καταλιπὼν τὸν ἀδελφὸν αὐτοῦ Κωνσταντῖνον ᾤχετο ἀποπλέων ἐπὶ Βυζαντίου. τῷ μέντοι ἀδελφῷ* B *αὐτοῦ Κωνσταντίνῳ ὡς τὰ περὶ τὴν πόλιν προσεχώρησε καὶ πολιορκῶν οὐκ ἀνίει τὴν πόλιν, συντίθενται οἱ τῆς πόλεως ἄνδρες προδοσίαν αὐτῷ, καὶ ἐπαγόμενοι τὴν πόλιν παρεδίδοσαν, ἀπόντος τοῦ ἀρχιερέως αὐτῆς ἐν Ἰταλίᾳ, ὅσον διατρίβοντος χρόνον, ἐπικουρίας δεόμενον παρὰ τοῦ Ῥωμαίων ἀρχιερέως. ταύτην μὲν οὖν τὴν πόλιν τῆς Ἀχαΐας οἱ ἀπὸ Ἰταλίας Πελοποννήσου ἡγεμόνες, τοῦ Ζαχαρίου οἴκου διιόντες, ὁ μὲν ἄρχων τε καὶ ἡγεμὼν κατελείφθη τῆς χώρας, τῷ δὲ ἑτέρῳ διατρίβοντι παρὰ τῷ Ῥωμαίων ἀρχιερεῖ ταύτην ἐπέδωκε τὴν πόλιν ἀρχιερεῖ γενομένῳ ἐπιτροπεύειν. ἡ μέντοι πόλις*

13. *οὐ προεχώρησε?*

confestim eum coepti poenituit, nec amplius se regno cessurum dicebat: regni enim proceres ab isto vitae proposito regem dehortababantur. dehinc etiam uxori, cui implacabilis erat, propter formae turpitudinem, reconciliatus, suaviter in posterum cum illa vitam exegit. rex Graecorum bellum intulit Carolo Epiri principi, et exercitibus Clarentiam Elidis metropolim circumsedit. nec multo post cum urbis oppugnatio irrita caderet, Caroli consobrinam, Leonardi ducis filiam, fratri Constantino uxorem dedit, hac tamen conditione, ut dotis nomine Constantino urbs ista traderetur. postea duxit exercitus contra Patras Achaiae urbem, quam obsidione circumdedit. deinde relicto fratre Constantino, cui urbis oppugnationem mandarat, navem conscendit, et Byzantium proficiscitur. cum multum iam temporis moenibus urbis assedisset, nec tamen urbs in manus venisset, proditionis consilia oppidani cum Constantino agitabant. aberat enim urbis episcopus, profectus in Italiam auxilii petendi gratia; et longas ibi agebat moras, ut a pontifice id acciperet. hanc Achaiae urbem Italici principes, qui Peloponnesum regebant, ex familia Malatestarum orti, occupantes, unum quidem dederunt urbi principem: alterum elegerunt, qui eam administraret et semper Romanum pontificem mo-

παρελθοῦσα ἐς τὸν Ῥωμαίων ἀρχιερέα ἐλάμβανεν ἀρχιερέα, C ὃν ἂν ἐπιπέμψειε σφᾶς τοῦ ἐπιτροπεύειν τὴν πόλιν· καὶ τότε δὴ Μαλατεστίων τοῦ οἴκου ἐπεπόμφει τοῖς ἐν τῇ πόλει ἀρχιερέα. ταύτην μὲν οὖν τὴν πόλιν ἐπεί τε παρέλαβε Κωνσταντῖνος, τήντε ἀκρόπολιν ἐπολιόρκει ἐπ' ἐνιαυτόν· μετὰ δὲ ταῦτα προσεχώρησεν αὐτῷ. τὴν μέντοι Ἤλιδος μητρόπολιν εἷλον αἱ τοῦ ἀρχιερέως τριήρεις. ἐπεί τε γὰρ ἐπύθετο τὴν πόλιν τῆς Ἀχαΐας ἁλῶναι ὑπὸ Ἑλλήνων, ἔπεμψε τριήρεις δέκα, εἰ δύναιντο τὴν πόλιν αὐτῷ παραστήσασθαι. αὗται μὲν οὖν ἐπὶ Ἀχαΐαν οὐκέτι ἀφίκοντο, ἐπὶ δὲ τὴν Κλαρεντίαν ἀφικόμεναι ἀπόντος αὐτῇ τοῦ ἄρχοντος, καὶ φρουρᾶς οὐκ V. 101 ἐνούσης ἐν τῇ πόλει, εἰσελθόντες λάθρα τὴν πόλιν κατέσχον D καὶ ἠνδραποδίσαντο. ὕστερον δὲ ἀποδιδόμενοι ταύτην τῷ βασιλέως ἀδελφῷ πεντακισχιλίων χρυσίνων ἀπέπλευσαν ἐπὶ Ἰταλίας. ξυνέβησαν δὲ τῇ πόλει ταύτῃ καὶ τύχαι ἄλλαι πρότερον γενόμεναι. Ὀλιβέριος γὰρ δὴ ἀπὸ Ἰταλίας ὁρμώμενος, ἔχοντος ταύτην τοῦ τῆς Ἀχαΐας ἡγεμόνος, ἐπεισελθών τε ἄφνω καὶ καταλαβὼν τὴν πόλιν ἠνδραποδίσατο, καὶ τὴν θυγατέρα ἡγεμόνος ἐς γυναῖκα αὐτῷ ἠγάγετο. καὶ ταύτην μέντοι οὗτος ἀποδόμενος τῷ τῆς Ἠπείρου ἡγεμόνι ᾤχετο ἐς Ἰταλίαν. καὶ τότε μὲν δὴ ἁλοῦσαν ὑπὸ τῶν ἀρχιερέως τριηρῶν αὖθις ἐξωνησάμενος ἀπέλαβε. διέφερον μὲν οὖν καὶ πρὸς

3. Μαλαστηχίων P

raretur. urbs ista ubi concesserat in ius et potestatem Romani pontificis, accepit episcopum, quem misisset pontifex, ut urbem eam gubernaret. eo tempore episcopus, qui rem publicam eius urbis curabat, missus a Romano pontifice, natus erat ex familia Malatestarum. hanc urbem ubi dominio suo iunxit Constantinus, etiam arcem expugnare aggressus est; cui expugnationi integrum annum insumpsit, et tandem voti compos factus est. Elidis metropolim subegere Romani pontificis triremes. postquam enim fama allatum erat Achaiae urbem a Graecis esse occupatam, misit pontifex triremes decem, quibus annitebatur, si posset amissam recuperare urbem. haec quidem haud venere in Achaiam. venientes autem Clarentiam absente urbis duce nec praesidio in ea existente, clam ingressi milites urbem cepere et diripuerunt. deinde eam vendentes regis fratri quinquies mille aureis, in Italiam navigarunt. aliae quoque fortunae miserabiles urbi isti acciderunt. Oliberius enim ab Italia progressus, tenente Clarentiam Achaiae principe, inopinato adveniens eam oppressit et diripuit, ducta in uxorem principis filia. tandem pretio accepto, Epiri duci eam vendens, in Italiam reversus est. etenim captam a pontificis triremibus denuo emptam recepit. Graeci longo tempore bellum ges-

P. 129 τὸν τῆς Ἀχαΐας ἡγεμόνα, Ἰταλικὸν Κεντηρίωνα, οἱ Ἕλληνες
τὸν πόλεμον ἐπὶ συχνόν τινα χρόνον· μετὰ δὲ ταῦτα ἐπιγα-
μίαν ποιησάμενοι ἐπὶ τῷ βασιλέως παιδὶ τῷ νεωτέρῳ Θωμᾷ,
ἁρμοσάμενοι τὴν θυγατέρα τοῦ ἡγεμόνος, καὶ τήν τε χώραν
ἐς φερνὴν αὐτοῦ ἐπέδωκαν τῆς Μεσήνης τε καὶ Ἰθώμης, πλὴν
τῆς παραλίου Ἀρκαδίας, σπονδάς τε ἐποιήσαντο. καὶ ταύτην
μὲν οὖν, ἐπεί τε ἐτελεύτησε, παρέλαβε Θωμᾶς ὁ τοῦ βασι-
λέως ἀδελφός, καὶ τήν τε γυναῖκα τοῦ Κεντηρίονος εἶχεν ἐν
φυλακῇ, ἐς ἣν δὴ καὶ ἐτελεύτησε.

Οὕτω μὲν οὖν ἡ Πελοπόννησος ἀπὸ Ἰταλῶν ἐς τοὺς
Ἕλληνας περιῆλθεν. Ἕλλησι μὲν οὖν οὕτω προσέφερε τὰ πρά-
B γματα, ὑπαγομένοις σφίσι τὴν Πελοπόννησον· Ἀμουράτης
δὲ ὁ Μεχμέτεω ἐστρατεύετο ἐπὶ τὴν Τριβαλλῶν χώραν. καὶ
πρότερον μέν, ἐπεί τε ἐξήνεγκε πόλεμον, στρατεύματα ἐπιπέμ-
ψας ἐδῄου τὴν χώραν. καὶ τότε δὴ οὖν, ὡς ἐπύθετο ὁ τῶν
Τριβαλλῶν ἡγεμὼν ἐπιέναι ἐπ' αὐτὸν βασιλέα, πρέσβεις τε
ἐπεπόμφει, καὶ ἠξίου σπονδὰς ποιεῖσθαι ἐφ' ᾧ ἂν ἀπάγειν
φόρον ὃν ἂν τάξηται αὐτῷ βασιλεύς, καὶ πείσεσθαι ὅ τι ἂν
κελεύοι αὐτῷ. ἐνταῦθα Ἀμουράτης ἄγεται τὴν θυγατέρα τοῦ
Τριβαλλῶν ἡγεμόνος. ἐπιπέμψας δὲ Σαραξίην τὸν τῶν θυ-
ρῶν ἡγεμόνα ἠγάγετό τε τὴν γυναῖκα, τοῦ Χαλίλεω ἀνάγον-
1426 τος, παρ' αὐτῷ μέγα εὐδοκιμοῦντος, καὶ τὰ βασίλεια αὐτοῦ.
C μετὰ δὲ ταῦτα ἤλαυνεν ἐπὶ Καραμᾶνον τὸν Ἀλιδέριον, ἡγε-

sere cum Centerione, qui Achaiae imperabat, generis Italici. postmodum affinitatem iungentes, filia huius ducis in matrimonium data regis filio iuniori Thomae, conclusum est ut dotem acciperet Messenae et Ithomae regionem, praeter maritimam Arcadiae. foedus quoque ictum bellum diremit. hanc quidem, ubi mortuus est princeps, accepit Thomas regis frater, et Centerionis uxorem, donec mortua est, in carcere condidit.

Hoc modo Peloponnesus ab Italis ad Graecos translata est. Graecorum res, cum subigerent Peloponnesum, hoc modo se habuere. Amurates bellum indicit Triballis. primo itaque missis exercitibus Triballorum regionem populabatur. ut nuntiatum est Triballorum principi regem hostiliter accedere, legatos ire iubet ad Amuratem oratum pacem. paratum se esse, si pax coiret, tributum quantumcunque imperasset pendere; nec recusaturum facere quaecunque iussisset. Amurates huius principis filiam sibi in uxorem sociavit, quam petiit sibi uxorem dari, misso Saraziae ianuarum imperatore. quam postmodum in regiam adduxit Chaliles, qui plurimum apud regem pollebat. his ita peractis petiit bello Caramanum Aliderium,

μόνα τῆς Καρίας, τά τε ἄλλα αἰτιασάμενος, καὶ ὅτι τὸν ἀδελφὸν αὐτοῦ τὸν νεώτερον ἔχων παρ' ἑαυτῷ ἔπεμψεν ἐπὶ τοὺς Ἕλληνας. ἐπιὼν δὲ σὺν στρατεύματι πολλῷ τὴν χώραν ἐδῄου, ἐκλελοιπότος αὐτὴν τοῦ Καραμάνου καὶ τὰ ἄκρα κατέχοντος τῶν ὀρέων. ἐστὸν δὲ αὐτῷ δύο πόλεε, ἡ μὲν Λάρανδα λεγομένη, ἡ δὲ Τοκόνειον, πόλις μεγάλη τε οὖσα τὸ παλαιὸν καὶ εὐδαίμων, ἐν ᾗ καὶ βασιλὶς ἦν τῶν πρόσθεν βασιλέων τοῦ γένους τούτου· ἅτε γὰρ τῶν ὀρέων τῆς χώρας ἰσχυρῶν ὄντων καὶ οὐκ εὐπετῶν ὄντων ἐπιβῆναι, ὁρμώμενοι τὴν ταύτῃ χώραν περίοικον ἦγον καὶ ἔφερον καὶ κατὰ βραχὺ προϊόντες κατεστρέφοντο. ἔστι δ' ἡ πόλις αὕτη εὐνομουμένη ἀπὸ τοῦ πάνυ παλαιοῦ. Λάρανδα δὲ ἡ πόλις οἰκεῖται μὲν αὕτη ὑπὸ D
τὴν ὑπώρειαν τῶν ταύτῃ ὀρέων, καὶ οὐ πάνυ ἑάλω τινὶ ὀχυρώματι. ἡ δὲ χώρα ἐπιόντος τοῦ Ἀμουράτεω ὑπέμενέ τε καὶ οὐκ ἐξέλιπεν· οὐ γὰρ δὴ νομίζεται Τούρκους γε ὄντας αὐτοὺς ἀνδραποδίζεσθαι, ἐς τὰ αὐτά τε ἅμα ἤδη καὶ ἐς τὴν αὐτὴν δίαιταν καθισταμένους. ὁ μέντοι Καραμᾶνος οὗτος ὅμορός ἐστι τῇ Πισιδῶν χώρᾳ καὶ τῇ Τουργούτεω. οἱ δὲ Πισιδῖται οὗτοι καὶ Βαρσάκιδες καλούμενοι νομάδες μέν εἰσι καὶ γλώττῃ τῇ Τούρκων διαχρώμενοι, ληστρικώτερον δὲ βιοτεύουσι, τήν τε Συρίαν ληιζόμενοι καὶ τὴν ἄλλην σφίσιν χώραν, V. 102
καὶ δὴ τὴν Καραμάνου διαπολεμοῦντες ληίζονται. ἄρχοντες P. 130

7. βασίλεια?

Cariae ducem, crimini ei inter caetera vertens quod fratrem suum iuniorem, cui alimenta praebuerat, ad Graecos misisset. veniens itaque cum magno exercitu, regionem graviter affligebat populationibus, quam Caramanus deseruerat, cum se recepisset in montium cacumina. regio ista urbes habet duas: una Laranda vocatur, alteri nomen est Toconeium. Toconeium urbs magnitudine et opibus praestat, in qua antiquitus reginae morabantur. cum montes regionis illius essent firmissimi et admodum muniti, nec facile scandi possent, omnem belli molem verterunt in finitimam regionem; quam agentes et ferentes paulatim progressi subigebant. urbs ista optimis legibus fundata est iam inde ab antiquo. Laranda sita est in radicibus montium, qui in ista regione visuntur, nec aliquibus munimentis adversus vim hostium firmata est. incolae regionis Amuratis adventum expectarunt, nec sibi fuga consuluerunt. putabant enim, cum et ipsi Turci forent et iisdem moribus reliquaque vitae consuetudine uterentur, se nihil hostile passuros. Caramanus ille finitimus est Pisidarum regioni et Turgutae. Pisidae, qui etiam Barsacides vocantur, pastores sunt et Turcorum linguam in usu habent: latrociniis magis intenti vivunt, praedasque ex Syria et ex finitima regione agunt. nec abstinent a

δὲ σφίσιν ἐφεστῶτες καὶ ληιζόμενοι τῆς τε λείας τὸ ἐπιβάλλον μέρος αὐτοί τε διαλαγχάνουσι, καὶ τοῖς οἴκοι ἐπὶ ταῖς γυναιξὶν ἐπιμένουσιν ἐπιδιελόμενοι διδόασι τὸ ἄλκιμον μέρος. Τουργούτης δὲ τῆς Φρυγίας χώρας ἐπάρχει τε, καὶ ἐπὶ Ἀρμενίαν ἥκει καὶ Καππάδοκας ἡ χώρα αὐτοῦ. τὸ δὲ Τουργούτεω γένος δοκεῖ νεώτερον γεγονέναι ὑπὸ Ἀμυθάονι, καὶ ἐπικαταβὰν ἐς τὴν ταύτῃ τῆς Φρυγίας χώραν ἐπικρατῆσαί τε τὸ ἀπὸ τοῦδε τῆς χώρας, καὶ ἐς δεῦρο διαγενόμενον πρός τε τοὺς παῖδάς τε καὶ Καραμᾶνον διαπολεμεῖν. διεπολέμησε B μὲν οὖν τὸ παλαιὸν καὶ πρὸς τοὺς Λευκάρνας Καραϊλούκεω παῖδας. τὸ μέντοι Κανδυλόρον ἡ πόλις τῆς Καρίας ὑπὸ ἀνδρὶ τοὔνομα . . . . . . καὶ τὴν χώραν καταστρεψάμενος Ἀμουράτης ὁ Μεχμέτεω τήν τε θυγατέρα αὐτοῦ ἔσχεν ἐς τὴν γυναικωνῖτιν, καὶ τὸν παῖδα αὐτοῦ κατέλιπεν ἄρχειν τῆς χώρας. τοὺς μέντοι ἡγεμόνας, τόν τε Κερμιανὸν καὶ Αἰδήνην, ἐλαύνων ἐπὶ Καραμᾶνον, καὶ τόν τε Σαρχάνην τῆς τε χώρας ἐξήλασε, καὶ ἐπιὼν τὰ βασίλεια αὐτῶν ἠνδραποδίσατο. ὁ μέντοι Αἰδήνης ἐτελεύτησεν ἄπαις ὤν, Σαρχάνης δὲ καὶ Μενδησίας ἐπὶ τὰς ὁμόρους αὐτῶν χώρας διεσώζοντο, ἀποφυγόντες Ἀμουράτη ἐπιόντα. Μενδησίας μέντοι ἐς Ῥόδον ἀφι- C κόμενος διέτριβε, μετὰ δὲ ταῦτα κηρυκευσάμενος ἀφίκετο παρὰ βασιλέα, δεόμενος τυχεῖν ἀγαθοῦ τινὸς πρὸς τοῦ βασι-

regione Caramani, cum quo ipsis continuum bellum est. duces eligunt, quorum ductu praedatum proficiscuntur. duces praedam superfluam capiunt, et inde partem haud contemnendam iis largiuntur qui domi apud uxores remanserint. Turgutes Phrygiae imperat; et Armeniam Cappadociamque regio eius attingit. genus Turgutae videtur recenter admodum fuisse sub Amythaone; et cum in Phrygiam inde descendisset, regionem istam ex eo tempore obtinuisse. quod cum durasset ad haec tempora, contra filios et Caramanum arma tulit. bellum etiam gessit iam olim genus istud adversus Leucarnas, Caraelucis filios. Candylorum urbs Cariae in potestate viri, qui nuncupatur * * * regionem itaque populationibus divexans Amurates Mechmetis filius, ducis filium in gynaeceum suum transtulit; filium regionis principem relinquit. Cermianum et Aedinem Sarchanemque principes, cum proficisceretur contra Caramanum, regionibus ipsorum expulit, accedensque regias eorum spoliavit. Aedines excessit e vivis, carens liberis. Sarchanes et Mendesias in regiones finitimas fugientes servati sunt, ne quid mali ab Amurate paterentur. Mendesias Rhodum contendit, ibique moratus est. postea praeconio excitus accessit ad regem, flagitans ut aliquid boni ab eo impetraret. qui etiamnum apud regem aetatem agit, victum et necessaria a ianuis

λέως, καὶ ἐς δεῦρο ἔτι διατρίβων τὴν δαπάνην ἔχει ὑπὸ τῶν θυρῶν. ὁ μέντοι Καραμᾶνος, ὡς τότε Τοκόνειον κατειλήφει καὶ τὴν χώραν αὐτοῦ κατέχων διέτριβεν, ἔπεμπε πρέσβεις παρ' Ἀμουράτῃ, ὑπισχνούμενος τήν τε θυγατέρα δοῦναι αὐτῷ εἰς γυναῖκα καὶ τὸν παῖδα αὐτοῦ ἐπιπέμπειν συστρατευόμενον ἐπὶ τὰς Ἀμουράτεω θύρας. ὁ μὲν δὴ Ἀμουράτης ἐπείθετο, τὰς σπονδὰς καὶ ὅρκια ποιησάμενος ἀπήλαυνεν ἐπὶ τῆς Εὐρώπης. μετὰ δὲ ταῦτα χρόνου ἐπιγιγνομένου αἰτιασάμενος Ἰσμαΐλην τὸν Σινώπης καὶ Κασταμωνίας ἡγεμόνα ἐστρατεύετο ἐπ' αὐτόν. οὗτος μὲν οὖν, ὡς ἐπύθετο ἐπ' αὐτὸν ἐπιέναι Ἀμουράτη, πρέσβεις ἔπεμψε, καὶ τὴν μὲν τοῦ D χαλκοῦ πρόσοδον ὑπέσχετο ἀποφέρειν τοῦ ἐνιαυτοῦ, ὅση ἂν αὐτῷ τυγχάνοι οὖσα, καὶ τόν γε παῖδα ὑπισχνεῖτο ἐπιπέμπειν καὶ οὗτος ἐς τὰς βασιλέως θύρας. τὸν μέντοι Τουργούτεω παῖδα καὶ πρότερον ἔτι παραγενόμενον ἐπὶ τὰς βασιλέως θύρας ἐπυθόμεθα ἐπαγαγέσθαι βασιλέα, καὶ ἐπιτρέπειν τὴν χώραν αὐτῷ διαθεῖναι ᾗ ἂν αὐτῷ δοκοίη.

Ταῦτα μὲν αὐτῷ ἐς τὴν Ἀσίαν ἐπέπρακτο, λαμπρὰ ἀποδεδειγμένα ἐς τὴν ἀρχὴν αὐτῷ. καὶ πρός τε τοὺς Λευκάνας ἐπολέμει συχνόν τινα χρόνον. ἐγένετο δὲ ἐκ τοῦ Ἀμουράτεω ἔλευσις ἐπὶ Τριβαλλῶν ἡγεμόνα καὶ ἐπὶ τὸν ἡγεμόνα Γεώργιον τὸν κηδεστὴν αὐτοῦ δι' αἰτίαν τήνδε. Στέφανον γὰρ P. 131 τὸν νεώτερον παῖδα ἔχων παρ' ἑαυτῷ διατρίβοντα, ὡς μέντοι

10. ὡς om P 21. ἔλασις?

accipiens. Caramanus cupidus recipiendi Toconeium et regionem suam legatos ad Amuratem mittit, promittens se suam filiam ei daturum uxorem, et filium quem haberet, missurum ut in ianuis mereret. Amurates in foedus, iuramenti religione interveniente, Caramanum suscepit, et in Europam iter intendit. postea cum aliquantulum temporis intercessisset, arma contra Ismaelem Sinopes et Castamonae principem arripuit, nescio ob quam offensam. qui ut accepit Amuratem contra se ut hostem properare, legatos obviam regi mittit, qui dicerent, si pacem petenti daret, se quotannis aeris reditum quantuscunque esset, regi pensurum. praeterea pollicebatur se filium suum in regis ianuas missurum. filium autem Turgutis, quem iam ante in regis ianuas abiisse constabat, regioni pristinae restituit; eique cum eo agere pro suo arbitrio permisit.

Haec quidem fortiter ab Amurate facta incredibile dictu est quanta gloria Asiae regnum illustrarint. bellum quoque tempore longo inter ipsum et Leucarnas arsit. expeditionem suscepit Amurates contra Triballorum principem et huius affinem Georgium. expeditionis huius istam causam tradunt. Stepanum enim iuniorem

ἐπήλαυνεν ἐπιὼν ἐπὶ Σπενδέροβον, ἐν ᾗ τὰ βασίλεια ἦν αὐτοῖς. ὁ μέντοι ἡγεμὼν καταλιπὼν τὸν παῖδα αὐτοῦ Γούργουρον ἐπιτροπεύειν τε τὴν πόλιν καὶ φυλάττειν τὰ τείχη, ἢν ἐπίωσιν οἱ πολέμιοι, αὐτὸς ἐπὶ Παιονίας ἀπῄει ἐπικουρίας δεησόμενος· ὑπῆν γὰρ αὐτῷ καὶ ἐν τῇ Παιονίᾳ χώρα τε οὐ φαύλη καὶ πόλεις πολλαὶ καὶ ἀγαθαί, ἃς ἠλλάξατο Ἐλεάζαρος πρὸς τὸν Παιόνων βασιλέα Σιγισμοῦνδον ἀντὶ τῆς Μπελογράδος πόλεως, ἧς ἐδεδώκει τῷ βασιλεῖ ὥστε τῷ πορθμῷ καλῶς ἔχοντος τοῦ χωρίου. ὁ μὲν οὖν παῖς αὐτοῦ καταλέ-
V. 103 λειπτο ἐπιτροπεύων τὴν πόλιν, καὶ παρεσκευάζετο ὡς πολιορ-
B κησόμενος. ὡς δὲ ἐπιὼν ὁ Ἀμουράτης ἐπέδραμέ τε τὴν χώραν καὶ ἐπολιόρκει τὴν πόλιν, ἐπειρᾶτο μηχανὰς παντοίας προσάγων τῷ τείχει ἑλεῖν τὴν πόλιν. ὡς δ' οὐδὲν αὐτῷ ἠνύετο, ἐφεδίττετο τὴν πόλιν τηλεβόλοις μεγίστοις δὴ τοῖς εἰς ἐκεῖνον τὸν χρόνον γενομένοις, καὶ τά γε τείχη τύπτων οὐκ ἀνίει. ἐνταῦθα ὁ τοῦ ἡγεμόνος παῖς Γούργουρος, δεδιὼς μὴ ἁλῷ ἡ πόλις ὑπὸ τῶν τηλεβόλων, ἐδέχετο λόγους παρὰ βασιλέως περὶ συνθηκῶν, καὶ ἐσπένδετο ἐφ' ᾧ παραδιδόναι τε τὴν πόλιν τῷ βασιλεῖ, καὶ αὐτοὺς ἐς τὰς θύρας αὐτῷ φοιτῶντας τυγχάνειν ὧν ἂν δικαιοῖ αὐτὸς βασιλεὺς ἀποφέρεσθαι. οὔ-
C τος μὲν οὖν τὴν πόλιν παρέδωκε, καὶ ἐς τὸ στρατόπεδον ἐξελθὼν διέτριβε παρὰ βασιλέα σὺν τῷ ἀδελφῷ αὐτοῦ Στεφάνῳ.

14. ἐδεδίττου P

filium habebat secum morantem, cum proficisceretur Spenderoviam, ubi ipsorum regia erat. princeps, relicto filio Gurguro (qui et Georgius et Gregorius) ut tutaretur urbem et defenderet moenia, si adventaret hostis, ipse abibat in Pannoniam, auxilium oraturus. erat enim huic etiam in Pannonia regio haud contemnenda; praeterea urbes multae et opulentae, quas permutatione facta cum Sigismundo pro Belgrado Eleazarus acceperat. haec enim urbs mire placebat regi, quasi regio admodum esset opportuna propter portus commoditatem. filius quidem praedicti principis relictus erat ut tueretur urbem, et se parabat, nihil cessurus hosti urbem obsidere instituenti. tandem accedens Amurates incursionem in agros fecit, et postea urbem obsidione cingit, machinas varias moenibus admovens, si quo modo urbe potiri posset. cum nihil proficeret, bombardas, quae ea tempestate habebantur maximae, produci iubet, iisque moenia pulsare haud cessabat. nec sic aliqua capiendae urbis spes affulsit. veritus autem Gurgurus ne urbs tandem veniret in manus hostium, cum bombardarum impetum amplius sustinere non possent, admittebat verba regis quibus pax offerebatur. foedus ictum est, quo tenebatur ut urbs regi traderetur, ipsi autem cum eo in ianuas proficiscerentur, consecuturi

μετ' οὐ πολὺν δὲ χρόνον, ὡς ἐπύθετο τὸν πατέρα αὐτῶν ἐπαγόμενον ἐπὶ Ἀμουράτη καὶ τούς γε παῖδας παρὰ τοῦ πατρὸς λόγους τε δεχομένους καὶ κρύφα διακηρυκευομένους περὶ ἀποστάσεως, λαβὼν ἄμφω τὼ παῖδε ἐξώρυξε τὼ ὀφθαλμὼ ἑκατέρων. ὡς μὲν οὖν Σπενδέρυβον τὰ Τριβαλλῶν βασίλεια παρεστήσατο, καὶ φρουρὰν ἐγκατέλιπε τῇ πόλει ἱκανήν, αὐτίκα ἐπιὼν ἤλαυνεν ἐπὶ Μπελογράδην τὴν Παιόνων πόλιν. ἔστι δ' αὕτη ἡ πόλις ἀμφοῖν τοῖν ποταμοῖν περίρρυτος γινομένη, ἀφ' ἑνὸς μὲν μέρους τοῦ Ἴστρου ῥέοντος, ἀφ' ἑτέρου δὲ τοῦ Σάββα, ὃς ἐς τὸν Ἴστρον αὐτοῦ παρὰ τῇ πόλει ταύτῃ D ἐκδιδοῖ. ἡ μὲν οὖν Σπενδέροβος καὶ αὕτη . . . . . ὡς δὲ ἐς Μπελογράδην ἐπελάσας ἐπολιόρκει τὴν πόλιν Ἀμουράτης ὁ Μεχμέτεω, ἔτυπτε μὲν τὸ τεῖχος τηλεβόλοις καὶ κατέβαλε μέρος οὐκ ὀλίγον, ἐπεπόνθει δὲ τὰ στρατεύματα πρὸς τῆς πόλεως ἀνήκεστα ὑπό τε τηλεβόλων καὶ τηλεβολίσκων παμπόλλων ἐς τὸ βασιλέως στρατόπεδον ἀφιεμένων ἐπὶ τοὺς ἄνδρας καὶ μυρία ὅσα βέλη ἀφικνουμένων ἐπὶ τὸ στρατόπεδον. ἐνταῦθα Ἁλίης ὁ τοῦ Βρενέζεω ἤκουσεν ἄριστα ἐν τῷ στρατοπέδῳ, ἀνήρ τε γενόμενος τὰ ἐς τειχομαχίαν σὺν τοῖς ἑαυτοῦ πρῶτος, καὶ τάφρον ὀρύξας ὡς ἐγγυτάτω τῆς πόλεως ἐσκήνου σὺν τῷ στρατεύματι P. 132 αὐτοῦ. ὡς μὲν οὖν τὸ τεῖχος κατεβέβλητο, εἰσεχέοντο δὲ εἰς τὴν πόλιν οἱ νεήλυδες, καὶ τῆς μὲν πόλεως πολὺ μέρος κατεκράτησαν. μετὰ δὲ ταῦτα τῶν ἐν τῇ πόλει ἀθροιζομένων,

ea quae rex statuisset. Gurgurus regi urbem tradidit, et in castra egressus conversatus est apud regem una cum fratre suo Stepano. nec multo post, ut nuntiatum est Amurati patrem horum contra se hostili animo pergere, filiosque patrem clam adiutare et ad defectionem inclinare, ambos adductos filios oculis orbavit. Spenderovia Triballorumque regione occupata, oppido praesidium validum imposuit, et continuo copias contra Belgradum Pannoniae urbem movit. urbs ista duobus circumfluitur fluviis: ab uno Ister, ab altero latere Savus fluit, qui in Istrum eo loci iuxta urbem eam effunditur. Spenderobus et haec * * * * ut accessit Mechmetis filius Amurates, urbem obsedit, bombardasque expediens urbis partem haud parvam stravit. at exercitus Amuratis interim intoleranda patiebatur ab oppidanis, qui bombardis balistis aliisque machinis bellicis gravissime affligebant hostes urbi assidentes. sagittis aliisque iaculis pene obruebantur tum viri cum castra. ibi tum Halies Brenezis filius, cuius fama per castra erat celebris, primus cum suis succedit muro oppugnando; qui fossa iuxta urbem facta et communita ibi tentoria sua tetendit. ubi murus deiectus est, per loca patentia ruinis peregrini irruunt et urbis partem

ἐς χεῖρά τε τοῖς νεήλυσιν ἀφίκοντο, καὶ ὠσάμενοι ἐξεώσαντο καταβαλόντες ἀπὸ τοῦ τείχους. καὶ ὡς ἐξεκρούσθη τὰ στρατεύματα καὶ οὐ προεχώρει αὐτῷ ἡ τῆς πόλεως αἵρεσις, ἀπήγαγε τὸν στρατὸν καὶ ἀπήλαυνεν ἐπ' οἶκον. ὕπαρχον δὲ ἐπιστήσας τῇ Σκοπίων τε καὶ Ἰλλυριῶν χώρᾳ, ἄνδρα τῶν παρ' αὐτῷ μεγέθει δυνάμενον καὶ αὐτῷ ἐπὶ τῇ ἀδελφῇ γαμβρὸν γενόμενον, καὶ στρατόν τε ἐπιτρέψας πεζόντε ἅμα καὶ ἱππικόν, B ὥστε ἐς τὴν Ἰλλυριῶν ἐσβαλεῖν χώραν, διῆκεν ἐνταῦθα τὰ στρατεύματα.

Ὁ μὲν οὖν Ἰλλυριῶν βασιλεὺς — Πόσθνη δὲ ἡ χώρα αὕτη καλεῖται, καὶ ἔστιν ἡ χώρα αὕτη τραχεῖά τε καὶ ὀρεινὴ πάνυ, διήκει δὲ ἐπὶ Ἰλλυριοὺς τοὺς πρὸς τὸν Ἰόνιον ᾠκισμένους παρὰ τὴν θάλασσαν. ἔστι δὲ αὐτῷ βασίλεια καὶ πόλις Γαΐτια καλουμένη, καὶ ποταμὸς παρ' αὐτῇ ῥέων ἐκδιδοῖ ἐς Ἴστρον. οὗτος μὲν δὴ ὁ τῶν Ἰλλυριῶν βασιλεύς, ὡς δῃουμένης αὐτῷ ὑπὸ Ἰσάμου τῆς χώρας, ὡς στρατόν τε συναγαγὼν ἤνυεν οὐδέν, οὐδὲ ἐς χεῖρας ἐλθεῖν ἠνέσχετο τῷ βασιλέως στρατῷ, πρέσβεις τε ἔπεμψε παρὰ βασιλέα, καὶ ἐτάξατο φόρον ἀπάγειν τοῦ ἐνιαυτοῦ μυριάδας δύο χρυσοῦ καὶ πεντακισχιλίους. βασιλεὺς δὲ προσίετο καὶ σπονδὰς ἐποιεῖτο αὐτῷ.

C Τούτου δὲ τῆς χώρας ἔχεται ἡ τοῦ Στεφάνου τοῦ Σανδάλεω V. 104 χώρα, Ἰλλυριῶν τὸ γένος, καθήκουσα ἐπὶ θάλασσαν

maximam capiunt. colliguntur iu unum oppidani, et manus cum peregrinis fortiter conserunt, quos impulsos magna vi in fugam vertunt, et de moenibus deturbant exactos urbe. hac igitur spe capiendae urbis frustrati, quia peregrini fortiter expulsi erant, Amurates cum exercitibus abscessit et domum ire contendit. Scopiorum vero et Illyricorum regioni praefectum dedit virum primarium suumque sororium; cui tradidit pedestres et equestres copias, ut incursionem in Illyricum facere posset.

Illyricorum rex Bossina regionis illius nomen est; quae cum sit aspera et montana, porrigitur usque ad Illyricos, qui incolunt maritimam Ionii regionem. est et urbs regnique sedes Gaitia sive Iaitza, et fluvius qui eam alluit (quem Wkrinam vocant; is in Savum exit) qui deinde in Istrum exhauritur. hic Illyricorum rex sua regione ab Isamo vastata exercitum comparavit. veritus autem cum Amuratis confligere exercitu, legatos misit, qui dicerent se paratum esse, si pacem impetraret, quotannis viginti quinque milia aureorum tributi nomine conferre. rex Amurates hac condicione pacem dedit.

Huic regioni adiacet Stephani Sandalis filii regio, quam gens Illyrica tenet; et se extendit ad Ionium * * haec natio cum Illyrica

ἐς τὸν Ἰόνιον παρὰ . . . . καλουμένη. τὸ μὲν δὴ γένος τοῦτο Ἰλλυρικὸν ὂν ἀπὸ παλαιοῦ διέσχισται ἀπὸ τοῦ λοιποῦ τῶν Ἰλλυριῶν γένους· ἤθεσι μὲν γὰρ καὶ διαίτῃ τῇ αὐτῇ διαχρῶνται, νόμοις δὲ οὐ τοῖς αὐτοῖς. Κουδούγεροι δ' ὀνομάζονται σύμπαντες οἱ ἐς τὴν Σανδάλεω χώραν τελοῦντες. μεταξὺ μέντοι τῆς Ἠπείρου καὶ αὐτοῦ τῆς χώρας πόλεις τε ἔνεισιν αὐτῶν τε τῶν Οὐενετῶν καὶ ἡ τοῦ Ἰβάνεω χώρα τοῦ Καστριώτου, μετὰ δὲ ταύτην ἡ τοῦ Κομνηνοῦ χώρα, τὰ πολλὰ παράλιος οὖσα· ἐπὶ μεσόγαιον μέντοι ἐς βραχύ τι παρατείνει ἐπὶ τὴν περίοικον τῆς Ἀργυροπολίχνης, αὐτοῦ ταύτῃ ᾠκισμένης, ἐν ᾗ ὁ τῆς χώρας ὕπαρχος διατρίβων τήν τε Ἰβά- D νεω χώραν καὶ Κομνηναίων ἐληΐζετο. τούτων μέντοι ὅ τε Ἰβάνης ἐπὶ τὰς θύρας ἰὼν τοῦ βασιλέως ἐστρατεύετο σὺν τῷ βασιλεῖ, ᾗ ἂν ὑφηγοῖτο τὰ βασιλέως στρατεύματα. καὶ Ἀριανίτης δὲ ὁ Κομνηνός, ὡς ἀπῆν καὶ αὐτῷ ἡ πατρῴα ἀρχὴ ὑπὸ βασιλέως, ἀφικόμενος ἐς τὰς θύρας τὴν δίαιταν εἶχε παρὰ βασιλέως. ὕστερον δὲ τελευτήσαντος Ἰβάνεω τοῦ Καστριώτου τόν τε παῖδα αὐτοῦ λαβὼν ἐς τὰ βασίλεια καὶ τὴν χώραν ὑφ' αὑτῷ ποιησάμενος εἶχε. μετὰ δὲ ταῦτα οὐ πολὺν χρόνον, ὡς διατρίβων Ἀριανίτης ἱκέτης ἐγένετο ἀπὸ τῶν θυρῶν τυχεῖν ἀγαθοῦ τινὸς πρὸς τοῦ βασιλέως, λόγους τε δοὺς ἐπιπέμψαι ἐπὶ τοὺς τῆς χώρας αὐτοῦ, καὶ ὑπισχνουμένων P. 133 αὐτῷ ἀπόστασιν, ἣν ἀφίκηται ἐπ' αὐτούς, ἀποδιδράσκει τε

2. ὑπὸ P

sit, iam olim a reliquis separata est Illyricis. incolae autem moribus et victus ratione nihil discrepant ab Illyricis, verum alias sequuntur leges. Cuduergi nuncupantur omnes qui degunt in Sandalis regione. inter hanc et Epirum sitae sunt quaedam Venetorum urbes, ubi et Ibanis regio habitatur Castriotis. huic annexa est Comneni regio, pleraque maritima; versus mediterraneam regionem brevi intervallo extenditur ad loca Argyropoli finitima, ubi praefectus Amuratis castra habens, Ibanis et Comnenorum regionem evastabat. interea Ibanes victus ibat in ianuas regis, eumque sequebatur, quocunque cum copiis militatum abiisset. postea Arianites privatus paterno principatu in regis ianuas abiit, a rege victum et necessaria capiens. deinde mortuo Castriote Ibane, filium eius in patrium principatum subrogavit Amurates. Arianites, qui et ipse suo principatu deiectus erat a rege, supplicabat ianuis ut boni aliquid a rege consequeretur. deinde missis quibusdam ad eos qui in sua adhuc, unde pulsus erat vi hostili, regione versabantur, dicebat se eo cum copiis venturum. qui cum promitterent, si armatus advenisset, se a rege defecturos, fuga relictis ianuis, in suam regionem se recepit. reversus igitur ad pater-

ἀπὸ τῶν θυρῶν, καὶ κατιὼν ἐπὶ τὴν πατρῴαν ἀρχὴν συντίθεται τοῖς βελτίοσι τῆς χώρας. καὶ ὑποδεχομένων ἀσμένως ἀπέστησαν ἀπὸ βασιλέως, καὶ τούς γε ἄρχοντας τῆς χώρας Τούρκους ἀνελόντες ἐπέδραμον τὴν βασιλέως χώραν καὶ ἦγον καὶ ἔφερον, χώραν τε ἐρυμνὴν κατέχοντες αὐτοὶ καὶ ὀρεινὴν τὴν σύμπασαν καὶ τραχεῖαν. ὡς μὲν οὖν ταῦτα ἠγγέλλετο βασιλεῖ, ἔπεμπεν Ἁλίην τὸν Βρενέζεω, στρατηγὸν ἀποδείξας· καὶ παραδοὺς αὐτῷ στράτευμα, ὅσον τε παρὰ Ἀξιὸν ποταμὸν καὶ
B τῆς Ἀργυροπολίχνης, καὶ ἱπποδρόμους, ὅσοι τήνδε τὴν χώραν ἐνοικοῦσιν, ἐκέλευεν ἐπιόντα τήν τε χώραν αὐτῷ τὴν Ἀλβανῶν καταστρέψασθαι, καὶ ἀνδραποδισάμενον ἥκειν αὐτῷ ἄγοντα τὸν Κομνηνοῦ παῖδα. οὗτος μὲν οὖν λαβὼν τὸν στρατὸν ἅπαντα ἐσέβαλεν ἐς τὴν χώραν, καὶ πεζὸν ἅμα εὑράμενος οὐκ ὀλίγον. ὡς δὲ ἐσέβαλον, ἐδῄουν τε τὴν χώραν καὶ ἐνεπίμπρων οἰκίας τε καὶ ἀγρούς, οὐδενὸς φειδόμενοι. ὁ μέντοι Ἀριανίτης συναγαγὼν τοὺς τῆς χώρας ἱππέας τε καὶ πεζοὺς καὶ ἀφικόμενος καταλαμβάνει τὰ ἄκρα, ᾗ ἔμελλεν ἀναζεύξας Ἁλίης ὁ τοῦ Βρενέζεω ἐξελαύνειν. καὶ ὡς ἐπειρῶντο μετὰ
C ταῦτα οἱ τοῦ Ἁλίεω διελθεῖν, οὐκ ἠδύναντο, ἐνισταμένων τῶν ταύτῃ μετὰ Ἀριανίτου καὶ οὐκ ἐπιτρεπόντων διεξιέναι. ἐνταῦθα οἱ Τοῦρκοι ἄλλοι μὲν ὡς ἀπελήφθησαν ἐν τῇ χώρᾳ, ἄλλοι δὲ κατὰ τὴν χώραν ἐτράποντο, ὅποι ἑκάστῳ προυχώρει διασώζεσθαι. τούτων οἱ πλεῖστοι διεφθάρησαν ὑπὸ τῶν

21. ἀπελείφθησαν P

nam regionem cum optimatibus coniurationem facit. qui eum lubenti animo suscipientes ab rege defecerunt, interfectisque Turcis incursionem fecerunt in Amuratis regionem, quam egerunt et tulerunt. et quidem res pulchre succedebat, cum ipsi regionem asperam et montanam, in quam se recipiebant, incolerent. ut rumor ad regem ista pertulit, Aliem ducem constituit, cui exercitus, quos habuit iuxta Axium flumen et Argyropolim, tradidit, addito equitatu universo, qui in ea regione morabatur, iussitque ut Albanorum regionem subigeret, et mancipiorum praeda onustus, captum adducens etiam Arianitem Comneni filium, rediret. hic accepto exercitu universo impetum dedit in hostilem regionem, cum ibidem invenisset copias pedestres haud aspernandas. regionem populabantur, vicos villasque incendebant, nemini parcebant. Arianites, congregatis suae regionis equitibus et peditibus, adveniens occupabat montium cacumina et angustias; qua reditum maturans transiturus erat cum copiis. aliis milites cum conarentur transire, non potuerunt, cum fortiter ab Arianite transitu prohiberentur. Turci reliqui, cum ab Alie essent in ea regione relicti, fuga sibi consulere parabant, eo festinantes ubi inco-

Ἀλβανῶν, οἱ δὲ ἄλλοι ἑάλωσαν παριόντες. οἱ δὲ σὺν τῷ Ἀλίῃ ἀποτραπόμενοι ταύτην τὴν πορείαν πεδινωτέραν ἐποιήσαντο καὶ ἐπιμήκη, καὶ ἐξελθόντες ἐς τὴν Ἤπειρον τὴν κατὰ Κέρκυραν ᾠκημένην ἐκ πολλῶν ἀπενόστησαν διαφυγόντες μὴ ἀπόλλυσθαι. ἐνταῦθα δὴ ἀνείλετο δόξαν περιφανῆ Ἀριανίτης ὁ Κομνηνοῦ, ἀποδειξάμενος ἔργα λόγου ἄξια καὶ τὸ ἐν- D τεῦθεν εὐδοκιμῶν.

Οὕτω μὲν δὴ Ἀλίῃ τῷ Βρενέζεω, ὡς εἰσεβάλλοντο ἐς τὴν πρὸς Ἰόνιον χώραν, ὁ στρατὸς χαλεπώτατα ἐπεπράγει. οἱ μέντοι λοιποὶ τῶν πρὸς τὴν Ἀργυροπολίχνην οἰκούντων Ἀλ- V. 105 βανῶν, ὡς εἶδον Ἀριανίτην νεωτερίσαντα περὶ τὴν βασιλέως ἀρχήν, ἔργον λαμπρὸν σφίσι κατεργασάμενον, ἐβουλεύοντο καὶ αὐτοὶ ἀπόστασιν ἀπὸ βασιλέως Ἀμουράτεω, καὶ ἐπεκαλοῦντο μὲν δήπου τὸν ἡγεμόνα αὐτῶν. τούτου γὰρ δὴ τὸν πατέρα ἐξελάσας ἐκ τῆς χώρας Παιαζήτης ὁ Ἀμουράτεω, καὶ Μύρξαν τῶν Κανίνων ἡγεμόνα καὶ συχνοὺς ἄλλους ἄρχοντας τῆς τῆδε χώρας, τήν τε χώραν κατέσχε καὶ ἑαυτῷ κατεπροστή- P. 134 σατο. τὸν δὴ οὖν Δέπαν τοῦτον περιιόντα καὶ περινοστοῦντα ἄλλοτε ἄλλην τῆς Ἰταλίας, καὶ ἐν Κερκύρᾳ τῇ Ἐνετῶν νήσῳ τὰ πολλὰ διατρίβοντα, ἐπεκαλοῦντο οἱ περὶ τὴν Ἀργυροπολίχνην οἰκοῦντες καὶ σφίσι βασιλέα τε ἐστήσαντο. καὶ στρατὸν ποιησάμενοι ἐπήλαυνον ἐπὶ τὴν Ἀργυροπολίχνην, τὴν βασιλέως τότε δὴ πόλιν, ἀνήκουσαν δὲ προὔθεντο τουτωῒ τῷ

18. περιόντα? 23. πρόσθεν?

lumes vitae discrimen imminens evitare possent. horum plerique ab Albanis interempti, partim capti sunt. reliqui, qui se fugae Alii comites iunxerant, profectionem campestrem, at longiorem, ingressi sunt. et egredientes in continentem quae iuxta Corcyram habitatur, ex multis pauci fuga sibi consulentes, domos ire pergunt. ea in expeditione magnam gloriam invenit Arianites Comneni filius, operibusque memorabilibus gestis admodum celebratus est.

In hunc modum Aliis exercitus, cum in regionem quae Ionium spectat irruisset, afflictus est. caeteri Albani, qui incolunt urbem quae Argos respicit, ut cognoverunt Arianitem res novas instituisse adversus Amuratem, quae felicem sortitae sint eventum, etiam ipsi defectionis ab rege consilia agitarunt; et deficientes Depan evocatum sibi ducem et principem elegerunt. huius enim patrem cum eiecissèt e sua regione Paiazites Amuratis filius, exactis quoque Myrxa et Caninorum principe necnon aliis ducibus plurimis, ista regione potitus est. Depan igitur illum incertis vagantem sedibus per Italiam, et plerumque morantem in Corcyra Venetorum insula, Albani, qui iuxta Argyropolim versabantur, accersitum regem sibi crearunt, contractisque copiis Argyropolim, quae

Δέπᾳ, καὶ ἐπολιόρκουν τὴν πόλιν μηχαναῖς τε τῷ τείχει προσφέροντες. ἦσαν δὲ αὐτοῦ ἐν τῇ πόλει νεήλυδές τε τοῦ βασιλέως φρουρὰ καί τινες ἄλλοι οὐ πολλοὶ τῶν Τούρκων διαφυγόντες ἐς τὴν πόλιν, καὶ ἠμύνοντο τὸν στρατόν. ὥστε δὴ B *ταῦτα πράσσοντες οἱ Ἀλβανοὶ τήν τε πόλιν ἐπολιόρκουν, μηδενὶ ἀνιόντες ἐς τὴν πολιορκίαν, καὶ τὴν χώραν τὴν περίοικον τοῦ βασιλέως ἐπέδραμον, βασιλέως ἔχοντος καὶ ἀπόντος ἐς τὴν Ἀσίαν καὶ πολεμοῦντος Καραμάνῳ τῆς Κιλικίας τε καὶ Καρίας ἡγεμόνι. ἐνταῦθα ὡς ἐπύθετο Τουραχάνης ὁ τῶν Τρικάλλων καὶ Θετταλίας ὕπαρχος τότε δὴ ὤν, τούς τε Ἀλβανοὺς ἀφεστηκότας ἀπὸ βασιλέως καὶ τὴν μητρόπολιν πολιορκοῦντας, συλλέξας στράτευμα ὡς ἠδύνατο μέγιστον, συμπαραλαβὼν καὶ τοὺς τῆς παραθαλασσίου χώρας τῶν Τούρκων, ὅσους ἠδύνατο, ἐλαύνων διὰ τῆς χιόνος (χειμὼν τε γὰρ* C *ἦν μέγας) δευτεραῖος ἀφικνεῖται ἐπὶ τὴν χώραν, καὶ καταλαμβάνει ἐπιστρατευομένους [ἐν] τῇ πόλει τοὺς Ἀλβανούς. καὶ ἐπεισπεσὼν ἄφνω τούς πλείστους τε αὐτῶν διέφθειρε, καὶ τόν τε Δέπαν τὸν ἡγεμόνα ζωγρήσας ἀνεῖλε, καὶ τὴν πόλιν τῆς πολιορκίας ἠλευθέρωσε. λέγεται δὲ ἐν ταύτῃ τῇ Τουραχάνεω ἐφόδῳ πλείους τῶν χιλίων διαφθαρῆναι. καὶ οὕτω αὖθις καταδεδούλωντο οἱ Ἀλβανοὶ ἀφεστηκότες ἀπὸ βασιλέως. οἱ μὲν τῆς χώρας εὖ γεγονότες, ὅσοι μὴ διέφυγον τότε*

3. φρουρᾷ P 5. μηδὲν (vel μηδαμῇ) ἀνιέντες? 13. παραθαλασσίους P

tum temporis regis erat, bello petierunt. urbem oppugnabant variis admotis machinis. in urbe erat praesidium regis peregrinorum: aderant et Turci plurimi, qui confugerant eo, urbemque fortiter et strenue ab hostibus defensabant. Albani cum ista inciperent urbemque summa vi obsiderent, admodum oppugnationi intenti, regioni regis, qui tum aberat in Asia bellum gerens cum Caramano Ciliciae et Cariae principe, incursionibus et populationibus vastitatem induxere maximam. Turachanes Triballorum et Thessaliae praefectus, accepta Albanorum defectione et metropolis adeo clarae obsidione, conscribens exercitum quam potuit maximum, assumens etiam Turcos quotquot in Thessalia invenire potuit, citato itinere properans per nivem (hyems enim tum erat) secundo die postquam iter ingressus erat, prope urbem Albanos deprehendit; in quos praeter expectatum irruens plurimos occidit, Depan ducem vivum cepit, urbemque obsidione solvit. aiunt Turachanem ex improviso accedentem plures quam mille interfecisse. et in hunc modum servitutis iugum recipere denuo coacti sunt Albani. nobiles eius regionis, quotquot non evase-

ἐπιόντος Τουραχάνεω, ἄλλος ἄλλῃ ἀπώλετο, ὀλέθρῳ τῷ κακίστῳ παραδοθέντες ὑπὸ τῶν βασιλέως ὑπάρχων.

Ἀμουράτης δὲ ὡς ἐγένετο ἐπανιὼν ἀπὸ Καραμάνου ἐς τὰ βασίλεια, Μεζέτην τὸν τῆς Εὐρώπης αὐτῷ στρατηγὸν ἐκέ- D
λευε, λαβόντα στρατὸν ὅσον ἂν βούληται, καὶ πεζὸν ἅμα καὶ ἱππικόν, ἀγαγέσθαι τε καὶ ἐλαύνειν ἐπὶ Παιονοδακίαν ὡς καταστρεψόμενον αὐτῷ τὴν χώραν. ὁ δὲ λαβὼν τό τε Εὐρώπης στράτευμα καὶ ἀζάπιδας τῆς Εὐρώπης καὶ ἱπποδρόμους τοῦ βασιλέως, ὅσοι ἐν τῇ Εὐρώπῃ ἐγένοντο, ἀφίκετο ἐπὶ τὸν Ἴστρον, διαβὰς δὲ τὸν Ἴστρον ἐπὶ Παιονοδακίαν τὴν Ἀρδέλιον χώραν καλουμένην, — τὸ δὲ Ἀρδέλιον τοῦτο ἀπὸ Πρασοβοῦ τοῦ ὄρους ἐπὶ Παιονίαν διήκει, ἐντὸς δρυμῶνος γενομένη ἅπασα ἡ χώρα, καὶ πόλεις ἔνεισιν ἐν ταύτῃ τῇ χώρᾳ οὐκ ὀλίγαι, μητρόπολις δὲ αὐτῶν τὸ Σιβίνιον καλούμενον. γλώττῃ δὲ χρῶνται οὗτοι τὰ μὲν τῇ Παιόνων τὰ δὲ καὶ Δακῶν, διαίτῃ τε καὶ ἤθεσι τοῖς Παιόνων. καὶ ὑπὸ τῷ Παιόνων βασιλεῖ οὖσα ἡ χώρα αὕτη ἄρχοντά τε δέχεται, ὃν ἂν αὐτοῖς ἐφεστῴη ὁ βασιλεὺς Παίονα. αὐτόνομοι δὲ αἱ πόλεις P. 135
οὖσαι, καὶ ὑπὸ τὴν μητρόπολιν τὸ Σιβίνιον εὐθυνόμεναι, παρὰ δὲ τῷ ἄρχοντι σφῶν, ὅποι ἂν κελεύοι ἐπὶ ἐκστρατείαν, καὶ τὰς προσόδους ἀποδιδόντες, ἀξιοῦσι πολιτεύεσθαι σφίσιν αὐτοῦ ἐς τὸ ἐπιχώριον πάτριον ἔθος. ἐπὶ ταύτην οὖν δὴ τὴν πόλιν τὸν Ἴστρον διαβὰς ὁ Μεζέτης ἤλαυνεν ὡς πολιορκήσων, V. 106

runt Turachanis manus, ab regiis praefectis crudelissime occisi sunt, cum alius isto alius alio mortis genere miserabiliter interiret.

Amurates reversus ab expeditione quam contra Caramanum sumpserat, e regia sua Mezetem, quem Europae ducem declararat, accipere iussit copias equitum et peditum quantas vellet, et proficisci contra Pannodaciam, ut eam suo imperio iungeret. qui accipiens Europaeum exercitum et Europae Azapides equitatumque regis omnem, qui in Europa agebat, pervenit ad Istrum; quo traiecto ingressus est Pannodaciae regionem quae Ardelium nominatur. Ardelium a Prasobo monte in Pannoniam usque excurrit. regio ista cingitur quercetis glandiferis, urbesque habet non paucas. metropolis Tosibinium vocatur. lingua utuntur partim Dacorum et partim Pannonum. victu et moribus Pannones imitantur. haec regio subiecta est Pannonum regi, a quo ducem accipit de Pannonum genere. urbes habet liberas, quae proprio iure propriisque legibus ab metropoli Tosibinio reguntur. iussi proficisci in militiam regi parent, tributum ferentes quandocunque is imperaverit; solummodo petentes ut sibi proprio iure suisque legibus rem publicam administare liceat. contra hanc igitur metropolim, ubi Istrum transierat, Mezetes universam

καὶ ἄγχου ἐπὶ τῇ πόλει γενόμενος ἐστρατοπεδεύετο. ἐνταῦθα δὲ ὡς ἐπολιόρκει τὴν πόλιν, τηλεβόλῳ βληθεὶς ὁ τοῦ στρατοῦ ἡγεμὼν ἐτελεύτησε. μετὰ δὲ ταῦτα, ὡς ἀπεχώρει ἐντεῦθεν ὁ στρατὸς ἐπειγόμενος ἐπὶ τὴν διάβασιν τοῦ Ἴστρου, B συλλεχθέντες οἱ τοῦ Ἀρδελίου ἄνδρες, ὡς ἠδύναντο φθῆναι τὸν στρατὸν ἔτι ἐν τῇ χώρᾳ διατρίβοντα, πολλούς τε κατέβαλλον τοῦ στρατεύματος, καὶ τρεψάμενοι ἐδίωκον φεύγοντας ἐπὶ τὸν Ἴστρον.

Μεζέτης μὲν οὖν ἀφικόμενος ἐπὶ Ἀρδέλιον οὕτως ἐτελεύτησε, καὶ ἀπεγένετο οὐκ ὀλίγον τι τοῦ στρατεύματος· βασιλεὺς δὲ ὡς ἐπύθετο τὸν Μεζέτου θάνατον, συμφοράν τε ἐποιεῖτο, καὶ παρεσκευάζετό τε αὐτὸς ἐπὶ Παιονοδακίαν στρατευσόμενος, καὶ κήρυκας πέμπων περιαγγέλλοντας τὴν ἐξέλευσιν αὐτοῦ ἅμα ἦρι ἐδόκει ἐξελαύνειν. μετὰ δὲ συμβουλεύσαντος Σαβατίνεω εὐνούχου, ἀνδρὸς τὰ ἐς πόλεμον αὐτοῦ πολλαχῇ γενομένου, ἐπέτρεψέ τε τὸν στρατὸν αὐτῷ, καὶ ἐκέλευσε C λαβόντα ἐξηγήσασθαι ἐπὶ Παιονοδακίαν, καὶ μὴ ἀνιέναι πρὶν ἢ καταστρεψάμενον ἀπελαύνειν. οὗτος μὲν δὴ παραλαβὼν τὸν βασιλέως στρατὸν καὶ νεήλυδας τῶν θυρῶν ἀμφὶ τοὺς τετρακισχιλίους, τόν τε Ἴστρον διέβαινε καὶ τὸν στρατὸν αὐτοῦ σύμπαντα διεπορεύετο ἐς τὴν Ἀρδελίου χώραν. ἤλαυνε δὲ διὰ τῆς Παιόνων χώρας ἡμέρας τινάς. Ἰάγ-

10. ὀλίγους τοῦ P

belli molem vertit; et cum quam proxime ad eam accessisset, ibi castra communivit. hic cum urbis oppugnationi summa ope incumberet, ictus bombarda occubuit. postea cum exercitus hostilis maturaret abitum et festinaret ad Istrum traiiciendum, congregati regionis viri, cum praevenire hostes in sua regione possent, plurimos eorum clade maxima straverunt. reliquos in fugam effusos usque ad Istrum insecuti sunt.

Mezetes profectus in Ardelii regionem, amissis non paucis de suo exercitu, huiusmodi vitae exitum habuit. rex maximam suam esse calamitatem duxit mortem Mezetis. parabat igitur ipse expeditionem suscipere contra Pannodacos, missisque per suum regnum praeconibus edicebat ut primo vere adessent omnes. postea mutata voluntate Sabatini eunucho, viro rei militaris peritissimo, belli istius curam omnem mandavit, cum eunuchus id consilium regi et optimum et tutissimum fore censeret. iussit quoque rex ut non prius bello desisteret quam devicisset Pannodacos sive Transsylvanos. hic igitur accipiens regis exercitum et peregrinorum de iannis regis quasi quattuor milia, Istrum transivit, et copias omnes in Ardelii regionem induxit. dehinc aliquot diebus iter fecit per Pannoniae regionem.

γος δὲ ὁ Χωνιάτης, ἀνὴρ τότε δὴ εὐδοκιμῶν παρὰ τοῖς Παίοσι καί τό τε Ἀρδέλιον ἐπιτετραμμένος ὑπὸ τῆς Παιόνων βουλῆς, συνήγαγέ τε στρατὸν ὡς μέγιστον ὡς ἠδύνατο ἀπὸ Ἀρδελίου, καὶ Παιόνων συμπαραλαβὼν ἐπῄει, ἑπόμενος τῷ Σαβατίνῃ κατὰ τὸ ὄρος. Σαβατίνης μὲν δή, ὡς ἐντὸς τῆς χώρας D ἤδη ἄλλος γενόμενος, ἐνόμιζε καλῶς ἔχειν αὐτῷ τὴν χώραν ἐπιδραμεῖν. ἐπαφεὶς τοίνυν τοὺς ἱπποδρόμους καὶ τοῦ στρατοῦ πολύ τι μέρος ἐπὶ διαρπαγὴν τῆς χώρας, ὡς ἀφαρπάσαιντό τε τὴν χώραν αὐτοῦ σύμπασαν καὶ κερδάνοι μέγιστα, κατελείφθη ὀλίγοις τοῖς ἀμφ' αὐτὸν ἐν τῷ στρατοπέδῳ. ἐνταῦθα ὡς ᾔσθετο Ἰάγγος τό τε στρατόπεδον ἔρημον ἀνδρῶν καταλειφθῆναι, καί οἱ καλῶς ἔχειν ἡγούμενος ἐπεισπεσεῖν ἐς τὸ στρατόπεδον τῶν πολεμίων, ἐπικαταβὰς ἀπὸ τοῦ ὄρους ἐμβάλλει τε ἐς τὸ στρατόπεδον τοῦ Σαβατίνεω. καὶ ὁ μὲν Σαβατίνης ἐπεξελθεῖν μέντοι οὐκ εἶχεν, ὅτι καὶ ἄξιον λόγου μαχέσασθαι, P. 136 φυλάξαι δὲ τὸ στρατόπεδον πειρώμενος καὶ οὐκ ἠδύνατο, βιασαμένων τῶν μετὰ τοῦ Ἰάγγου Παιόνων, ἐς φυγήν τε ἐτράπη καὶ ἐπὶ τὸν Ἴστρον ἐπείγετο φθῆναι ὡς διαβησόμενος. Ἰάγγος δὲ τὸ στρατόπεδον παραλαβών, καὶ λόχους ὑπείσας αὐτοῦ ταύτῃ, ὥστε τοὺς ἐπανιόντας σὺν τοῖς ἀνδραπόδοις συμπαρελάμβανε διαφθείρων ἅπαντας. καὶ οὕτω δὴ

20. ὑποίσας P

Iangus autem Choniates, quem Ioannem Huniadem vocant, vir ea tempestate inter Pannones excellens, cui Ardelii regio commissa erat ab Pannonum concilio, exercitum quam potuit maximum comparavit ab Ardelio et Pannonia. hoc instructus sequebatur per montium saltus Sabatinem. Sabatines cum iam in hostili regione foret, putabat res suas praeclare habituras, si hostium agros evastaret. emittens itaque equitatum omnem et maximam exercitus partem in hostium regionem, praedas agere volebat, quasi hinc plurimum suis opibus accedere posset. paucissimi vero manebant cum Sabatine in castris. Iangus ut comperit castra hostium pene esse deserta, praeclarum facinus putabat, si accedens inopinatus castra opprimeret. descendens itaque cum suis ex monte impetu invadit Sabatinis castra defensoribus vacua. Sabatines exire castris, ut praelii potestatem faceret, non poterat. proinde ad castra defendenda convertitur; quae tamen retinere nequivit, cum violenter Iangus cum Pannonibus irrumperet. ad fugam itaque inclinat animo toto, festinabatque, maxima usus celeritate, transire Istrum, antequam transitu ab hostibus intercluderetur. Iangus captis castris quosdam in insidias locat, quibus exciperet hostes advenientes, mancipiorum aliarumque rerum praeda onustos, omnesque conficeret. et in hunc modum maxima hostilis exer-

τὰ πλείω τοῦ στρατεύματος αὐτοῦ ταύτῃ κάκιστα διεφθάρη, καὶ νίκην νικᾷ ἀρίστην ἐς τῶν πρὸ αὐτοῦ Ἰάγγος ὁ Χωνιάτης.

Οὗτος γένους ὢν οὐ πάνυ τι φαύλου, ἀπὸ Χωνιάτης
B πόλεως Ἀρδελίου ὡρμημένος ἐπὶ τὸν Τριβαλλῶν ἀφίκετο ἡγεμόνα, μεμισθωμένος δὲ αὐτοῦ διέτριβε συχνόν τινα χρόνον, τόλμαν τε ἐπιδεικνύμενος ἀξίαν λόγου καὶ σπουδήν, ἐς ὅ τι ἂν ἐπιπεμφθείη ὑπὸ τοῦ ἡγεμόνος. καὶ δὴ λέγεται καὶ τόδε. ὡς ἐξήλαυνεν ἐπὶ ἄγραν ὁ τῶν Τριβαλλῶν ἡγεμών, καὶ λύκου ἐπιφανέντος τῷ ἡγεμόνι ἐπεκάλει τὸν Ἰάγγον, ὡς ἐπὶ τῷ λύκῳ γένοιτο. ὁ δ' ὡς παρεληλύθει, τὸν θῆρα ἤλαυνεν ἀνὰ κράτος. πεσόντος δὲ τοῦ θηρὸς ἐς τὸν ποταμὸν καὶ νηχομέ-
V. 107 νου, ἐπεισπεσεῖν τε ἅμα ἐς τὸν ποταμὸν καὶ αὐτὸν καὶ διανη-
C χομένου τοῦ ἵππου διαβῆναι, διαβάντα δὲ ἐπιδιώκειν οὐδαμῇ ἀνιέντα, τελευτῶντα δὲ καταλαβεῖν τε τὸν λύκον καὶ ἀνελεῖν, μετὰ δὲ ἀφελόμενον τὸ δέρμα τοῦ θηρὸς ἐλαύνειν ὀπίσω ἐπὶ τὸν ἡγεμόνα, διαβάντα δὲ αὖθις τὸν ποταμὸν καὶ προεχόμενον τοῦ λύκου τὸ δέρμα εἰπεῖν "ὦ δέσποτα, ἐγένετο ᾗ ἐπέταξας, καὶ τόν τε λύκον ἀνεῖλον, καὶ τὸ δέρμα ὧδέ σοι πάρεστι, ὑπουργεῖν ὅ τι ἂν δέοι χρῆσθαι." τότε μὲν δὴ τὸ θαῦμα ἀγασθέντα τὸν Τριβαλλῶν ἡγεμόνα εἰπεῖν λέγεται ὡς οὐκ ἔστιν ὅπως ὁ ἀνὴρ οὗτος ἐπὶ μέγα δυνάμεως οὐκ ἀφί-

citus pars miserabiliter interiit; Iangusque victoriam sibi peperit celebriorem quam ullam unquam eius antecessores invenerint. Iangus genere natus erat non admodum obscuro.

Patria fuit Choniatae sive Huniadi Ardelii oppidum, unde profectus venit ad Triballorum ducem. mercede autem conductus, longo admodum tempore apud hunc ducem versatus est, ubique, quocunque mitteretur, fortitudinem et diligentiam memorabilem ostendens. quondam cum venatum abiisset Triballorum dux, eique appareret lupus, confestim Iangum vocat, ut lupum caperet. qui ut accessit ducisque voluntatem intellexit, continuo lupum insectatus est pernicissime. lupus ingreditur flumen quod obviam erat, et natare incipiebat, si praesens periculum subterfugere posset. nec tamen Iangus a persecutione cessavit, verum insidens equo flumen tranavit. ubi natando flumen superatum est, lupi vestigiis haud abcessit. postremo lupum assecutus est et confecit, pellemque deripuit, tranatoque fluvio ad ducem reversus est; praetendensque manibus lupi pellem exclamat "o domine, factum est ut imperasti: lupum peremi, pellem cape. ea, ut voles, utere." hoc facinore dux admodum delectatus in haec verba linguam solvit "certe non potest fieri quin aliquando vir ille ad maximam promoveatur potentiam." haec tum temporis locu-

ξεται. τότε μὲν δὴ οὕτως εἰπὼν τὸ ἐντεῦθεν χρήμασί τε D ἐθεράπευε, καὶ διατρίψας αὐτοῦ χρόνον συχνὸν ἀφίκετο ἐπὶ τοὺς Παίονας. λέγεται μὲν δὴ καὶ πρὶν ἢ ἐπὶ τὸν Τριβαλλῶν ἡγεμόνα ἐλθεῖν, Ἀλίεω τοῦ Βρενέζεω γενέσθαι θεράποντα, καὶ θητεῦσαι παρ' αὐτῷ ἱπποκόμον γενόμενον. οὐκ ἔχω δὲ ὅπῃ τοῦτο ἀληθὲς εἶναι συμβάλλωμαι· τήν τε γὰρ ἂν φωνὴν ἐξέμαθε τὴν Τούρκων. ὡς μὲν οὖν ἐτράπετο ἐπὶ τοὺς Παίονας, καὶ συμπαραλαβών τινας μεθ' ἑαυτοῦ παρῄει ἐπὶ τὰ βασίλεια, μισθὸν φάσκων ἥκειν αὐτοῖς σὺν τοῖς ἀμφ' αὐτὸν ληψόμενος, ἐλάμβανέ τε τὸν μισθόν, καὶ ἐς διαφορὰν καθισταμένων τῶν Παιόνων πρὸς τοὺς Γερμανοὺς μεγάλα P. 137 ἀπεδείκνυτο ἔργα, ὁπότε ἔδει αὐτίκα παρόντα, ἐν τάχει τε παραγενόμενος καὶ μαχόμενος ἀξίως λόγου. μετὰ δὲ ταῦτα ἐπισπομένων αὐτῷ καὶ πολλῶν ἄλλων εὐδοκιμῶν ἐφαίνετο πανταχῇ, δι' ἃ δὴ καὶ ἐπετέτραπτο τὴν τῆς Ἀρδελίου χώρας ἀρχὴν ὑπὸ τῆς Παιόνων βουλῆς. καὶ ἄρχων ταύτης τῆς χώρας τόν τε Σαβατίνην καὶ εὐνοῦχον τοῦ βασιλέως στρατηγὸν καθεῖλέ τε καὶ ἐτρέψατο, νίκην ἀνελόμενος εὐδοξοτάτην, ἀφ' ἧς δὴ τὰ Παιόνων πράγματα ἐπανῆκεν ἐπὶ τὴν πρότερον σφῶν κατάστασιν γενόμενοι, ἀφ' οὗ κατὰ χρόνον Παιαζήτεω τὸν βασιλέα Παιόνων Σιγισμοῦνδον τρεψαμένου, τήν τε χώραν ἐπελαύνοντες ἐδῄουν θαμὰ ληιζόμενοι οἱ Τοῦρκοι, καὶ B

1. οὗτος P 9. αὐτὸς? 21. Παιόνων ἐς Σιγισμοῦνδον P
22. ἐπελαύνοντος, ἐδῄου P

tus, virum deinceps pecunia opibusque coluit. cum tempore multo apud ducem istum moras traxisset, tandem ad Pannones rediit. sunt qui tradunt Iangum, antequam pervenerit ad Triballorum ducem, fuisse famulum Aliis Breuezis filii, eique mercede serviisse, cum fungeretur equorum curatoris partibus. nescio autem unde coniecturam facere possim, ut id verum esse credam: nam linguam Turcicam eo modo didicisset. reversus autem ad Pannones, assumptis aliquot aliis, procedebat in regiam, dicens se advenire, ut sibi suisque mercedem accipiat; nec repulsam passus est. cum autem bellum arderet inter Germanos et Pannones, magna militaria edebat opera, praesens semper. ubicunque eius opera desiderabatur, statim approperans, fortissime praeliabatur. postea congregatis ad eum aliis plurimis, ubique illustris apparebat. quapropter Ardelii regionis principatus concilio Pannonum ei decretus est. cui regioni cum imperaret, Sabatinem interfecit eiusque exercitum in fugam coniecit, victoriam suis nuntians longe pulcherrimam. haec victoria Pannonum res erexit in pristinum statum. ex quo enim tempore Paiazitis auspiciis ductuque Turci regem Sigismundum in fugam verterunt, haud cessarunt Turci in Pan-

ἀνδράποδα ὡς πλεῖστα ἀγόμενοι ἐνέπλησαν τήν τε Ἀσίαν καὶ Εὐρώπην ἀνδραπόδων Παιονικῶν. ἐπεὶ δὲ Ἰάγγος ἀφικόμενος ἐπὶ τὴν Ἀρδελίου χώραν τόν τε εὐνοῦχον ἐτρέψατο καὶ τοὺς περὶ αὐτὸν ἐτρέψατο Τούρκους, τόλμῃ τε ἐχρήσαντο οἱ Παίονες ἀπὸ τοῦδε, καὶ ἔργα ἀπεδείκνυντο ἐς τοὺς Τούρκους ἄξια λόγου. τόν τε γὰρ Ἴστρον διαβάντες πολλάκις διέφθειρον, καὶ ὅποι περιτύχοιεν ὀλίγοι πολλοῖς οὖσι τοῖς Τούρκοις, εὐπετῶς τε περιεγένοντο καὶ οὐδὲ εἰς χεῖρας ἀφικομένους σφίσιν ἐτράποντο.

Τότε μὲν δὴ περιγενόμενος ἐπὶ μέγα ἐχώρει δυνάμεως. καὶ στρατηγὸς δὲ μετὰ ταῦτα ἀποδειχθεὶς ὑπὸ τῆς Παιόνων C βουλῆς πρὸς τοὺς Τούρκους τε καὶ Γερμανοὺς τὸν πόλεμον διέφερε, γενναιότατα διαγωνιζόμενος. οἱ μέντοι Παίονες πρός τε τοὺς Γερμανοὺς διενεχθέντες τε ἐπολέμουν, ἀπὸ αἰτίας τῆσδε ἐς διαφορὰν ἀλλήλοις ἀφικόμενοι. μετὰ δὲ ταῦτα καὶ πρὸς Τζέχους καὶ Βοεμίους καλουμένους ἐπὶ συχνόν τινα χρόνον τὸν πόλεμον διαφέροντες μεγάλα κακὰ ἐποίουν ἀλλήλους. τρέπονται δὴ οὖν διὰ ταύτην αὐτῶν τὴν διαφορὰν ἐπὶ τοὺς Πολανίους, καὶ ἐπαγόμενοι τὸν βασιλέως ἀδελφιδοῦν παῖδα βασιλέα τε σφίσιν ἐστήσαντο, καὶ τοῖς Πολανίοις χρησάμενοι συμμάχοις τοῖς τε Γερμανοῖς καὶ Βοεμίοις ἐπέκειντο χαλεπῶς, καὶ ἐδῄουν τὴν χώραν, καὶ πόλεις αὐτῶν ἐπιόντες V. 108 ἐνεπίμπρων οὐκ ὀλίγας. καὶ δὴ καὶ ἐς μάχην καταστάντες

2. ἐπεί τε P

noniam incursiones facere, plurimaque inde abduxerunt mancipia, quibus Asiam et Europam replevere. ubi autem Iangus advenit in Ardelii regionem, princeps declaratus communi Pannonum concilio, Sabatinem et Turcos terga dare coegit. hinc animis resumptis, Pannones praeclaris operibus editis Turcos ubique vincebant. nam Istrum saepius transgressi interfecerunt pauci plurimos Turcos; qui antequam ad manus ventum foret, non sustinentes impetum Pannonum, fugam praecipites inibant.

Ea tempestate ad maximam potentiam promotus est Iangus. deinde creatus dux consensu unanimi totius Pannonum concilii, bellum contra Turcos et Germanos suscepit, fortissime semper rem gerens. Pannones gerebant bellum cum Germanis cuius haec causa perhibetur. * * * postea bellum indixere Tzechis, qui Boemi dicuntur. id bellum diu duravit, plurimis ultro citroque cladibus illatis. Pannones isto bello permoti accedunt Polonos, et inde adductum regis patruelem sibi ducem crearunt. cum igitur Poloni socia Pannonibus iungerent arma, contigit ut Pannones Germanos et Boemos graviter affligerent: agros enim horum evastarunt, urbesque non paucas incenderunt. praeterea interdum ex acie dimicarunt, collatis signis. verum incerto Marte,

ἐμάχοντο· καὶ ὁτὲ μὲν περιεγένοντο οἱ Παίονες, ὁτὲ δὲ D καὶ ἡττῶντο, καὶ ἐπὶ βραχὺ αὖθις ἀναλαμβάνοντες σφᾶς ἀνεμάχοντο. τήν τε γὰρ μάχην ποιοῦνται τάδε τὰ γένη κατὰ τὸ καρτερόν, οὐδενὸς φειδόμενοι, ἀλλὰ δόρασί τε ἐπιόντες καὶ τηλεβόλοις καὶ σιδηρίοις καταπέλταις ἱππικοῖς καὶ ἑτέροις βέλεσι διαμαχόμενοι κατακαίνουσί τε ἀλλήλους. ἐπειδὰν δὲ ἐς φυγὴν γένωνται, οὐκέτι ἀνήκεστον συμβαίνει σφίσιν ἐς τὴν φυγήν, ἀλλ' ἣν παραδιδῷ τις ἑαυτὸν καὶ ὁμολογίᾳ χρῷτο ὡς ἡττημένος, ἀφίησιν αὐτὸν ἀπιέναι, ἐφ' ᾧ τοῦ λοιποῦ μὴ διαμάχεσθαι αὐτῷ, ἐπειδὰν συνίωσι τὰ στρατεύματα ἀλλήλοις καθιστάμενα ἐς τὴν μάχην. ταύτῃ μὲν δὴ P. 138 ἐς ἀλλήλους κατὰ τὰς μάχας χρῶνται καταστάσει, ὥστε ἐπειδὰν τρέποιτο ἐς φυγὴν τὰ στρατεύματα, οὐ πολύ τι μέρος αὐτῶν τὸ ἐντεῦθεν ἀπογίνεσθαι.

Τὴν μέντοι Δακίαν αὐτοὶ οἱ Παίονες ἐπελθόντες, ἡγουμένου τοῦ Χωνιάτου, καθίστασαν Δάνον ἡγεμόνα αὐτοῖς καὶ πείθεσθαι αὐτὸν ἐκέλευον. οὗτος μὲν οὖν ἐξελαυνομένου τοῦ Δρακούλεω ἡγεμόνος αὐτῶν, καὶ ἐπὶ τὰς βασιλέως θύρας ἰόντος, τήν τε χώραν κατέσχεν ὁ Δάνος, καὶ τοὺς ἐπιτηδείους Δρακούλεω τοῦ ἡγεμόνος διειργάζετο, ὅποι πυνθάνοιτο αὐτῶν τινὰ περιεῖναι. οὗτοι μὲν δὴ παῖδες λέγονται γενέσθαι τοῦ Μύρξεω νόθοι, καὶ τούτων ἐνίους πλαττομένους B ὑπὸ τῶν τῆς χώρας γένει τε καὶ πλούτῳ εὐδοκιμούντων κα-

6. καταβαίνουσι P

nunc victores nunc victi, praeliis excedebant. deinde ubi paululum respirassent et collegissent vires, bellum instaurabant. nam populi isti vi omnia agunt, et in praeliis nemini parcunt. hastis impetunt hostes, bombardis utuntur, ferreas habent equites balistas, necnon aliis telis rem gerunt inter se pugnantes. quando autem fuga initur, in fugientes nec caede nec persecutione admodum saevitur. verum si quis se ipse dedat et victum se confiteatur, abit intactus et inviolatus: hac tamen condicione, ne se postmodum praelio committat, contra victores praeliaturus. hunc morem belli tempore servant: proinde in fuga non multi cadunt.

Pannones duce Choniate profecti sunt in Daciam, et ducem Danum nomine regioni praefecerunt, Dacosque ei obtemperare iusserunt. Danus igitur expulso duce Dracule, qui ad ianuas regis confugerat, Daciam obtinuit, omnesque Draculis propinquos et necessarios, ubicunque aliquem superstitem accipiebat, peremit. hi duces traduntur fuisse filii nothi, qui Myrxae nati sunt. et quosdam horum, cum putarentur esse Myrxae filii, ab regionis incolis genere opibusque plurimum pollentibus in Daciae ducatum subvectos esse; quasi Da-

θίστασθαι ἐς τὴν τῆς Δακίας ἡγεμονίαν, ὡς ξύμφορά τε ἅμα καὶ λυσιτελῆ ἔσοιτο σφίσιν ἐς τὴν ἀρχὴν καθισταμένων. ὧν δὴ ἕνα τε καὶ δύο ἀναπυνθανόμενος εὗρον, καὶ ἐξέμαθον τό τε γένος αὐτῶν καὶ τοὺς πατέρας· ἀλλ' οὐκ ἐξοίσω ἐς τοὺς πολλοὺς τοὔνομα διασημήνας. Δάνος μὲν οὖν τότε ὑπὸ Παιόνων κατήχθη ἐς τὴν Παιόνων ἀρχήν, καὶ ἔσχε τὴν χώραν, θεραπεύων τε ἀπὸ τοῦδε διετέλει τοὺς Παίονας. καὶ ὡς ἐπέκειντο τὴν χώραν διαβαίνοντες κρύφα οἱ τοῦ βασιλέως αὐτοῦ παρὰ τὸν Ἴστρον καθεστῶτες ὕπαρχοι, πρέσβεις τε
C ἔπεμπεν ὡς βασιλέα, καὶ εἰρήνην αἰτούμενος ἔπρασσεν ὅπως αὐτῷ γένοιτο, ἀπαιτηθεὶς ἀπάγειν ἐς τρισχίλια τόξα καὶ θυρεοὺς τετρακισχιλίους τοῦ ἐνιαυτοῦ, σπονδάς τε ἐποιήσατο. καὶ οὕτω δὴ ἐπὶ κατάστασιν εὖ ἔχουσαν ἑαυτῷ ἀφικόμενος ἡγεμόνευέ τε τῆς Δακίας, καὶ πρὸς τὸν Πογδανίας τῆς μελαίνης ἡγεμόνα ἄγγελον πέμψας εἰρήνην τε ἐποιήσατο, καὶ ἐπιγαμίαν αὐτῷ ποιησάμενος συνεβάλλετο αὐτῷ ἐς τὸν πρὸς τὸν Δρακούλη μετὰ ταῦτα πόλεμον.

Ταῦτα μὲν δὴ ἐς τὴν ἀρχὴν οὕτως ἔσχεν αὐτῷ τὰ πράγματα· Ἀμουράτης δὲ μετὰ ταῦτα ἐπὶ Κολχίδα γῆν τριήρεις ἔπεμψε, τήν τε χώραν δῃῶσαι καὶ ἀνδραποδίσασθαι τὴν πόλιν, ἣν δύνωνται, καὶ ἐπὶ Γοτθίαν ἐπιπλεῦσαί τε, καὶ ὅποι
D παρείκοι, τὴν χώραν λῄσασθαι ἀποβάντας. καὶ ἐπιπλέουσαι μὲν

3. ἀναπυνθανόμενοι P 22. παρήκοι P

cis plurimum conduceret, si isti in ea regione praeessent rerumque summa potirentur. quorum unum atque alterum percunctando cognovi genus et parentes: verum nomina eorum non omnibus significabo. Danus ea tempestate a Pannonibus in Dacorum principatum collocatus Daciam tenuit, et deinceps Pannones artissime coluit. cum autem inquietaretur subinde ab regis ducibus prope Istrum collocatis, qui clam ipsius regionem populationibus divexabant, missis legatis ad regem pacem oravit, quam haud gravatim consecutus est, hac tamen condicione, ut quotannis regi tributi nomine daret tria milia sagittarum et clipeorum quattuor milia. Daciae res ita ordinans quemadmodum sibi commodissime fore rebatur, eam pulchre imperio rexit. legatum ire iussit ad Pogdaniae nigrae principem, cum quo pacem fecit; cui etiam affinitas iuncta est, qua excitus eum enixe adiuvit in bello quod cum Dracule gessit.

Daciae principatus in hunc modum ab novo principe reformatus et instructus est. Amurates postea in Colchida imperiumque Trapezuntinum triremes misit, regionemque Colchidis vastans etiam urbem diripere et inde plurima mancipia auferre annitebatur. triremes illae etiam in Gothiam cursum flexerunt, eamque regionem populati sunt.

αἱ τριήρεις προσέσχον ἐς γῆν τε τὴν Κολχίδα, καὶ ἐπὶ τοὺς Γότθους ἀφικόμενοι ἐληλάτουν τὴν χώραν, ἀνδραποδισάμενοι οὐκ ὀλίγην. ἐπανιόντι δὲ τῷ στόλῳ χειμὼν ἐγένετο ἰσχυρός, καὶ ἄνεμος ἀπαρκτίας ἐπιβαλὼν ἐξήνεγκεν ἐς τὴν Ἀσίαν κατὰ τὴν Ποντοηράκλειαν, καὶ φερόμεναι αὐτοῦ ἔνιαι τῶν τριηρῶν διεφθείροντο καὶ ἐν ξυμφορᾷ ἔσχοντο τοιαύτῃ.

Πρὸς Ἰαννύους μέντοι αὐτῷ φιλία ἦν διὰ τέλους καὶ εἰρηναῖα. Ἰαννύοι μὲν δὴ τότε πρός τε σφᾶς αὐτοὺς περιπεσόντες μεγάλως τε ἐσφάλλοντο περὶ τὴν πόλιν αὐτῶν, καὶ δὴ καὶ τῶν στασιωτῶν ἐπαγομένων Φίλιππον τὸν Λιγύρων P. 139
ἡγεμόνα τήν τε πόλιν ἐπέτρεψαν, καὶ οὗ ἂν ἐξηγοῖτο εἵποντο V. 109
τῷ ἡγεμόνι. πυνθάνομαι γενέσθαι δὴ τοῦτο αὐτοῖς καὶ τὸν δῆμον ἑλόμενον ἐπαγαγέσθαι τοῦτον σφίσι τύραννον καταστησαμένους διὰ τὸ πρὸς τοὺς Οὐενετοὺς ἔχθος καὶ τὴν πρὸς ἐκείνους αὐτῶν διαφοράν, καὶ ὅτι καὶ τὸν Μεδιολάνου τοῦτον ἡγεμόνα ᾔσθοντο πολεμοῦντα τοῖς Οὐενετοῖς κατὰ τὸ καρτερὸν καὶ διαφέροντα τὸν πόλεμον ἐντεταμένως.

Ἔστι δ' ἡ πόλις αὕτη πρὸς τὸ ἄκρον τῆς Ἰταλίας κατὰ τὴν Γαλατίαν· Τυρρηνῶν δὲ τῆς χώρας ἔχεται τὸ πρὸς ἕω ἰόντι, καὶ Τυρρηνικοῦ πελάγους ἅπτεται, ταύτῃ τετραμμένη τὸ πρὸς ἀνίσχοντος ἡλίου ἡ πόλις, πρὸς δὲ ἑσπέραν ἀπαλλαττομένης τῆς χώρας Ἰαννύων ἐπιβαίνειν ἔστι τῆς Προβεντίας, B

17. ἐκτεταμένως P

triremes igitur istae in Colchida properarunt; et ad Gothos appellentes regionem haud mediocam vastabant, plurimis inde mancipiis abductis. reditum autem cum maturaret classis, tempestas saeva exorta est. nam ventus qui Aparctias dicitur, exurgens classem disiecit et in Asiam iuxta Heracleam Ponti detulit. interim naves quaedam tempestate quassatae interciderunt, in huiusmodi calamitatem praecipitatae.

Cum Ianuensibus ei intercessit amicitia diutina, et quasi pax perpetua. Ianuenses autem eo tempore seditione agitati res suas pene contudere, cum seditiosi admitterent Philippum Ligurum ducem, eique urbem committerent, promptissime sequentes quocunque eos eduxisset. hoc eis accidit, cum etiam populus eligeret istum ducem propter odium implacabile, quo ferebantur in Venetos. norant enim Mediolani ducem Venetis admodum esse infestum et acerrime cum his bellum gerere.

Ianua urbs sita est in extrema Italia, qua Galliam respicit: Tyrrhenos attingit versus Orientem. mare Tyrrhenum spectat, qua urbis situs Orientem versus excurrit. versus Occidentem egressos Ianuensium regione excipit Provincia, quae Gallia est; et eius incolae degunt sub rege

ἥτις Γαλατία ἐστὶ καὶ ὑπὸ τῷ τῶν Κελτῶν βασιλεῖ τεταγμένοι διατελοῦσιν. ὀνομάζεται δὲ διὰ ταύτης πύλη Ἰταλίας, ὡς αὐτίκα ἀπὸ τούτων ἐμβάλλει ἐς Γαλατίαν. πολιτεύεται δὲ οὔτε ἐς δημοκρατίαν τὸ παράπαν τετραμμένη ἡ πόλις οὔτε ἐς ἀριστοκρατίαν· ἐπιμεμιγμένη δὲ ἀμφοῖν ταῖς καταστάσεσι τοῦτο μὲν ἐς δημοκρατίαν δοκεῖ ἀποκλίνειν, τοῦτο δ' αὖ ὑπὸ ἀρίστων τινῶν διιθύνεσθαι, τὰ ἐς τὴν ἀρχὴν αὐτῇ διατιθεμένη. ἔστι γὰρ δύο γένη ἐν τῇ πόλει ταύτῃ ἀπὸ παλαιοῦ προεστῶτες τῆς πόλεως, καὶ πρωτεύοντες οὕτως ὥστε ξύμπαντα τὸν δῆμον ἐπὶ τούτους τετράφθαι, τῷ παντὶ C θάτερα ταλαντευόμενον. τὸ μὲν δὴ τοῖν γένοιν καλεῖται Ντόρια, τὸ δὲ ἕτερον Σπίνουρα. ἐπὶ τούτους ὁ δῆμος διῃρημένος αὐτοῦ αἱρεῖται τὴν Σπινούρα αἵρεσιν, τὸ δὲ αὐτοῦ Ντόρια. ἄγοντες δὲ οὗτοι τὸν δῆμον, καθιστάναι μὲν ἀπὸ σφῶν αὐτῶν ἡγεμόνας τῇ πόλει οὐκ ἔξεστιν, οὐδὲ ἐπιτρέπει ὁ δῆμος· ἀλλ' ἐστὸν δύο ἑτέρω γένεε, δημόται ὄντες, καὶ τὸ μὲν τῶν γενῶν τούτων πρὸς τὸ γένος τῶν ἀρίστων τετραμμένον ἐστὶ καὶ ἐπιτήδειον, τὸ δὲ αὖ πρὸς τὸ ἕτερον. καλεῖται δὲ τούτων τὸ μὲν Ἀδόρνοι τὸ δὲ Φρεγούσιοι. ἀπὸ δὲ τούτων τῶν οἰκιῶν νομίζεται αὐτοῖς, ὁποία δὴ τῶν ἀρίστων μοῖρα ἐπικρατοίη, ἐγκαθιστάναι τῇ πόλει ἄρχοντα. καὶ τῶν μὲν D Ἀδόρνων ὁ οἶκος ᾠκείωται τῷ Σπινούρᾳ γένει, τῶν δὲ Φρεγουσίων τῷ Ντόρια ἐπιτήδειόν τέ ἐστι καὶ ἐγκαθιστάμενον

13. αὐτοῦ] τὸ μὲν αὐτοῦ H   21. τῶν] τὸ P   22. τῶν] τὸ P

Gallorum, quapropter porta sive ianua Italiae vocatur, quasi hinc in Italiam procedatur. ianuae res publica ita administratur, ut neque omnino in democratiam neque in aristocratiam propendeat. verum ex utrisque ea res publica iuxta partim in democratiam et partim in aristocratiam inclinat, maxime in iis quae ad principis electionem pertinere videntur. sunt enim in urbe ista familiae duae, quae ab antiquo eam gubernarunt et principatum in ea obtinent, adeo ut populi studia in utrasque quasi aequa lance conferantur. una de Auria sive Doria nominatur, et altera Spinula. in has familias studia populi divisa cum sint, accidit plerumque ut pars Doriam pars Spinulam eligant. hi igitur regentes populum, de suo corpore duces constituere non audent, nec populus permittit. sed extant aliae familiae duae, quae de populi corpore habentur. una ad optimates, altera ad populum studiis inclinat. uni nomen Adorni est, alteri Phregosii appellantur. ex his familiis dux civitati ab ea parte optimatum quae vincit datur. Adorni familiaritate iuncti sunt Spinulis, at familia Phregosiorum necessitudinis iure devincta est Doriis et

ὑπ' αὐτοῦ ἐς τὴν ἀρχήν. τῷ δὲ ἡγεμόνι τούτῳ, ἐπειδὰν ἐς τὴν ἡγεμονίαν κατασταίη, ἐπιτέτραπται κατὰ τοὺς νόμους, ἐπιλαβομένῳ καὶ τῶν ἀρίστων τινῶν, τρέπειν ὡς ξυμφερώτατα. περὶ μὲν οὖν τῶν προσόδων τῆς πόλεως τούτους νομίζεται ἐπιτροπεύειν, διαθεῖναι ᾗ ἂν αὐτοῖς δοκοίη· περὶ πολέμου δὲ καὶ εἰρήνης νομίζεται τὸν δῆμον παρελθόντα ἐς μέσον αἱρεῖσθαι ὅ τι ἂν αὐτῷ δοκοίη, ἑλόμενον δὲ ἐπιτρέπειν τῷ ἡγεμόνι πράσσειν ὡς λυσιτελέστατα. ἐς δὲ τὰς δίκας τῆς πόλεως ἐγκαθίστανται δικασταὶ ὑπὸ τοῦ ἐπικρατοῦντος γένους, καὶ δικάζουσι κατὰ τὰ σφῶν αὐτῶν. τῆς δὲ δίκης ἔφεσίς ἐστιν ἐπὶ τὸν δῆμον, ἐπειδάν τις αὐτῶν μὴ κατὰ τοὺς P. 140 νόμους δικάσηται. διενεχθέντε δὲ τὼ γένεε τούτω, Ντόριά τε καὶ Σπίνουρα, καὶ ἐς διαφορὰν σφίσι καθισταμένω μεγάλα τε τὴν πόλιν κακὰ εἰργάσαντο, τυράννους τε ἐς τὴν πόλιν ἐγκαθιστάντες, καὶ ἐπαγόμενοι ἀθέμιτα ἐπὶ τὴν πόλιν πράγματα. τῶν δὲ γενῶν τούτων τὸ μὲν πρὸς τοὺς Λίγυράς τε καὶ Ἰταλίαν τετραμμένον αἱρεῖται ἑαυτῷ τοὺς Ἰταλοὺς καὶ συμμάχους ἐπάγεται, ... τοῦ Κελτῶν βασιλέως ἐπὶ τὴν πόλιν. ξυμφοραῖς μὲν οὖν πολλαχῇ περιέπεσεν ἡ πόλις αὕτη, ἐς ἀνήκεστα κακὰ προαγομένων τῶν τῆς πόλεως γενῶν ἐπ' ἀλλήλους, καὶ τοὺς σφῶν αὐτῶν πολεμιωτάτους ἐπαγομένων B ἐπ' ἀλλήλους· ἐπειδὰν μέντοι ἀνάγκῃ περιπίπτοντες ἀνηκέ-

3. πράσσειν? an ἐπιτροπεύειν?

ab his in principatum provehitur. duci, ubi primum creatus est, permittitur, in consilium adhibitis optimatibus quibusdam, agere secundum leges quae maxime rei publicae conducere censuerit. vectigalia et urbis reditus ordinat ad eum modum, quo iudicaverit plurimum opibus urbis accessurum. de bello et pace populus in medium procedens consultat, et ex sua sententia ista procurat. si autem bellum adversus aliquem hostem decreverint suscipiendum, duci belli administrationem concedunt, ut sedulo caveat ne quam calamitatem sive damnum res publica capiat. quantum attinet ad urbanam iurisdictionem, iudices constituuntur, qui petuntur a praedominante familia, et per se iudicant. si autem non secundum leges iudicarint, provocatio ad populum est. cum autem intestinis discordiis duae illae familiae, Spinula et Doria, arderent, urbem in maxima praecipitarunt pericula: tyrannos enim introduxerunt in rem publicam, et alia nefanda in eam commiserunt. familia quae Ligures et Italos studiis prosequebatur, eligebat Italos, eosque in belli societatem adducebat. altera familia Gallorum regis auxilium implorabat, quem sibi socium faciebant. contigit ergo ut civitas illa in gravissima devolveretur pericula, dum utraque factio adduceret in urbem

V. 110 στῳ παρὰ τὰ σφῶν ἔθιμα ἀναγκάζοιντο πολιτεύεσθαι ὑπὸ τῶν τυράννων, δαιμονίως ὁμοφρονοῦντες ἀλλήλοις κατὰ τὸ ἰσχυρὸν ἐξελαύνουσί τε αὐτίκα ὃς ἂν τύχῃ ἐν τῇ πόλει διαιτητὴς οὐκ ἀγαθός. ἐπαγόμενοί τε γὰρ πολλάκις τῶν Κελτῶν βασιλέα, ἐπιτρέψαντες τὴν πόλιν, αὖθις ἐξήλασαν ὁμοφρονοῦντες ἀλλήλοις, ὥστε μὴ πάνυ ἐνδιατρίβειν ἐῶντες παρὰ σφίσι τὴν τυραννίδα ὁ δῆμος ἐπὶ τὴν ἐλευθερίαν ἐπανίασι, τὰ παρόντα σφίσι καινοτομοῦντες καὶ ἐξελαύνοντες, αὖθις
C καθιστᾶσι τῶν ἀστῶν ἡγεμόνας καὶ κατὰ τὰ πάτρια πολιτεύονται. διάφοροι δέ εἰσι μάλιστα τοῖς ἀπὸ Ταρακῶνος καὶ τοῖς Ταρακονησίοις τὸ παλαιόν, καὶ πολέμους διέφερον ἐπὶ πολλαῖς γενεαῖς ἐς τούτους τε καὶ τὴν χώραν αὐτῶν, καὶ ἰδίᾳ τε καὶ δημοσίᾳ, ὅποι ἀλλήλοις περιτύχωσιν, εἰς μάχην αὐτοὺς καθίστανται, ὥστε ἀνελεῖν ἀλλήλους, ἢν δύνωνται. Ταρακονησίοις μὲν οὖν ἐς διαφορὰν καθεστῶτες αἰεί τε πολέμιοί εἰσιν ἐξ ὅτου ἐγένοντο· πρὸς δὲ τοὺς Οὐενετοὺς διηνέχθησαν μὲν καὶ πάλαι διὰ τὰς ἐν τῷ Αἰγαίῳ πελάγει νήσους Χίον τε καὶ Λέσβον, οὐχ ἥκιστα δὲ καὶ διὰ τὸν Λιγύρων ἡγεμόνα, ὃν σφίσιν ἐπαγόμενοι τύραννον ἐγκατέστησαν καὶ ἐν στάσει γενόμενοι τὴν πόλιν ἐπέτρεψαν ἐπιτροπεύειν τε, καὶ
D Οὐενετοῖς ἐπολέμουν καὶ τῷ Ταρακονησίων βασιλεῖ. καὶ ναῦς μὲν ἐπλήρουν ἐς τὸν πρὸς Οὐενετοὺς πόλεμον, καὶ ἐπιπλέοντες

11. πολέμου P 14. αὐτοῖς?

eos qui summo urbis odio laborabant. postmodum res publica in acerbam necessitatem redacta est, quia legibus patriis amplius non regebatur. tandem igitur malis victi animi, cum iterum coalescerent mutua concordia, eos iudices sive principes qui minus idonei videbantur vi eiiciunt. praeterea cum saepius Gallorum regem advocassent, eique urbis regimen commisissent, tandem coniuratione facta eum saepius vi expulerunt, haud aequis animis tyrannidem tolerantes. populus enim libertatis cupidus novis rebus inhiabat; eiectisque tyrannis duces de corpore suo creabant, et patrio more legibusque rem publicam porro gubernabant. sunt autem Ianuenses iam ab antiquo Tarraconensibus admodum infesti, bellumque multis generationibus contra eos gessere. publice privatimque discordias et inimicitias hostiles exercuere, adeo ut si alicubi alius alii occurreret, in mutuas caedes ruerent. inimicitiae cum Tarraconensibus implacabiles perpetuae fuerunt Ianuensibus. etiam Venetos iam olim odio prosequebantur, propter Lesbum et Chium insulas in Aegaeo mari sitas, necnon propter Ligurum ducem, quem sibi principem praefecerant. cum autem intestina seditione laborarent, aliis quibusdam urbis gubernacula mandarunt: ipsi vero bellum cum Venetis et Tarra-

τάς τε ἐς τὸν Ἰόνιον πόλεις ἐκάκουν καὶ τὰς ἐπὶ τῷ Αἰγαίῳ. ταῦτα δὲ ἔπρασσον τοὺς Οὐενετοὺς τιμωροῦντές τε τῷ Λιγύρων τυράννῳ τῷ Φιλίππῳ. καὶ τήν τε Κέρκυραν πῦρ ἐνιέντες ἐς τὰ προάστεια κατέκαυσαν, καὶ ἔβλαπτον εἴ τι προχωροίη αὐτοῖς. ὕστερον μέντοι, ὡς πρὸς τὸν Ταρακόνων βασιλέα ᾧ ὄνομα Ἀλφόνσος διενεχθέντες, ἐμάχοντο πρὸς Γαέτην πόλιν τῆς Ἰταλίας· ἐνταῦθά τε γὰρ καθορμιζομένων τῶν τοῦ βασιλέως Ἀλφόνσου νεῶν μεγίστων, καὶ ὡς ἐπύθοντο οἱ Ἰαννύοι τόν τε στόλον αὐτοῦ ἐνταῦθα ὡς ἐπ' αὐτοὺς παρασκευαζόμενον τὸν βασιλέα, πληρώσαντες ναῦς μεγίστας δὴ P. 141
ὧν ἡμεῖς ἴσμεν, τῶν ἐπὶ τὴν ἐμπορίαν ἀφικνουμένων, καὶ ἐξοπλισάμενοι ἀπὸ τῆς πόλεως ἀνήγοντο ἐπὶ τοὺς Ταρακονησίους, καταλαβόντες δὲ αὐτὸν ἐν τῷ Γαέτης λιμένι διεναυμάχουν ταῖς τοῦ βασιλέως ναυσὶν ἐπὶ πολὺν χρόνον. ἔτυχε δὲ αὐτοῦ τότε παρὼν ἐν τῇ πόλει ὁ βασιλεύς, καὶ τὴν μάχην θεώμενος ἤσχαλλέ τε καὶ ἠθύμει, ὅτι πλειόνων ἐν ταῖς ἑαυτοῦ ναυσὶν ὄντων ἀνδρῶν οὐχ οἷοί τε ἐνῆν ὑπερβάλλεσθαι τὰς τῶν πολεμίων ναῦς. καὶ δὴ καὶ ἐμβὰς αὐτὸς ἐς τὰς ναῦς ὥστε ἐποτρῦναι αὐτοὺς ἐπὶ τὸν πόλεμον, μάχης οὖν καρτερᾶς γενομένης ἥ τε ναῦς ἑάλω, καὶ σὺν αὐτῇ τε ἅμα ἑάλω καὶ ὁ Ταρακόνων βασιλεύς. εἷλε δὲ καὶ τὴν ναῦν γραμματιστὴς τοῦ Ντόρια, ναυαρχοῦντος τότε τοῖς Ἰαννύοις. οἳ ἐπεί- B

17. ἦσαν? 22. ὃς P: corr H

conensium rege gerere auspicabantur. naves militibus, contra Venetos quas ducant, complent. urbes versus Ionium adnavigantes graviter affligebant; nec abstinebant ab iis quae in Aegaeo mari habitantur. haec autem magno animo peragebant, ut Venetos ulciscerentur propter Ligurum tyrannum nomine Philippum. praeterea ignem iniicientes in Corcyram suburbana incenderunt, quae cremata sunt; et latius saeviisset incendium, si res, ut animo agitarant, evenisset. postea praelium commisere, cum inimicitiae hostiles intervenissent cum Alphonso Tarraconensium rege, ad Gaeten sive Caietam Italiae urbem. huc enim regis Alphonsi naves appulerant maximae. quod ubi cognoverunt Ianuenses, videlicet regis classem eo collectam stare comparatam adversum sese, cives armatos naves maximas, quas huc mercium gratia venisse comperimus, conscendere iubent; solventesque ab urbe cursum contra Tarraconenses dirigebant. cum autem Tarraconensium regem assecuti essent in portu Caietae, tempore longo certarunt. rex eo tempore intra moenia existens praelium spectabat; et admodum dolebat, quod sui, qui plures numero erant, hostes superare non possent. ingressus igitur ipse naves, suos cohortando ad praelium accendere nitebatur. commisso itaque praelio magno capta

τε περιεγένοντο καὶ αὐτὸν εἷλον τὸν βασιλέα, ἀπέπλεον ἐπ'
οἴκου. ὡς δὲ ἀγχοῦ τῆς πόλεως ἐγένοντο, πρὶν ἢ ἐς τὴν πό-
λιν αὐτὸν καθορμίσασθαι, ἀποστρέψας ἔπλει ἐπὶ τὴν τοῦ Λι-
γύρων ἡγεμόνος χώραν, ὡς αὐτόν τε ἐκείνῳ ἄξων αἰχμάλω-
τον τὸν βασιλέα Ἀλφόνσον, καὶ οἰόμενος μέγα τι ἀποίσεσθαι
αὐτῷ κέρδος ἀπὸ τοῦ ἡγεμόνος. ἐπιβὰς δὲ τῆς χώρας αὐ-
τοῦ ἧκεν ἄγων τὸν βασιλέα αἰχμάλωτον παρὰ τὸν Λιγυρίας
τύραννον. ἐνταῦθα ὁ Μεδιολάνου ἡγεμὼν οὗτος τόν τε βα-
σιλέα ὑπεδέξατο ἐν τιμῇ, καὶ μεγάλως τιμήσας αὐτὸν ἀπέ-
πεμψεν ἐπὶ τὴν ἀρχὴν αὐτοῦ. καὶ τὸ ἀπὸ τοῦδε οἵ τε
C Ἰαννυΐων ἄνδρες γνώμῃ διενεχθέντες πρὸς τοῦτον οὐ πολλῷ
ὕστερον ἀπέστησαν καὶ τὸν ἄρχοντα ἐξήλασαν, καὶ τοὺς ἐς
V. 111 τὴν τῆς πόλεως ἀκρόπολιν καταφυγόντας ὁμολογίᾳ παραστη-
σάμενοι· καὶ αὐτοὶ ἐς τὰ πατρῷα σφίσι τοῦ λοιποῦ τὴν πό-
λιν διῴκουν, ἐγκαθιστάντες δὲ ἡγεμόνας τῶν ἀστῶν ἐπὶ τῇ
ἡγεμονίᾳ, ᾗ καὶ πρότερον αὐτοῖς ἐνομίζετο. ὁ μέντοι Ἀλφόν-
σος ἀπολυθεὶς ὑπὸ Μεδιολάνου ἡγεμόνος εὔνως τε αὐτῷ
εἶχε, καὶ ἐπιτηδείως ὑπουργῶν ἅττ' ἂν αὐτῷ πρὸς χάριν
ἡγήσαιτο ἥδεσθαι οὐκ ἐπαύσατο διὰ παντός, ἐς ὃ δὴ ὁ τοῦ
Μεδιολάνου ἡγεμὼν ἐτελεύτησεν.

Οὗτος δὲ ὁ Ταρακονησίων βασιλεὺς τῆς τε Βαλεντίας βασιλείων καὶ Ταρακῶνος καὶ τῆς τε Σαρδόνος νήσου καὶ

5. ἀποίσασθαι P 6. αὐτὸς? 13. καταφυγόντες P: corr H
19. ἔσεσθαι?

navis est, quae vehebat regem Tarraconensium. rex simul in potestatem venit. scriba autem Doriae navem cepit, qui in praelio isto navali Ianuensium dux erat. ,qui cum victores praelio excessissent, regem captivum vehentes domum reversi sunt. naves igitur cum appropinquassent ianuae, priusquam urbem iniret dux, navigavit ad Ligurum ducis regionem, ut ei captivum Alphonsum traderet, sperans se inde haud parum commodi accepturum. ingressus itaque Ligurum ducis regionem regem captivum ad eum perduxit. dux Mediolani honorifice et magnifice regem excepit, et tandem incolumem suo regno restituit. at Ianuenses rei indignitate permoti ab illo defecerunt et ducem expulerunt. deinde pergentes contra arcem, eam pactionibus in potestatem acceperunt; et deinceps ritu patrio urbem administrarunt, promoventes ad principatus honorem iuxta antiquas suas leges aliquem de civium numero. Alphonsus dimissus ad suos a Mediolani duce, beneficii memor hunc semper coluit; nec ei gratificari quibuscunque in rebus potuit, cunctatus est, quandiu dux superstes mansit.

Hic Tarraconensium rex imperio temperans Valentiam, Tarraconem, Sardiniam insulam, Cyrnum et Barcenona Iberiae urbem opu-

Κύρνου, καὶ ἐπάρχων τῆς Βαρκενώνης πόλεως εὐδαίμονος D κατὰ τὴν Ἰβηρίαν, ἀφίκετο ἐς Σικελίαν μὲν πρῶτον, μετὰ δὲ ταῦτα ἐς Ἰταλίαν καὶ ἐπὶ Παρθενόπην, καὶ τὴν βασιλείαν κατέσχε τρόπῳ τοιῷδε· τὴν γὰρ Νεάπολιν ταύτην τῆς Ἰταλίας προελθοῦσαν τὸ παλαιὸν ἐς τὸν Κελτῶν βασιλέα, ἀπεδείκνυτο ἀπὸ οἴκου τοῦ βασιλέως ἐς τήνδε τὴν χώραν τῆς Ἰταλίας βασιλέα καὶ ἄρχοντα. ἡ δὲ βασιλεία ἄρχεται μὲν ἀπὸ Ἰαπυγίας ἄκρας καὶ Μεσαπίας, καὶ ἐπὶ πολὺ προϊοῦσα κατὰ τὸν Ἰόνιον κόλπον ἐπ' ἀριστερὰ εἰσπλέοντι ἀμείβει τε τὴν χώραν τῆς Βάρης οὕτω καλουμένης, καί γε τὴν βασιλικωτάτην ἐπέχει λόγου ἀξίαν οὕτω χώραν. μετὰ δὲ τὴν Γήπονον οὕτω καλουμένην διήκει ἐπὶ Γαέτην καὶ ἐπὶ Λεδίην, P. 142 πόλιν ὁμοροῦσαν τὸ πρὸς ἑσπέραν τῇ Ῥωμαίων χώρᾳ, τὸ δὲ πρὸς ἕω τῷ Ἰονίῳ. ἔχει δὲ καὶ τὴν πρὸς Σικελίαν τετραμμένην χώραν, Ἑλλάδα τὸ παλαιὸν καλουμένην, τὰ νῦν δὲ Καλαβρίαν. ὡς δὴ οὖν ἐπὶ τῶν Κελτῶν βασιλέα περιελήλυθεν ἡ τῆς Νεαπόλεως βασιλεία, ἐπέστησαν αὐτῇ βασιλέα τῶν προσηκόντων αὐτοῖ, ἕνα οἴκου τοῦ βασιλέως. ὡς δὲ ἀφικόμενος ἐς τὴν Νεάπολιν (Λαντίλαος δ' ἦν ὄνομα αὐτῷ) ἐβασίλευέ τε τῆς χώρας, καὶ ἐπὶ μέγα δυνάμεως τῶν κατὰ τὴν Ἰταλίαν ἐπί τε τὴν Τυρρηνῶν ἀρχὴν ἐστρατεύετο καὶ ἐπὶ τὴν λοιπὴν Ἰταλίαν, μεγάλα ἀποδεικνύμενος ἔργα. καὶ δὴ καὶ ἐπὶ τὴν τῶν Τυρρηνῶν μητρόπολιν Φλωρεντίαν στρατὸν

12. ἐπὶ Λεδίην] Anagniam margo P

lentam, primum in Siciliam appulit, postea venit in Italiam et Parthenopen, quae et Neapolis, regnumque in hunc modum occupavit. Neapolis quondam Italiae subiecta, translata est ad Gallorum regem, qui de sua familia semper regem et principem huic praeficiebat. regnum autem hoc incipit ab Iapygia summa et Mesapia; et in longum progrediens versus Ionicum sinum, dextra ambit regionem Varea sive Barum dictam. regio ista plane regalissima et regio nomine digna est. post Gepanum (sive Brutios, Terram laboris) sic nominatim extendit se usque Gaeten et Diam urbem Romanorum regioni finitimam. et hic quidem terminus est occidentalis. versus Orientem attingit Gonium. qua autem spectat Siciliam, regionem habet antiquitus Graeciam, nunc vero Calabriam nuncupatam. ubi primum in dicionem regis Gallorum istud regnum concessit, accepit regem propinquum genere regi Gallorum. qui ut pervenit in regnum (nomen eius erat Lantilaus), regioni isti universae imperavit. cum iam opibus reliquaque potentia plurimum polleret, arma cepit adversus Tyrrhenorum regnum atque adeo contra reliquam Italiam, ubique praeclara facinora designans. et quidem movens exercitum contra Tyr-

B ἐπαγόμενος καὶ προσκαθεζόμενος ἐπολιόρκει. ὡς δὲ χρονιωτέρα ἐγένετο ἡ πολιορκία, λέγεται ὡς ἐς τὸ ἔσχατον κακοῦ ἀφικόμενοι οἱ τῆς πόλεως λόγους προσέφερον περὶ εἰρήνης, φάσκοντες πείσεσθαι αὐτοὺς ὅ τι ἂν κελεύοι, καὶ ἐπὶ τούτοις διαλύεσθαι. τὸν δὲ ξυμβαίνοντα αἰτεῖσθαι τῶν ἀστῶν τινὸς θυγατέρα, εὐπρεπῆ τε οὖσαν καὶ πασῶν δὴ τῶν ἐν τῇ πόλει λεγομένην εἶναι καλλίω [, ταύτην ὡς ἐπύθετο κάλλει διενεγκεῖν τῶν ἐν τῇ πόλει λεγομένων εἶναι]. φέρει δὲ αὕτη ἡ πόλις μάλιστα δὴ γυναῖκας κάλλει διαφερούσας τῶν ἐν Ἰταλίᾳ μετ' αὐτήν γε παρθένους. ταύτην δὲ ἀναπυνθανόμενος οὕτω ἔχειν ἐς κάλλος (ἦν δὲ ἄλλως ὁ βασιλεὺς οὗτος καὶ C ἐς γυναῖκας ἐπιμανὴς καὶ ἀκόλαστος), αἰτούμενος ταύτην αὐτῷ δοθῆναι τὴν γυναῖκα, ἐπὶ τῇ ξυμβάσει αὐτὸν συναινέσαι τοὺς Τυρρηνούς, καὶ κελεῦσαι τὸν πατέρα, σκευασάμενον τὴν θυγατέρα αὐτοῦ τῷ καλλίστῳ δὴ κόσμῳ, ἐκδοῦναι τῷ βασιλεῖ. τυχεῖν δὲ ἰατρὸν τὸν τῆς παιδὸς ταύτης πατέρα, ἥκοντά τε ἐς τὰ πρῶτα τῆς τέχνης καὶ ἐπὶ πεῖραν πολλῶν ἀφικόμενον. ὡς δ' οὐκ ἠδύνατο διαφυγεῖν ὥστε μὴ ἐκδοῦναι τὴν θυγατέρα, ἐγκερασάμενον κώνειον ὡς ἠδύνατο ἰσχυρότατον (ἐν δὴ ταύτῃ τῇ πόλει μάλιστα δὴ τῶν ἐν Ἰταλίᾳ πόλεων ἐγκιρνῶνται τὸ κώνειον ἄμεινον τῶν ἐν ταῖς ἄλλαις πόλεσι) καὶ ἐμβάψαντα τὸ λέντιον ἐς τὸ κώνειον, φέροντα δοῦναι τῇ

7. λεγομένων P ταύτην — εἶναι] haec unus codex om 14. ἐσκευασάμενον P.

rhenorum urbem Florentiam, eamque obsidens expugnare nitebatur. cum autem in longum urbis obsidio extraheretur tempus, et obsessi iam ad extremam venissent necessitatem, ferunt eos in colloquium venisse cum rege, petentes pacem, promittentes interim se promptos et paratos esse facere quaecunque imperasset, saltem pacem daret petentibus. quorum precibus victus postulavit civis cuiusdam filiam forma excellentem omnes quae tum in ea urbe formosae habebantur. hanc cum accepisset formae elegantia omnes superare (fert enim urbs ista mulieres in primis forma praestantes virginesque venustissimas), eam petiit sibi uxorem dari, cum in colloquium cum Tyrrhenis super pace iungenda venisset. erat enim rex ille caetera intemperans et libidinosissimus, et tantum non insaniebat amore mulierum. iusserunt itaque Tyrrheni ut pater virginis eam quam pulcherrime exornatam regi traderet. aiunt puellae patrem fuisse medicum insignem, adeo ut facile omnes ea facultate superaret. cum igitur multa tentaret, nec tamen posset ulla ratione sibi consulere quin filiam regi daret, commiscuit cicutam quam potuit efficacissimam. in ista namque Italiae urbe cicutam commiscere solent efficaciorem quam

θυγατρί, ὡς ἐπειδὰν αὐτῇ ἐπιμίσγοιτο ὁ βασιλεύς, μετὰ τὴν D συνουσίαν ἐκμάσσειν τὸ αἰδοῖον τῷ λεντίῳ ὡς εὐπρεπέστατα· ταύτην δὲ λαβοῦσαν τὸ λέντιον, θέας τε ἄξιον ὂν καὶ χρυσῷ κεκοσμημένον, φυλάττειν, ὥστε ὑπουργεῖν τῷ βασιλεῖ μετά γε τὴν συνουσίαν, ᾗ ἐνετέλλετο αὐτῇ ὁ πατήρ. ἐπεὶ δὲ ἄγοντες V. 112 τὴν γυναῖκα ἐνεχείρισαν τῷ βασιλεῖ, θεασάμενον ἐκπλαγῆναι τῷ κάλλει αὐτῆς καὶ ἐρασθέντα συγγενέσθαι, πειθομένην τὴν παῖδα τῷ πατρὶ κατὰ τὰ ἐντεταλμένα, τῷ τε λεντίῳ αὐτίκα φιλοφρονουμένην ἐκμάσσειν τὸ αἰδοῖον. καὶ ὡς ἥψατο ἐν ὑγρότητι γενομένου, αὐτίκα πυρέξαι τὸν βασιλέα καὶ μετ' οὐ P. 143 πολὺ ἀποθανεῖν. τελευτῆσαι μὲν δὴ καὶ τὴν γυναῖκα αὐτοῦ, ὡς ἐπ' αὐτὴν ἐπελήλυθε τὸ κώνειον, διανεμηθὲν ἐγένετο, δι' ὑγροῦ τὸ κώνειον ἁψαμένους τοῦ λεντίου. τελευτήσαντος μὲν οὖν οὕτω τοῦ βασιλέως τόν τε στρατὸν διαλυθῆναι, ἀποχωρήσαντα ἐπ' οἶκον, καὶ τὴν πόλιν ἐλευθέραν γενέσθαι τῆς πολιορκίας. λέγουσι δὲ Ἰταλῶν τινὲς ὡς οὐχ ὁ πατὴρ εἴη ὁ τὸ λέντιον δεδωκὼς τῇ γυναικὶ καὶ ἐγκερασάμενος, ἀλλ' ἡ βουλὴ τῆς πόλεως αὐτὴν συσκευάσασα τῷ καλλίστῳ κόσμῳ, ὡς εὐπρεπεστέραν φανῆναι τῷ βασιλεῖ, καὶ τὸ λέντιον δοῦναι, τούτῳ δὴ φιλοφρονεῖσθαι βασιλέα ἐς τὴν συνουσίαν. ἀλλὰ ταῦτα μὲν ἐς τοσοῦτον λεγόμενα παρίεμεν, οὐκ εὐπρεπῆ ὄντα· μετὰ δὲ τὴν τελευτὴν τοῦ βασιλέως Λαντιλάου τὴν γυναῖκα B

6. θεασάμενος P 7. πυθομένην P

in reliquis urbibus. accepit et pannum, quem cicutae immersit, ut venenum imbiberet. quo facto, pannum veneno imbutum filiae dedit, monens ut, ubi rex cum ea concubuisset, ipsa panno isto mentulam eius quam decentissime abstergeret. hunc igitur cum accepisset pannum auro exornatum spectaculoque dignum, eum diligenter custodivit, ut regi, sicuti pater praeceperat, post concubitum inservire posset. ducentes igitur virginem istam obtulerunt regi. qui ea visa, formae pulchritudine captus, obstupuit, amoreque ardens cum ea Veneris foedus iniit. puella autem iussa patris faciens, multis blandimentis adhibitis, panno regis mentulam abstersit. quo cum esset tactus rex, in humorem nonnihil resolutus in febrim incidit acutissimam et continuo expiravit. etiam puellam esse mortuam tradunt, cum et ipsam cicuta per humorem diffusa contagio infecisset. regis exercitus, ubi primum ipse mortem obiit, dilapsus domum rediit, et Florentia obsidione liberata est. quidam Itali perhibent non patrem pannum infectum veneno puellae tribuisse, verum senatum urbis eam exornasse quam pulcherrimo ornatu, ut formosissima regi appareret; eundem etiam senatum pannum dedisse. hinc ad coitum mire alliciebatur rex. sed haec hactenus, quia turpia sunt, dixisse

αὐτοῦ ἐνοχλουμένην εἰς τὴν βασιλείαν ὑπό τε τῶν Ἰταλῶν καὶ ὑπὸ τῶν τῆς χώρας ἀρχόντων, πράγματα παρεχόντων αὐτῇ γημαμένη Ῥαινερίῳ τῷ Προβεντίας βασιλεῖ, ἀνεψιῷ δ' ὄντι τοῦ Κελτῶν βασιλέως, παραδοῦναί τε τὴν βασιλείαν τῆς Παρθενόπης. ταύτην δ' εἶναι θυγατέρα ἐπυθόμεθα τοῦ Ταράντου τε καὶ τῆς Ἰαπυγίας ἡγεμόνος, τοῦ Οὐρσίνων οἴκου ἤτοι Ἀρχίων, ὡς ἂν ταύτῃ Ἑλληνιστὶ λέγοιτο, ἀνδρὸς τὰ μέγιστα δυναμένου ἐν τῇ χώρᾳ ταύτῃ τῆς Νεαπόλεως. τὸν μὲν οὖν Ῥαινέριον παραλαβόντα τὴν βασιλείαν διαγενέσθαι βασιλεύοντα ἔτη δυοκαίδεκα· ἐν τούτῳ δὲ Ἀλφόνσον τὸν Ταρακό-
C νων βασιλέα καὶ Σαρδόνος καὶ Βαλεντίας, οἴκου ὄντα τῶν Μεδίνων, στόλον ναυπηγησάμενον μέγιστον, ἐπαγομένων αὐτὸν τῶν ἐν Σικελίᾳ Πανορμέων, ἀφικέσθαι τε ἐς Σικελίαν καὶ ὑφ' αὐτῷ σύμπασαν ποιησάμενον ἔχειν, μετὰ δὲ ταῦτα ἀπὸ ταύτης τῆς νήσου ὁρμώμενον κατασχεῖν τὴν ἐν τῇ Παρθενόπῃ ἀκρόπολιν τὴν μεσόγαιον· εἰσὶ γὰρ τῇ πόλει ταύτῃ δύο παράλιοι ἀκροπόλεις καὶ μία μεσόγαιος. στρατὸν δ' ἐπαγόμενος ἐπολιόρκει τε τὴν πόλιν, καὶ μηχανὰς προσφέρων ἐπειρᾶτο ἑλεῖν· ἔνθα καὶ ὁ ἀδελφὸς αὐτοῦ βληθεὶς τηλεβόλῳ ἐτελεύτησε. μετ' οὐ πολὺ δὲ παραστησάμενος εἷλέ τε καὶ κατέσχε τὴν πόλιν. μετὰ ταῦτα τήν τε ἀκρόπολιν ἐπολιόρκει, τήν τε παράλιον καὶ τὴν μεσόγαιον. τὴν μέντοι μεσόγαιον
D παραστησάμενος λιμῷ ἐξεπολιόρκησε, τὴν δὲ παράλιον παρα-

12. ἀπαγομένων P

sufficiat. post obitum regis Lantilai, cum uxor eius admodum inquietaretur propter regnum ab Italis, necnon regionis duces ipsi plurima negotia facesserent, nupsit Rainerio provinciae regi, Gallorum regis patrueli, eique regnum Neapolitanum tradidit. accepimus autem hanc fuisse filiam Tarenti et Iapygiae ducis, qui ortus ex familia Ursinorum sive (ut Graece dicam) Arctiorum, quique plurimum pollebat opibus et potentia in regione Parthenopes. Rainerius annis regnavit duodecim. interea Alphonsus natus de familia Medinorum, rex Tarraconensium, Sardiniae et Valentiae classem adornabat maximam. qua instructus, cum Siceliotae remiges strenuam operam locarent, in Siciliam delatus est; quam subegit et postmodum imperio rexit. hinc deinde profectus Parthenopes arcem mediterraneam occupavit. Parthenope arces habet maritimas duas et unam mediterraneam. adducens igitur Alphonsus copias urbem eam oppugnabat, et admovens machinas muro omnigenas eam sui iuris facere conabatur. ibi tum Alphonsi frater bombardae globo ictus occubuit. nec multo post urbs in manus venit. hinc copias ad maritimam et mediterraneam movit. mediterraneam fame expugnavit, maritimam cepit, cum

διδόντων αὐτῷ τῶν φυλάκων κατέσχε καὶ φρουρὰν ἐγκαθί-
στησιν. ἡ δὲ τοῦ βασιλέως γυνὴ ἐπολιορκεῖτο μὲν ἐν τῇ πρὸς
τῷ τῆς πόλεως λιμένι ἀκροπόλει· καὶ ὅ τε ἀνὴρ αὐτῆς ὑπε-
ξῆλθεν ἀπελαυνόμενος, καὶ ἀπέπλει ἐπὶ Προβεντίας ὡς στρα-
τόν τε ἐπάξων ὅτι τάχιστα καὶ τιμωρήσων τῇ γυναικί. ἔνθα
ἡ βασίλεια Φορτίαν τὸν τῆς Μάρκης ἡγεμόνα μεταπεμψαμέ-
νη, καὶ τότε δὴ ἐν Ἰταλίᾳ μέγα δυνάμενον τὰ ἐς στρατη-
γίαν, τόν τε Ἀλφόνσον ἐξήλασε τῆς πόλεως. ἐκβαλοῦσα ἐκεῖ-
νον ἴσχει τὴν πόλιν, συνεπιλαβομένου τοῦ Φορτία αὐτῇ. ὡς
δὲ ἐπ' αὐτῇ τὰ πράγματα ἐγένετο, τήν τε ἀκρόπολιν ἐπο-
λιόρκει τὴν πρὸς τῷ ὄρει μεσόγαιον, καὶ ὡς οὐκ ἠδύνατο
ἑλεῖν προκαθεζομένη, λιμῷ ἐπολιόρκει. μετὰ δὲ ταῦτα χρό- P. 144
νου οὐ πολλοῦ διελθόντος, τοῦ Φορτίου διατρίβοντος ἐν Ἰτα-
λίᾳ καὶ ἔχοντος ἀμφὶ τοὺς οἰκείους πολέμους, ὡρμημένος ἀπὸ
Σικελίας ὁ Ταρακῶνος βασιλεὺς Ἀλφόνσος τήν τε Καλαβρίαν
ὑπηγάγετο μὲν πρῶτα, μετὰ δὲ ταῦτα στράτευμα συλλέξας
ἐπήλασέ τε δεύτερον καὶ κατέσχε τὴν πόλιν. καὶ ἥ τε βασί- V. 113
λεια Ῥαινερίου ὑπεξέσχε ἐς τῆς ἀκροπόλεως ἐπὶ τὸν παῖδα
αὐτῆς, ἡγεμόνα Ταράντου καὶ Ἰαπυγίας· τὸν γὰρ δὴ ἡγε-
μόνα τῆς Ἰαπυγίας ἐγήματο μετὰ τὴν τελευτὴν Λαντισλάου,
ἀφ' ἧς ἔσχε παῖδα τοῦτον τὸν Ἰαπυγίας ἡγεμόνα. ὡς μέν-
τοι Ἀλφόνσος κατέσχε τὴν πόλιν καὶ χώραν τὴν Γήπονον B
καλουμένην, ἐπολέμει πρὸς τὸν Ἰαπυγίας ἡγεμόνα παῖδά τε
τῆς Μαρίας βασιλίδος, καὶ ἐπιὼν κατεστρέφετο τὴν χώραν.

eam dederent milites qui in ea erant; cui et praesidium imposuit. uxor autem regis obsidione urgebatur in arce, quae sita est in portu prope urbem. maritus vero clam egressus navigabat in Provinciam, inde adducturus exercitum, quo munitus uxori obsessae suppetias ferret. interea regina, cum obsidione premeretur, accersens Sphortiam Marchiae principem, qui ea tempestate dux belli peritissimus habebatur, Alphonsum expulit, urbemque adiuta ab Sphortia recuperavit. cum autem regina iam rerum summa potiretur, arcem mediterraneam in monte sitam obsidione circumdat; quam cum vi capere non posset, fame expugnavit. postea non longo tempore interiecto, cum Sphortia domesticis distineretur bellis, Alphonsus Tarraconensium rex ex Sicilia profectus Calabriam primo subegit; postmodum comparato exercitu iterum Parthenopen accessit, eamque occupavit. regina autem Rainerii ex arce clam effugiens contendit ad filium suum, Tarenti et Iapygiae principem. nam nupserat post Lantilai mortem Iapygiae principi; ex qua filium hunc Iapygiae principem tulit. Alphonsus, urbe capta et regione quae Gepanum nominatur

χρόνου δὲ ἐπιγινομένου πρέσβεις τε πέμπων παρ' αὐτὸν ὁ τῆς Ἰαπυγίας ἡγεμὼν ἠξίου τε αὐτῷ σπένδεσθαι, ἐφ' ᾧ καὶ ἐπιγαμίαν ποιησάμενος· ἡρμόσατο γὰρ δὴ ὁ βασιλεὺς ἐπὶ τῷ παιδὶ αὐτοῦ νόθῳ Ἰνφεράνδῳ τὴν ἀδελφιδοῦν τοῦ Ἰαπυγίας ἄρχοντος, θυγατέρα δὲ τοῦ Βενόζης ἡγεμόνος. καὶ σπονδὰς ποιησάμενοι ἐφ' ᾧ ξένους τε καὶ ὑπηκόους εἶναι τῷ βασιλεῖ Ἀλφόνσῳ, μετεπέμπετο ἐπὶ τὴν Νεάπολιν, ἔνθα δὴ ἀφικόμενος ἐς δέος καθίστατο μὴ ἁλῷ ὑπὸ τοῦ βασιλέως. καὶ διὰ τόδε τὸ δέος ἔδοξε παθεῖν τὰ ἐς φρένας.

C Οὕτω μὲν ἐς Ἰταλίαν ἐπὶ τὴν βασιλείαν τῆς τε Σικελίας καὶ Παρθενόπης ἀφίκετο Ἀλφόνσος ἀπὸ Ταρακῶνος· ἐλθὼν δὲ ἐς Ἰταλίαν διέτριβεν αὐτοῦ τὰ μὲν πρὸς τοὺς Τυρρηνοὺς τὰ δὲ πρὸς τοὺς Οὐενετοὺς πολεμῶν, τὰ δὲ καὶ σπενδόμενος διετέλει. Ἰαννοῦους μὲν ἐπῆγε στόλῳ μεγάλῳ Ῥαινέριος βασιλεὺς ἐπὶ τὴν πόλιν, καὶ ἐπειρῶντο ἀποβῆναι· καὶ ὡς οὐχ οἷοί τε ἐγένοντο, ἀπέπλεον ἐπ' οἴκου.

Ἀλφόνσος μὲν οὖν τὴν Λιγύων χώραν καὶ Ταρακῶνος ἐπέτρεψε τῷ ἀδελφῷ, βασιλεῖ γενομένῳ Ναβάρης· τοῦτον γὰρ ἀπὸ Ταρακῶνος ἐπαγόμενοι οἱ τῆς Ναβάρης χώραν ἐνοικοῦντες, ὅτι γυναῖκα ἐγεγαμήκει τοῦ βασιλέως θυγατέρα, καὶ D σφίσιν ἐστήσαντο βασιλέα κατὰ τὰ σφῶν αὐτῶν ἔθιμα. οἱ

subacta, bello persequi aggressus est Iapygiae principem, Mariae reginae filium. accedens igitur, copiis quamplurimis instructus, regionem subiiciebat. princeps igitur Iapygiae necessitate motus legatos misit qui pacem orarent; quam consecutus est. paci autem iunxerunt affinitatem: nam rex filio suo notho, cuius nomen erat Imphernandus, in matrimonium collocavit consobrinam principis Iapygiae, filiam vero principis qui Venozam rexerat. peracto foedere, in quo tenebatur ut in posterum et hospites regique obedientes essent, Iapygiae princeps Parthenopen vocabatur. eo cum venisset, admodum metuebatur ne caperetur ab rege. propter hunc metum, qui adeo magnus erat, phrenesi laborare creditus est.

Hoc modo in Italiam ab Tarracone profectus Alphonsus Sicilia et Neapolitano regno potitus est. cum venisset in Italiam, ibi moratus est, nunc cum Venetis nunc cum Tyrrhenis bella gerens, et foedera pangens. rex Rainerius Ianuensium classe magna ad urbem accessit. cum autem conarentur milites exponere navibus in urbem, nec coepta succederent, re infecta domos rediere.

Alphonsus Ligurum et Tarraconis regionem fratri suo regi Nabaris commisit. hunc enim Nabaris regionis incolae petentes, ab Tarracone, quod regis filiam uxorem duxisset, sibi regem iuxta patriam consuetudinem ordinarunt. nam maxima pars occidentalium tributa quidem

γὰρ πρὸς ἑσπέραν οἱ πλείους σχεδόν τι ἀποφέρονται μὲν καὶ D τὰς τῶν πόλεων προσόδους, ἀρχὰς δὲ οὐ πάνυ τι αὐτοῖς ἔξεστιν ἐγκαθιστάναι ἐς τὰς πόλεις ἢ φυλακάς, ἀλλ' αὐτοί τε οἱ ἐπιχώριοι τάς τε ἀρχὰς μετίασι καὶ φυλακὰς καταστησάμενοι τὴν χώραν ἐπιτροπεύουσι, καὶ τὰ πάτρια σφίσι βιάζεσθαι οὐκ ἔξεστι τοὺς ἐπιχωρίους τὸν βασιλέα παρὰ τὰ σφῶν αὐτῶν ἔθιμα. τότε μὲν οὖν, ὡς ἐπαγομένων σφίσι βασιλέα τῶν Ναβάρης ἀστῶν ἐπὶ τὴν χώραν τὸν Ἀλφόνσου ἀδελφὸν ἐγένετο αὐτῷ ἀπὸ τῆς γυναικὸς αὐτοῦ παῖς καὶ ἐτράφη ἀμφὶ τὰ δώδεκα ἔτη γεγονώς, τὸν μὲν παῖδα κατέσχον αὐτοῦ, τὸν δὲ βασιλέα ἀπεπέμψαντο, φάμενοι ὡς ἐπεί τε ἐγένετο παῖς, οὐ μετεῖναι αὐτῷ τῆς βασιλείας ἔτι τοῦ λοιποῦ, ἀλλ' εἰς τὸν P. 145 παῖδα ἀνήκειν. ταῦτα μὲν ὕστερον οὐ πολλῷ ἐγένετο. ὅτε δὲ ἐπὶ Ἰταλίαν ἀφίκετο Ἀλφόνσος, τόν τε ἀδελφὸν κατέλιπεν ἐπιτροπεύειν τὴν χώραν αὐτοῦ.

Ἄρχεται δὲ αὕτη ἀπὸ Βαλεντίας τῆς χώρας. καὶ ἡ Βαλεντία πόλις ἐστὶ μεγάλη τε καὶ εὐδαίμων, καὶ βασίλειά ἐστιν ἐν αὐτῇ βασιλέως Βαλεντίας. οἰκεῖται δὲ αὕτη ἡ πόλις ἀπὸ τοῦ πορθμοῦ τῶν Ἡρακλείων στηλῶν διέχουσα σταδίους ἀμφὶ τοὺς ἑπτακοσίους, ἀντικρὺ Σαρδόνος τῆς νήσου. μετὰ δὲ ἡ Ταρακῶν καλουμένη χώρα διήκει ἔστε ἐπὶ Βαρκενώνην. ταύτης δ' ὡς ἔχεται τῆς Ταρακῶνος χώρας ἐπὶ Προβεντίαν τὴν Γαλατίαν. ὥστε δεῖ λεγεῖν τοὺς ὅρους τῆσδε

7. ἐπαγόμενον P: corr H 22. ὡς] αὖ?

pendunt, nec tamen licet cuiquam urbibus eorum principes dare et praesidium imponere; verum indigenae magistratus creant, et suis praesidiis, non externis regionem defendunt. nec etiam regi licet eos cogere ut praeter patriae suae morem res publicas administrent. ea quidem tempestate, cum cives earum urbium quas Nabares regio complectitur, sibi constituissent regem fratrem Alphonsi, contigit ut ei nasceretur filius ex uxore. qui educatus attigit annum duodecimum. hunc igitur assumentes regionis incolae, regem dimiserunt, dicentes non amplius ei concedi, cum filium habeat, regnum tractare, sed filio regni administrationem nunc competere. haec quidem haud multo post acciderunt. Alphonsus cum in Italiam pervenisset, fratri regionem suam mandavit.

Haec autem initium sumit ab Valentiae regione. Valentia urbs magna est et opulenta; Valentiaeque rex eam regni sui sedem tenet. sita est ea urbs ex adverso Sardiniae, recedens ab Herculis columnarum traiectu septingentis stadiis. huic succedit regio quam Tarraconensem appellant, quae porrigitur usque Barcenonem. huic contermina est Tarraconis regio, et patet usque ad Barcenonem ver-

B τῆς βασιλέως χώρας· τὸ μὲν πρὸς ἕω ὁρίζοιτο ἂν τῇ Γαλατίᾳ τῆς Προβεντίας, τὸ δὲ πρὸς ἑσπέραν τῇ Ἰβηρίᾳ, τὸ δὲ πρὸς ἄρκτον τῇ Ναβάρῃ. Βαρκενὼν δέ ἐστι πόλις τῶν πρὸς ἑσπέραν πλούτῳ τε καὶ δυνάμει ὑπερφέρουσα, διοικεῖται δὲ ἐς ἀριστοκρατίαν τετραμμένη τὸ πλέον, καὶ ὑπὸ βασιλεῖ Ταρακῶνος ἀξιοῖ πολιτεύεσθαι ἐς τὰ πάτρια. ἀντικρὺ δὲ ταύτης Κύρνος ἐστὶ νῆσος εὐδαίμων τε καὶ πολυάνθρωπος, καὶ ἡ περίοδος τῆς νήσου λέγεται ἀμφὶ τοὺς δισχιλίους σταδίους.
V. 114 ἔστι δὲ παρ' αὐτῇ καὶ νῆσος ἑτέρα, ἡ μείων καλουμένη· αὕτη καὶ ἐν τῇ ὑπὸ τῷ Ταρακώνων βασιλεῖ ταττομένη ἄρχοντα λαμβάνει. Σαρδὼ μέντοι ἡ νῆσος, μεγίστη τε οὖσα καὶ ἀμφὶ τοὺς πεντακισχιλίους σταδίους ἔχουσα τὴν περίο-
C δον, ὑπὸ τῷ βασιλεῖ τούτῳ διατελεῖ. δύο δὲ πόλεις εἰσὶν ἐν αὐτῇ εὐδαίμονες, Ὀρτύγιά τε καὶ Σαγέρη· ἡ μὲν πρὸς ἕω τῆς νήσου, ἡ δὲ πρὸς μεσημβρίαν ἔχουσα οἰκεῖται. κουρέλιον δ' ἐν ταύτῃ τῇ νήσῳ οἱ ἁλιεῖς δρέπονται ἀπὸ θαλάσσης τῆς νήσου, καὶ ἐντεῦθεν εἰς τὴν ἄλλην ἀφικνεῖται οἰκουμένην. Ἰβηρία δὲ ὡς ἔχει, ἀρξαμένη ἀπὸ Γαλατίας, ἀφ' ἧς χώρας Κελτίβηρες διαδέχονται καὶ Γασκώνη χώρα, ὑπὸ τῷ Κελτῶν βασιλεῖ διατελοῦσα. μετὰ δὲ τὸ πρὸς ἕω Πεσκαΐων χώρα διαδέχεται, ἐπὶ Ἰβηρίαν διατείνουσα. Ἰβηρία δὲ μεγίστη οὖσα τῶν πρὸς ἑσπέραν χώρα, μετά γε τὴν Κελτικήν,

sus Provinciam Galliae. verum dicere nos oportet regionis limites. versus Orientem Provincia Galliae, versus Occidentem terminatur Iberia sive Hispania. septentrionalis limes est Navarrae regio. Barcenon urbs, Occidentem spectans, divitiis potentiaque excellit. administratur plerumque in aristocratiam conversa. permittitur ei ab Tarraconensium rege suo iure vivere. e regione huius urbis sita est Cyrnus (quae et Corsica), insula opulenta et populosa; cuius ambitus complectitur duo milia stadiorum. nec procul abest alia insula quae Maiorica (seu Minorica potius) dicitur, quae et ipsa subiecta est Tarraconensium regi et ab eodem principem accipit. Sardinia, quae insula maxima existit, cuius ambitus continet quinque milia stadiorum, Tarraconensium et ipsa regi obtemperat et sub eius dicione agit. sunt in hac insula urbes duae opibus florentes, Orestilia et Sagera; quarum una versus Orientem, altera versus meridiem insulae sita est. piscatores huius insulae plurimum lucri ex eo mari ferunt. hinc in aliam urbem pervenitur. Iberia, qua initium sumit ab Gallia, habet finitimos Celtiberos, quibus annexa est Gasconia regio, sub Gallorum rege degens. postea succedit Pescainorum regio, versus Orientem in Iberiam tendens. Iberia, quae post Galliam maxima regio inter Occidentales est, versus Occidentem in Oceanum

διήκει ἐπὶ ὠκεανὸν τὸ πρὸς ἑσπέραν, τὸ δὲ πρὸς ἕω Ναβάρῃ τε καὶ Γαλατίᾳ, καὶ τὸ πρὸς μεσημβρίαν τῇ Πορτουγαλ- D λίᾳ, ἥτις παράλιος οὖσα χώρα ἐπὶ τοῦ ὠκεανοῦ ἐπὶ πολὺ διήκει, καὶ τῇ τῶν Λιβύων τῆς Γρανάτης χώρᾳ· ἐντὸς δέ ἐστι τὸ τοῦ Ἰακώβου ἱερόν. Πορτουγαλλία δεχομένη τῆς Ἰβηρίας διήκει ἐπὶ τὴν ἐντὸς θάλασσαν τοῦ πορθμοῦ ἐπὶ τὴν τῆς Γρανάτης χώραν. τῆς δὲ Ἰβηρίας χώρας, μεγίστης τε οὔσης καὶ εὐδαίμονος, πόλεις εἰσίν, ἐν αἷς τὰ βασίλεια, ἥ τε Διβήληνα καλουμένη, μεγάλη τε καὶ πολυάνθρωπος, καὶ Κορδύβη Μορσίκη καὶ τὸ λεγόμενον Τολέδον καὶ Σαλαμάγκη. καὶ ἱερὸν δὲ τοῦ Ἰακώβου ἐν ταύτῃ τῇ χώρᾳ ἐστὶ παρὰ τὸν ὠκεανὸν καὶ τὴν ἐκτὸς θάλασσαν. διήκει δὲ καὶ πρὸς τὴν ἐντὸς θάλασσαν ἡ τοῦ Ἰβήρων βασιλέως χώρα. Πορτουγαλ- P. 146 λία δὲ οἰκεῖται πρὸς τῷ πορθμῷ, ἀπὸ Γρανάτης ἀρξαμένη, ἐπί τε τὸν πορθμὸν καὶ τὴν ἐκτὸς θάλασσαν ἄχρις Ἰβηρίας. Γρανάτη δὲ ἡ χώρα, μεσόγαιος οὖσα, ἐπὶ τὴν Ἰβηρίαν καὶ Γαλατίαν διατείνουσα, οὐ πάνυ τι οὔτε τῇ ἐντὸς θαλάττῃ οὔτε τῷ ὠκεανῷ προσχρῆται. ὁ μέντοι Ἰβηρίας βασιλεὺς μέγιστον δύναται τῶνδε τῶν χωρῶν, καὶ οἴκου ὢν τοῦ Ἀλμηνίου τῆς Γαλατίας, τῶν Λιβύων τὴν τῆς Γρανάτης χώραν ἄγων καὶ φέρων, οὐ παύεται διαπολεμῶν. καὶ φόρον μὲν ἀπάγει ὁ τῆς Γρανάτης Λιβύων βασιλεὺς τῷ Ἰβήρων βασιλεῖ, ὁπότε σπένδοιτο· πολλάκις δὲ ἐπελαύνων πολιορκεῖ τε τὴν πόλιν καὶ B

excurrit. ab Oriente Navarram et Galliam habet. versus meridiem panditur in Turtugannam, quae maritima regio est et ad Oceanum se extendit; etiam regione Granata, quae sub Poenorum sive Maurorum imperio est, terminatur. intra hanc Iacobi sepulcrum visitur. hinc Portugalia regio Hispaniae subit, quae se extendit ad mare, quod intra traiectum est, quo venitur ad Granatam regionem. Iberia cum regio sit maxima et ditissima, urbes habet regias, Dibitinam urbem magnam et populosam, Cordubam, Morsicam, necnon Ludum et Salamancam. etiam sepulcrum Iacobi in ea regione, iuxta Oceanum et mare externum, celebre est. ad mare vero internum Iberorum quoque regis terra porrigitur. Portugalia sita est iuxta traiectum, a Granata incipiens, usque ad traiectum et internum mare excurrens, vergit in Iberiam. Granata, quae regio mediterranea est, in Iberiam et Galliam procurrit, nec multum vel interno vel externo Oceano utitur. Iberorum rex in istis duabus regionibus plurimum potest; qui cum sit ortus de familia Almenii Galliae, Granatae regionem, quae Poenorum est, ferens atque agens haud cessat bellum gerere. rex Poenorum, Granatam qui regit, ubi pax composita fuerit, Iberorum regi tributum pendit; qui interdum accurrens urbem obsidet et

τὴν χώραν αὐτοῦ ληΐζεται. ὀρεινὴ δέ ἐστιν ἐπ' ὄρους, ὃ ἀπὸ τῆς ἐντὸς θαλάσσης ἀρξάμενον κατατείνει ἐπὶ τὸν ὠκεανόν, ἐπὶ τὴν Πορτουγαλλίαν χώραν.

Οὗτοι μὲν οὖν οἱ βασιλεῖς πρός τε ἀλλήλους διενεχθέντες τε ἐπολέμησαν πολλαχῇ, καὶ κοινῇ πρὸς τὸν βάρβαρον, τά τε ἄλλα καὶ πρὸς τὸν Ἰβηρίας τοῦτον βασιλέα Ἀλφόνσος ὁ Ταρακῶνος βασιλεύς, πρὶν ἢ ἐς Ἰταλίαν ἀφικέσθαι, ἐπολέμησεν ἀπὸ αἰτίας τοιᾶσδε, καὶ αὐτός τε ἑάλω ὑπὸ στρατηγοῦ τοῦ Ἰβήρων βασιλέως, Ἀλβάρου τοὔνομα, ἔχειν δὲ καὶ τραύματα C ξυνέβη ἀμφοῖν. ὡς δὴ συλλέξας στράτευμα, καὶ τὸν ἀδελφὸν αὐτοῦ Ναβάρης βασιλέα παραλαβών, ἐστρατεύετο ἐπὶ τὸν Ἰβηρίας βασιλέα, ἐσέβαλεν ἐς τὴν Ἰβηρίαν, ἐπαγομένων αὐτὸν ἐπὶ τὴν χώραν τῶν ἐν τῇ χώρᾳ εὐδοκιμούντων ἐνίων διὰ τὸ πρὸς τὸν Ἄλβαρον μῖσός τε καὶ ἔχθος αὐτῶν· τοῦτον γὰρ ἰδιώτην ὄντα ἀπὸ Ταρακῶνος καὶ ἀπὸ μικροῦ πάνυ ὡρμημένον καὶ ἐπὶ ἀρετῇ ἐπίσημον γενόμενον, ὡς παραχρῆμα ἐπεδίδου μέγα, ὑπὸ πάντων δι' ἀρετὴν τιμώμενον στρατηγόν τε ἀπέδειξε κατὰ τὴν χώραν αὐτοῦ, καὶ ἐπὶ στρατηγίας καθιστάμενος μέγα ἁπανταχοῦ εὐδοκίμει. τότε δή, ὡς παρὰ τῷ Ἰβήρων βασιλεῖ ἐπὶ Ἀλφόνσον πεμφθεὶς D σὺν τῷ στρατεύματι, ὑπήντα αὐτῷ κατὰ τὴν χώραν ὡς ἐναντιωσόμενος. ἐπεὶ δὲ ἐπιὼν ὁ Ἀλφόνσος, συμπαραλαβὼν καὶ

regionem populatur. ea autem regio montana est, et a monte qui a mari interno initium sumit, panditur in Oceanum et ad Portugaliae regionem.

Hi reges saepius inter se dissidentes bella gesserunt. interdum copiis coniunctis molem belli omnem in barbarum averterunt. inter caetera etiam bello lacessivit Alphonsus Tarraconensium rex regem Iberorum, priusquam in Italiam venisset. belli autem eius haec assignatur causa. ipse quidem captus est ab Iberorum regis duce, quem Albarum appellabant. uterque tamen vulnera accepit. itaque contractis copiis, et assumpto fratre Nabaris rege, bellum movit contra Iberorum regem, cum adiuvaretur opera quorundam Iberorum nobilium, qui Albarum incitatissimo odio prosequebantur. hunc enim cum humili genere in Tarraconensium regione foret natus et privatam sequeretur vitam, tandem virtute nobilitatum et ab omnibus plurimum honoratum declaravit regionis suae imperatorem. qui imperator creatus, quocunque bellum vertisset, semper gloria coruscans et re bene gesta redibat. itaque cum ab Iberorum rege contra Alphonsum esset missus, haud socordiae locum fore ratus Alphonsus cum exercitu Albaro in regione occurrit, quasi praelii potestatem facturus. postea Alphonsus adhibito in auxilium fratre in Iberiam ingressus est, ut contra regem decertaret. obviam autem procedens

τὸν ἀδελφόν, ἐν τῇ Ἰβηρίᾳ ἐγένετο καὶ ἐπήλαυνεν, ἐνταῦθα V. 115 αὐτῷ ὑπαντιάσας ὁ Ἄλβαρος ἐστρατοπεδεύετο, καὶ κήρυκα ἐπιπέμπων προηγόρευεν ἀπαλλάττεσθαι, ἢν σωφρονῇ, ὡς ἔχει τάχιστα ἐκ τῆς χώρας. καὶ ἀποκριναμένου ὡς οὐκ ἐπὶ τοὺς ὄνους τοῦ πατρὸς αὐτοῦ ἄπεισιν ἐς νομὴν αὐτοὺς ἄξων, ἀλλὰ στρατηγήσων αὐτῷ πάρεστιν, ἐς μάχην ἐτάσσετο, καὶ συμβαλὼν ἐμάχετο ἀμφοῖν τοῖν ἀδελφοῖν. μάχης δὲ καρτερᾶς γενομένης, ὡς οἱ περὶ Ἄλβαρον ἐτρέψαντο τοὺς Ταρακῶνας, ἐπεδίωκον ἀνὰ κράτος, καὶ ἄμφω τὼ ἀδελφὼ συλλαμβάνουσι, καὶ πολλοὺς τῶν Ταρακώνων κατέβαλον ἐν τῇ διώξει. ὡς δὲ ἀπήχθητον παρὰ τὸν Ἰβήρων βασιλέα ἄμφω τὼ βασιλέε, κακὸν μὲν οὐδὲν εἰργάσατο αὐτούς, ὅρκοις δὲ καὶ πίστεσι κα- P. 147 ταλαβὼν τοῦ λοιποῦ μηδὲν πλέον νεωτερίζειν περὶ τὴν ἑαυτοῦ χώραν, ἀφῆκεν ἀσινεῖς ἀπιέναι. μετὰ δὲ ταῦτα Ἀλφόνσος ἀφίκετό τε ἐς Ἰταλίαν, ὡς πρότερόν μοι δεδήλωται, καὶ ἐπὶ τὴν Σικελίαν, καὶ κατασχὼν τὴν Νεαπόλεως βασιλείαν πρός τε τοὺς Ἰαννΐους ἐπολέμει, ἔνθα δὴ καὶ ἑάλω ὑπὸ τούτων, ὡς ἐν τῷ ἔμπροσθεν ἐπεξῆλθον λόγῳ, καὶ ἀχθεὶς παρὰ τὸν Μεδιολάνου ἡγεμόνα αὖθις ἀπελύθη. τὴν μέντοι γυναῖκα αὐτοῦ καταλιπὼν ἐν Ταρακῶνι οὐκέτι πάλιν ἀφίκετο ὀψόμενος πολλῶν ἐτῶν, αὐτοῦ δὲ ἐς ἔρωτας τὰ πολλὰ διατρίβων διεγένετο, χρηματίζων τε ἔρωτι καὶ τοῖς ὅπλοις. ᾗ μὲν αὐτῷ τὰ κατὰ τὴν Ἰταλίαν ἀπέβαινεν, ὕστερόν μοι δηλοῦται προϊόντι τῷ λόγῳ ἐς ἀφήγησιν. B

23. δηλοῦνται P

Albarus, misso praecone iussit eum excedere, si sapiat, quam celerrime ex sua regione. cum autem Alphonsus responderet se non accedere ut patris eius asinos in pascua duceret, sed se adesse ut acie dimicet, copias in aciem deduxit, et cum utroque fratre confligens victoria potitus est. cum autem praelium committeretur atrox, Albarus Tarraconenses terga vertere coegit; et fugientes persecutus fratres ambos comprehendit, magnaque Tarraconensium strages facta est. ut reges ambo ad Iberorum regem sunt adducti, nihil mali sunt passi, verum iuramenti religione fides accepta est, ne quid postea novi in sua regione molirentur; et impune dimissi sunt ad sua. postea Alphonsus, ut supra ostendimus, in Italiam et in Siciliam venit; qui ab iisdem captus ad Mediolani ducem, ut antea docuimus, ductus, ab eodem inviolatus et incolumis ad sua remissus est. uxorem suam Alphonsus in Tarracone reliquit, nec multis annis interiectis eo reversus est, ut eam viseret. nam in Italia et Sicilia versabatur, plerumque aut amori aut rei militari operam dans. quomodo ei in Italia res successerint, deinceps dicetur.

Τῷ δὲ βασιλεῖ Ἰβηρίας, περὶ οὗ μοι ἐλέγετο, συνῆπται πόλεμος πρὸς τὸν βασιλέα Λιβύων τῶν ἐν Γρανάτῃ, οἳ δὴ ἀπὸ Λιβύης τὸ παλαιὸν διαβάντες καὶ Μαρέλιαν πόλιν παράλιον τῆς Εὐρώπης κατασχόντες, διέχουσαν ἀπὸ Λιβύης ὡσεὶ σταδίους πεντήκοντα καὶ διακοσίους, καὶ ἐντεῦθεν ὁρμώμενοι τήν τε Ἰβηρίαν σφίσιν ὑπηγάγοντο, καὶ ἔργα λαμπρὰ ἀποδεικνύμενοι ἐπὶ Κελτικήν, τὴν χώραν αὐτῶν ἐπὶ μέγα αὔξοντες, προηγάγοντο καὶ ἐπὶ Ταρακῶνα καὶ Βαλεντίαν. πρὸς τούτους δὴ ἀπὸ τῶν Κελτῶν κατιόντες οἱ τῶν Ἰβήρων βασιλεῖς διεδέξαντο τὸν πρὸς Λίβυας τούτους πόλεμον, ἐς πόλιν ἐχυ-
C *ρὰν συνελάσαντες, μετὰ δὲ ταῦτα ἐπολιόρκουν, καὶ ἐς δεῦρο ἔτι τελοῦσι τῇ πόλει τε ἐπελαύνοντες αἰεί τε καὶ στρατὸν ἐπάγοντες. καὶ δὴ ὁ τῶν Ἰβήρων βασιλεὺς δόμνος Ἰωάννης, ὃς πρότερόν μοι ἐλέγετο, ἐπελαύνων, προάγοντός τε τοῦ Ἀλβάρου καὶ ἐποτρύνοντος βασιλέα ἐξελεῖν τοὺς Λίβυας, ὡς δὴ καταστρεψόμενος ἐπῆγε τὸν στρατὸν ἐπὶ τὴν πόλιν. ἐνταῦθα ὡς οἱ Λίβυες ἐπολιορκοῦντο δεινῶς καὶ ἐς τὸ ἔσχατον λιμοῦ ἀφίκοντο, ἐς ἀπορίαν ἀπελαθέντες μηχανῶνται τοιόνδε. ἡμιόνους δυοκαίδεκα ἰσχάδων φορτία συσκευασάμενοι ἤλαυνον ἐπὶ τὸ στρατόπεδον· τὰς δὲ ἰσχάδας ὡς κατὰ μίαν ἑκάστην διασχίζοντες ἐνέβαλον ἐντὸς χρύσινον ἕνα, καὶ συνετέθειντο αὖθις. τὸ δὲ νόμισμα τῆς*
D *Ἰβηρίας χρυσοῦν δύναται χρυσίνους Οὐενετῶν δύο ἕκαστον.*

2. *τῶν*] *τὸν* P 12. *διατελοῦσι?* 15. *καταστρεψάμενος* P
21. *συνετέθηντο* P, *συνετέθουν* R, *συνετέθην* T an *συνετίθουν?*

Regi Iberorum, de quo supra verba feci, bellum fuit cum Granatae rege Poeno. Poeni iam olim traiicientes Mareliam Europae urbem, quae distabat a Libya stadiis ducentis quinquaginta, occuparunt. hinc progressi, Iberiam suo imperio iunxerunt; postea, cum memorabilia ubique facta ederent, etiam contra Galliam bellum promoverunt, mirum in modum res suas augentes. nec etiam ab Tarracone et Valentia abstinuere. Galli igitur adiuncti Iberiae regibus contra Poenos bellum susceperunt, eosque in urbem munitam se recipere compulerunt; urbem vero postea expugnarunt. adhuc hodie ad urbem hanc accedunt, hostiliter incursionem facientes et exercitum interdum adducentes. et sane Iberorum rex dominus Ioannes, ut antea significavimus, contra eos profectus est, praemisso Albaro duce, qui regem ad delendos Poenos inflammabat, et copias urbi admovit. cum autem gravissima obsidione premerentur Poeni famesque intoleranda foret, dubii quid agerent, huiusmodi quid excogitarunt. mulis duodecim ficorum onera imponunt. ficis onusti ad hostium castra feruntur. ficos autem dividentes singulis aureum nummum iniecerunt, divisosque deinde iterum coniunxerunt. nummus vero aureus Hispanorum duobus aureis Venetorum valet. hos igitur ficos

ταύτας δὲ τὰς ἰσχάδας ὡς ἐσκευάσαντο οὕτω καὶ ἐπὶ τοὺς ἡμιόνους ἀνετίθεσαν, ὥστε δύνασθαι φέρειν ἕνα ἕκαστον, ἤλαυνον ἐπὶ τὴν τοῦ Ἀλβάρου σκηνήν. τὸν δέ, ὡς ἐπέγνω τὸ ἐν ταῖς ἰσχάσι χρυσίον, ἐρέσθαι τὸν φέροντα ὅ τι βούλοιτο αὐτοῖς τὸ χρυσίον ἐν ταῖς ἰσχάσιν. ὁ δὲ τοὺς ἡμιόνους ἐλαύνων ἀπεκρίνατο ὡς τὸ χρυσίον τῆς πόλεως συναγαγὼν ὁ βασιλεὺς ἐπιπέμπει, λέγων ὡς ἤν τε ἕλῃς τὴν πόλιν ἤν τε μὴ ἕλῃς, πλέον τούτου χρυσὸς οὐκ ἄν ποτε γένοιτό σοι ἀπὸ τῆς πόλεως. καὶ ἢν ἐξέλῃς τὴν πόλιν, ἀποβαλεῖς ἐσαῦθις ἀπὸ Λιβύης πολλαπλάσιον ἐσόμενον σοί τε καὶ ἡμῖν· ἢν δὲ μὴ ἐξέλῃς τὴν πόλιν, ἕξεις καὶ τοῦ λοιποῦ, ὅσα ἂν ἀπὸ Λιβύης ἐς ἡμᾶς κομίζηται, ταμιεύεσθαι. ταῦτα πυθόμενον λέγεται καὶ Ἄλβαρον, φέροντα τὰς ἰσχάδας, ἀφικέσθαι ἐς P. 148
ὄψιν τῷ βασιλεῖ, καὶ διασχίσαντα τὰς ἰσχάδας τῷ βασιλεῖ V. 116
εἰπεῖν "ὦ βασιλεῦ, τὸ δένδρον ἐκεῖνο, ὃ φέρει τοιοῦτον ἡμῖν καρπόν, οὐ καλῶς ἔχει ἡμῖν ἐκκοπῆναι· τοιούτῳ γάρ τοι καρπῷ οὐκ ἔχοιμεν ἂν ἔτι τοῦ λοιποῦ χρῆσθαι, καὶ ἡμεῖς οὐκέτ' ἂν ἐν δέοντι χρησαίμεθα τῇ εὐδαιμονίᾳ, κατακόρως αὐτῇ ἐμφορούμενοι ἐν τῷ παρόντι. ὁρᾷς ὡς τὰς ἀμπέλους ἀφαιροῦνται ὅσον ἱκανῶς ἔχει αὖθις ἀποδιδόναι καρπόν. ἢν δὲ βιάσηταί τις αὐτήν, οὐκ ἔχει χρῆσθαι αὐτῇ ἐς τὸ δέον." ταῦτα ἀκούσαντα τὸν βασιλέα, ὡς ἔδοξέν οἱ προσφυῆ λέγειν, ἀπαγαγεῖν τὸν στρατόν.

7. πέμπει ἐπιλέγων? 8. πλείων?

cum imposuissent mulis, profecti sunt ad Albari tentorium. qui viso auro, quod ficis conditum erat, agasonem interrogavit "quid sibi vult aurum ficis inclusum?" agaso respondit "rex aurum quod in urbe est collegit omne, dicens, sive ceperis, sive non ceperis urbem, plus auri quam allatum est, haud invenies. et si urbem captam destruxeris, multum auri, quod ex Libya tibi et nobis afferetur, amittes: sin autem urbem non dirueris, poteris in posterum quaecunque ex Libya ad nos devenerunt, quasi thesaurum huc collecta acquirere." haec cum accepisset Albarus, acceptos ficos detulit in conspectum regis, quos diducens et aperiens inquit "arborem istam, quae hunc producit fructum, non censeo exscindendam esse: nam deinceps non amplius fructu isto possemus frui; et nunc saturati in posterum non amplius ista felicitate uti possemus. nam cernis vinitores vineas putare, amputantes tantum inutilia et superflua, ut fructum tandem uberiorem reddant: quodsi eas penitus eruerint, nequeunt earum fructu, cum necesse fuerit, amplius recreari." his auditis rex, quia probabilia dicere videbatur Albarus, iussit eum abducere exercitum.

B Τούτῳ μὲν οὖν ἀγαγόντι τὴν βασιλέως Πορτουγαλλίας θυγατέρα ἐγένετο παῖς Κήρικος τοὔνομα, ἀνὴρ τὰ πολέμια ἀγαθός, ὃς ἐπείτε ἠγάγετο τοῦ Ναβάρης βασιλέως θυγατέρα καὶ οὐκ ἐγένετο αὐτῷ συγγενέσθαι, ἀπεπέμψατο, καὶ δευτέραν ἐσηγάγετο γυναῖκα ἀνεψιὰν αὐτοῦ, θυγατέρα τοῦ Πορτουγάλλων βασιλέως, εἶδος λεγομένην πασῶν τῶν εἰς ἐκεῖνα τὰ χωρία εἶναι καλλίστην, ὑποτιθεμένων αὐτῷ τῶν ἀρίστων ὡς ἣν ἄλλην ἐσαγάγοιτο γυναῖκα, οἷός τε ἔσοιτο συγγενέσθαι. τὴν μέντοι θυγατέρα τοῦ Ναβάρης βασιλέως ἠνάγκασε ἐς τὸ τῶν Ναζηραίων σχῆμα ἰέναι, καὶ ἀπέδωκεν αὐτῇ χρήματα. ὁ δὲ Πορτουγαλλίας βασιλεὺς οἰκίας ἐστὶ τῶν Γαλατίας βασιλέων. συμ-
C βάλλομαι δὲ τήνδε τὴν χώραν ἀπὸ παλαιοῦ πρὸς τοὺς Λίβυας διενεχθέντας τοὺς Κελτῶν βασιλεῖς καταστρεψαμένους ὑφ' αὑτοῖς ποιήσασθαι καὶ παραδοῦναι τοῖς ἐξ αὐτῶν γινομένοις. ὥς δὲ καὶ τὴν Ναβάρης βασιλείαν ἀνήκειν ἐς τὴν οἰκίαν τῶν Γαλατίας βασιλέων νομίζεται, καὶ μηδενὶ ἑτέρῳ ἐξεῖναι παρελθεῖν ἐς τήνδε τὴν βασιλείαν· καὶ γὰρ καὶ τήνδε Κάρουλος ὁ αὐτοκράτωρ καὶ οἱ μετ' ἐκεῖνον βασιλεῖς φαίνονται τήνδε αὐτοῖς καταστρεψάμενοι τὴν χώραν ἀπολιπεῖν τοῖς ἀπὸ τῆς οἰκίας αὐτῶν ἐσομένοις. τὸν μέντοι ἀδελφὸν Ἀλφόνσου ἐπηγάγοντο ἐπὶ τῷδε τῷ λόγῳ, ὡς ἐπεὶ ἔγημε γυναῖκα τοῦ οἴκου τῆς Γαλατίας, ἢν μὲν γένηται αὐτῷ παῖς,
D τόνδε μηκέτι τοῦ λοιποῦ διατρίβειν ἐν τῇ χώρᾳ, ἀλλὰ τὸν

3. Γρανάτης P 10. ἐπέδωκεν? 15. ὡς P

Huic, cum duxisset regis Portugaliae filiam uxorem, natus est filius nomine Ciricus, vir rei militaris peritissimus. qui matrimonium contraxit cum Granatae regis filia; quam, quia non poterat cum ea concumbere, repudiatam dimisit. uxorem alteram assumpsit consobrinam regis Portugaliae, quae formae venustate omnes, quotquot in istis regionibus agebant, anteibat. hanc sibi associavit consilio optimatum, qui consulebant fore, si aliam uxorem duxisset, ut posset cum ea concumbere, sicuti matrimonium postulat. filiam regis Navarrae coegit habitum Nazaraearum sive monacharum assumere, eique opes ad istud vitae institutum assignavit. rex Portugaliae ortus est ex familia Galliae regum. arbitror autem Gallorum reges belligerantes adversus Poenos quondam regionem istam subegisse et ad posteros suos transmisisse. itaque Navarrae regnum putatur pertinere ad familiam regum Galliae, nec nisi ex ista familia nato licere regnum istud suscipere. nam Carolus imperator, et qui successerunt reges, existimantur regionem illam subiecisse et nepotibus suis reliquisse. Alphonsi autem fratrem tali condicione in regnum admiserunt, ut si ei natus esset filius ex uxore quam duxerat propinquam genere Gal-

παῖδα καταλιπόντα σφίσι βασιλέα αὐτὸν οἴχεσθαι ἀπαλλαττόμενον, ἢν δὲ μὴ γένηται αὐτῷ παῖς, μετὰ τὴν τελευτὴν αὐτοῦ ἀποδοῦναι τὴν ἀρχὴν ἐπὶ τὸν Γαλατίας ἡγεμόνα. καὶ τόνδε δεξάμενον τοὺς λόγους ἐπὶ τούτῳ παρελθεῖν ἐς τὸν Ναβάρης βασιλέα. καὶ γεννηθέντος αὐτῷ παιδὸς αὐτόν τε ἀπεπέμψαντο, καὶ τὸν παῖδα σφίσιν ἀπέδειξαν βασιλέα, τὰ πρὸς μητρόθεν ὄντα τοῦ οἴκου τῶν Γαλατίας βασιλέων.

Ταῦτα μὲν οὖν ἐς τοσοῦτον ἐχομένῳ τῆς τοῦ λόγου συμπάσης ὑποθέσεως ἀναγέγραπται ἐς ἀπόδειξιν ἐπάνειμι δέ, ὅθεν τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην, ἄχρι τοσοῦτον διενεχθείς.

4. τὴν Ν. βασιλείαν?

liae regibus, ipse deberet regno excedere et filium sibi relinquere regem. quodsi nullum filium ex uxore sua tulisset, regnum pateretur recidere post obitum suum ad Galliarum regem. qui hac condicione Navarrae regnum accepit, et cum nactus esset ex uxore filium, patrem dimiserunt, filiumque * * * regem communi consensu declararunt, quia descendebat ex familia, quantum ad maternum genus attinet, regum Galliae.

Haec quidem annotata sint mihi, sequenti totius historiae propositum. nunc unde digressus hucusque sermonem traxi revertor.

ΛΑΟΝΙΚΟΥ ΧΑΛΚΟΚΟΝΔΥΛΟΥ

ΑΘΗΝΑΙΟΥ

ΑΠΟΔΕΙΞΙΣ ΙΣΤΟΡΙΩΝ Η ΕΚΤΗ

LAONICI CHALCOCONDYLAE

ATHENIENSIS

HISTORIARUM

DE ORIGINE AC REBUS GESTIS TURCORUM

LIBER SEXTUS.

P. 149 Ἀμουράτης δὲ ὁ Μεχμέτεω μετὰ τὴν ἐπὶ Καραμᾶνον ἔλα-
V. 117 σιν ἐστρατεύετο ἐπὶ Δακούς, ὡς τὸν τοῦ Δρακούλεω παῖδα κατάξων ἐπὶ τὴν ἀρχήν. καὶ ὡς ἐπέλαυνεν ἤδη ἀπὸ τῶν βασιλείων παρασκευασάμενος, ἐπυνθάνετο Καραμᾶνον νεωτερίζοντα περὶ τὴν ἀρχὴν αὐτοῦ βουλεύεσθαι ἀπόστασιν, συμπαραλαμβάνοντα καὶ τὸν τοῦ Κανδελόρου ἡγεμόνα καί τινας ἄλλους τῶν τῆς Ἀσίας, ἐλπίζοντα Παίονας ὡς ἐν βραχεῖ παρεσομένους ἐπ' αὐτὸν στρατῷ πολλῷ ἐπιόντας· καὶ τούς τε λοιποὺς

Amurates Mechmetis filius, post expeditionem quam contra Caramanum sumpserat, bellum Dacis intulit, volens Draculis filium suo restituere principatui. egressus autem regia copiis instructus, accepit Caramanum novarum rerum cupidum defectionem animo agitare, ad idque negotium adhibere ducem Candylori et alios Asiae principes; cumque speraret Pannones brevi magna manu subsidio venturos, spe externi auxilii illectus reliquos Asiae principes ad defectionem soli-

τῶν τῆς Ἀσίας τυράννων παρεκάλει ἐπὶ ἀπόστασιν. ἐπὶ τοῦτον δὴ ἀναζεύξας Ἀμουράτης ὁ Μεχμέτεω ἐστρατεύετο, καὶ Τουραχάνη τὸν Θετταλίας ὕπαρχον ἐπέστελλεν ἐλαύνειν ἐπὶ τὸν P. 150 *Πελοποννήσου Ἰσθμόν, καὶ καθελεῖν τε τὸν Ἰσθμόν, καὶ ἐπιδραμόντα τὴν Πελοποννήσου χώραν, ὅση ὑπὸ τοῖς Ἑλλήνων ἡγεμόσι τυγχάνει οὖσα, ἀπελαύνειν. ὁ μὲν οὖν λαβὼν στράτευμα τὸ τῆς Θετταλίας καὶ Περαιβίας τῆς λίμνης ἀφίκετο ἐπὶ τὸν Ἰσθμόν, καὶ καταλαβὼν αὐτὸν ἔρημον καθεῖλέ τε αὐτόν, καὶ ἐσβαλὼν ἐς τὴν Πελοπόννησον ἐδῄου τὴν χώραν, καὶ ἐπὶ Σπάρτην ἀφικόμενος τήν τε Λακωνικὴν ἐπέδραμε καὶ ἀπήλαυνε. βασιλεὺς δ' εἰς τὴν Ἀσίαν διαβὰς ἐπὶ Καραμᾶνον ἤλαυνε τὸ δεύτερον, καὶ τήντε χώραν ἐδῄου καὶ ἐπεκράτει.*

Ἐν ᾧ δὲ ταῦτα ἐγένετο, Γεώργιος ὁ Τριβαλλῶν ἡγεμὼν B *ἐς λόγους τῷ τε Ἰάγγῳ καὶ τῷ Παιόνων βασιλεῖ ἀφικόμενος, καὶ τῶν ἀρίστων τῆς Παιονίας μετιὼν ἕκαστον, ἐνῆγεν ἐπὶ Ἀμουράτη στρατεύεσθαι, καὶ χρήματα ἐς τὴν ἐκστρατείαν ταύτην ὑπέσχετο ἱκανὰ δοῦναι τοῖς Παίοσιν, ἃ δὴ καὶ εἰσενέγκατο αὐτοῦ. ταῦτα δὲ αὐτῷ συγκατεργάζετο καὶ Ἰάγγος, τοῖς μὲν Ἕλλησι φίλιος ἦν, αὐτῷ φίλος τε ὢν ἐτύγχανε.*

20. ὃς τοῖς?

citabat. Amurates igitur Mechmetis filius, ubi id parari animadvertit, mutato consilio coeptam expeditionem omisit, et bellum omne in Caramanum avertit. Turachanem Thessaliae praefectum iussit exercitum contra Peloponnesi Isthmum ducere, eumque in potestatem redigere; deinde regionem Peloponnesi, qui sub Graecis est, incursionibus vexare. quibus peractis eum inde abire iusserat. Turachanes accepto Thessaliae et Peresbiae, quae stagno adiacet, exercitu ad Isthmum perrexit, quem desertum ab hostibus inveniens occupavit; et hinc incursionem faciens in Peloponnesi regionem, vastitatem maximam reddidit. etiam Spartam adiit, Laconiaeque regionem populatus est. quibus omnibus, quemadmodum praeceperat rex, expeditis abiit. rex Amurates in Asiam transvectus contra Caramanum exercitum ductabat, et secundo eius regionem evastatam subigebat.

Ea tempestate qua haec agebantur, Georgius Triballorum princeps in colloquium venit cum Iango et cum Pannonum rege; prehensansque singulos Pannoniae proceres, persuasit ut contra Amuratem arma caperent. opes autem plurimas immensamque pecuniae vim Pannonibus ad eam expeditionem pollicebatur. nec solum promisit, verum pecuniam Pannonibus, ut eos experiretur auxiliares, tradidit. usus est plurimum opera ad eam rem Iangi, qui Graecis familiariter iunctus erat.

Ἰωάννης δ' αὖ ὁ τοῦ Βυζαντίου βασιλεὺς ἐπολέμει πρὸς
τοὺς Ἰαννΰους, διενεχθεὶς ἀπὸ αἰτίας τοιᾶσδε, τῆς ἀπὸ κου-
μερκίων τοῦ Γαλάτου ἕνεκα. ἐνταῦθα οἱ Ἰαννΰοι ναῦς πλη-
C ρώσαντες μεγίστας δὴ τῶν παρ' αὐτοῖς καὶ τριήρεις τρισκαί-
V. 118 δεκα, καὶ ἐμβιβάσαντες ἐς τὰς ναῦς ὁπλίτας αὐτῶν ἀμφὶ
τοὺς ὀκτακισχιλίους, ἐπέπλεον ἐπὶ Βυζάντιον, ἐξελεῖν βουλό-
μενοι. καὶ ἐπὶ τοὺς Σκύθας τοὺς περὶ Βόσπορον ἐστρατεύ-
οντο· τὴν γὰρ πόλιν αὐτῶν Καφᾶν καλουμένην ἐπὶ τῷ Βο-
σπόρῳ οἱ Σκύθαι, πρὸς τοὺς ἐν τῇ πόλει ταύτῃ διαφερόμε-
νοι, ἦγόν τε καὶ ἔφερον. δι' ἃ δὴ καὶ πρὸς τὸν βασιλέα τῶν
τῇδε αὐτοῦ Σκυθῶν Ἀτζικαρέην πρέσβεις πέμψαντες, ὡς
ξυμβαίνειν ἐπὶ τοῖς διαφόροις, ὡς οὐδὲν σφίσι τῶν δεόντων
ἀπέβαινεν, ἀνήνεγκαν τὴν πόλιν ἐπὶ τὴν Ἰταλίαν. ὡς οἱ Ἰα-
D νΰοι δεινόν τι ποιούμενοι τοὺς Σκύθας λυμαίνεσθαι τῇ πό-
λει αὐτῶν ἀνήκεστον (ἐτύγχανε δὲ κατὰ ταὐτὸ καὶ ἡ πρὸς
τοὺς Ἕλληνας αὐτῶν διαφορὰ) παρεσκευάζοντο καὶ ἐπ' ἀμ-
φοτέρους στρατεύεσθαι ὡς ἐξελοῦντες. ἀφικόμενοι δὲ ἐς Βυ-
ζάντιον καὶ πόλεμον τῇ Κωνσταντίνου πόλει προαγορεύοντες,
ἐπιπλεύσαντες δὴ ἐς τὸν Εὔξεινον πόντον παρῆσαν ἐς τὸν Κα-
φᾶν. ἐνταῦθα δὴ τῆς Χερρονήσου ἀποβάντες ἵεντο εὐθὺς
ὁμόσε ἐπὶ τοὺς Σκύθας, ἐξιόντες δὲ ἀπὸ τῆς πόλεως ἐπῄεσαν.
ἐνταῦθα οἱ Σκύθαι, ὡς ἑώρων τοὺς Ἰαννΰους οὕτω κόσμῳ
οὐδενὶ ταξαμένους ἐπιέναι αὐτοῖς, λόγον οὐδένα σφῶν ποιου-

13. ἐς τὴν πόλιν?

Ioanni Byzantii regi bellum cum Iànuensibus erat propter commercia Galli cuiusdam. Ianuenses implebant naves quas habebant maximas, necnon triremes tredecim; quibus imposuerunt suorum octo milia armatorum, et properabant contra Byzantium, volentes urbem eam capere. eodem tempore etiam Scythis (qui et Tatari) bellum inferebant Ianuenses. Scythae namque qui circa Bosporum colunt, inimicitiis moti quas cum Caphensibus gerebant, Capham urbem egerunt et tulerunt. propter quae miserant legatos ad regem Scytharum Atzikarem, petitum pacem, hac tamen condicione, ut sua reciperent. cum nihil eorum quae petiissent impetrare potuissent Caphenses, urbem ad Italiam reduxere, cum Ianuenses iniquis animis paterentur urbem suam ab Scythis adeo graviter divexari. eodem tempore iis discordia cum Graecis fuit. parabant itaque contra utrosque simul rem gerere et utrosque armis domare. appulerunt itaque Byzantium, indicentes Byzantiis bellum; et inde legentes Euxinum pontum venere Capham. ibi igitur egressi navibus in Chersonesum recta pergebant contra Scythas, non multum in urbe morati. Scythae audientes hostes accedere sine ordine palantes, plenos contemptu, et ipsi

μένους· τραπόμενοι γὰρ τῇ προτεραίᾳ ἐπὶ ποταμόν τινα P. 151 αὐτοῦ ταύτῃ τῆς χώρας ηὐλίζοντο, οὔτε φυλακὰς καταστησάμενοι ἐς τὸ στρατόπεδον, οἰόμενοι δὴ οὐδέποτ' ἂν τοὺς Σκύθας ἐς τοσοῦτον τόλμης ἀφικομένους ἐθελῆσαι ἀνακινδυνεύειν συμβάλλοντας. ἐνταῦθα ὡς οἱ πρῶτοι αὐτῶν τοῦ στρατεύματος οὐκ ἀνέμεινον τοὺς οὐραγούς, ὥστε ἐπὶ μέτωπον γενέσθαι τὸ στράτευμα, ἀλλ' ἐπὶ βάθος πορευόμενοι βάδην [ἐποιοῦντο] ἐπῆγον ἐπὶ τοὺς πολεμίους. Σκύθαι δὲ ἐνταῦθα ἐπέκειντο τοῖς πρώτοις αὐτῶν, ὡς τούτοις μαχόμενοι. ἐτρέψαντο αὐτίκα ἐπιτιθέμενοι, καὶ ἐδίωκον, ὡς ποδῶν εἶχεν ἕκαστος. ἐνταῦθα ἐπέπιπτον ἐς τοὺς σφετέρους αὐτῶν, καὶ ἔτρεπον B καὶ τούτους ἐς φυγήν, καὶ οὕτως ἄχρι τῶν οὐραγῶν ἐγένοντο. τρεψάμενοι δὲ ἅπαν τὸ στράτευμα ἐς φυγὴν ἐφόνευον, οὐδενὸς φειδόμενοι, πάντα ὃν ἐπικαταλαμβάνοιεν κατακαίνοντες, ἐς ὃ δὴ ἐς τὴν πόλιν διεσώζοντο ὥστε μὴ ἀπολέσθαι. οὕτω δὴ ἀπαλλαχθέντες τοῦ πρὸς Σκύθας τοὺς ἐν τῷ Βοσπόρῳ νομάδας, κατέπλεον ἐς Βυζάντιον. ἀφικόμενοι ἐς Γαλατίην πόλιν τὴν καταντικρὺ Βυζαντίου ἐν τῇ Εὐρώπῃ, καὶ κοινῇ βουλευσάμενοι ὃν τρόπον τὴν πόλιν μαχόμενοι ἐξέλωσι, τάς τε ναῦς ἐπλήρωσαν, καὶ ἐξοπλισάμενοι κατὰ τὸν Βυζαντίου λιμένα προσέφερον τὰς ναῦς ἐπὶ τὸ τεῖχος ὡς ἀπὸ τῶν νεῶν τὴν C πόλιν αἱρήσοντες. οἱ μὲν οὖν Βυζάντιοι παρεσκευάζοντο

6. ἀνέμενον?

arma arripiunt. nam praeterita die affusi fluvio cuidam in ea regione castra posuerant, nec solitas ordinarant vigilias. putabant enim Scythas nunquam eo audaciae progressuros, ut secum ex acie dimicare sustinerent. ibi igitur cum primi non expectassent eos qui agminis postremi erant, ut in unum et in iustam aciem collecti praelium inirent, verum pedetentim et palantes incedentes pergebant contra hostes, extenuato maxime agmine. Scythae igitur, ubi compererunt hostes appropinquare, confestim eis obviam progrediuntur, agminisque incompositi primos aggressi fuderunt et in fugam coniecerunt. fugientes acerrime persecuti sunt. Ianuenses fuga ad suos delati etiam eos fugae socios traxerunt. tandem praelium ad extremos venit, quos terga dare coactos ceciderunt impigre, nulli quemcunque nacti erant parcentes. pauci quidam fuga evasere incolumes in urbem. liberati igitur bello quod gessere parum feliciter cum Scythis in Bosporo habitantibus, navigarunt versus Byzantium, veneruntque Galatiam (quae et Pera) urbem, quae sita est e regione Byzantii in Europa. ibi consultarunt communiter quomodo Byzantium occupare possent. militibus naves complent, et reliqua armamenta expediunt, navesque ad murum iuxta portum appellunt, quasi navibus urbem

ἀμυνούμενοι, καὶ ἀπὸ τοῦ τείχους ἐμάχοντο πρὸς τοὺς Ἰαννΐους
ἀξίως λόγου· καὶ ὡς προσέβαλον τῷ τείχει ἀπὸ τῶν νεῶν καὶ
ἐπειρῶντο ἑλεῖν, οὐκ ἠδύναντο ἐπιβῆναι τοῦ τείχους, ἀμυνομέ-
νων τῶν Ἑλλήνων κατὰ τὸ καρτερόν. ἐνταῦθα, ὡς οὐδὲν αὐτοῖς
προεχώρει, διέστησάν τε καὶ ἀπέπλεον ἐπὶ Ἰταλίας. ἡ μέντοι
πόλις τῶν Ἰαννΐων ἡ Γαλατίη ἐπολέμει ἐπὶ συχνόν τινα χρόνον
τῷ Βυζαντίῳ, καὶ τηλεβόλους ἐξ ἀλλήλων οἵ τε Ἕλληνες καὶ
οἱ ἐκ τοῦ Γαλάτου ἐνέβαλον, ὁπότε καὶ ὁ Λεοντάρης Ἰωάννης
D τῷ τείχει τῆς Γαλατίας σφοδρῶς ἐπεισπεσὼν ἀπέκλεισε ταύ-
την, στερηθεῖσαν παντὸς τροφίμου καὶ τῶν ἄλλων. καὶ πολ-
V. 119 λοὺς τῶν ἀπὸ τῶν νηῶν τῶν Ἰαννΐων ἐπιδραμὼν οὗτος κα-
τέσχε, καὶ μεθ' ἁλύσεων τῷ βασιλεῖ Ἰωάννῃ ὄντι ἐν τῷ οἰκή-
ματι τοῦ Ξυλλᾶ προσεκόμισεν ὡσεὶ τριακοσίους, προσευρὼν
τούτους ἐν τῷ χάρακι τοῦ Γαλάτου. μετὰ ταῦτα διαπρεσβευ-
σάμενοι πρὸς ἀλλήλους περί τε τῶν ἔξω ἀμπέλων τοῦ Γαλά-
του καὶ περὶ τῶν κουμερκίων αὐτῶν, ὅπως συγκατατεθῇ ὁ
βασιλεύς, συγκατένευσαν οἱ Ἰαννΐοι, ἀποχαρίσαντες καὶ μᾶλ-
λον τῷ βασιλεῖ χρυσίνους χιλίους φθορᾶς ἕνεκα τοῦ ἐν τῇ
P. 152 βασιλικῇ πύργου, εἰς ὃν οἱ Ἰαννΐοι τηλεβόλοις ἐχρήσαντο,
καὶ τῶν ἐργαστηρίων τῶν ἐν τῇ μέσῃ, ἐξ ὧν ἐχαλάσθησαν,
καὶ τὴν σημαίαν αἴρειν τοῦ βασιλέως Ἑλλήνων.

8. τοῦ] τῶν RT 14. τοῦ] τῶν R

expugnaturi. at Byzantii resistebant fortiter, et ex muro in hostem pugnabant magna gloria. Ianuenses cum conarentur ex navibus ascendere in moenia, nihil efficiebant: Byzantii enim hostes magna fortitudine repellebant. cum igitur coepta parum succederent, omnesque conatus irriti caderent, in dissensionem adducti rediere in Italiam. verum Galatia Ianuensium urbs longo tempore bellum gessit cum Byzantiis, cum utrinque tam Byzantii quam Galatae bombardis rem gererent. at Leontares Ioannes magno impetu in Galatiae moenia irruens, eam undique quasi indagine cinctam omni commeatu reliquisque necessariis interclusit; plurimos quoque Ianuenses cepit, cum feliciter et fortiter in eorum naves irrumperet. hos vinctos adduxit ad regem Ioannem, qui ea tempestate agebat in Xyllae domicilio. fuerunt autem captivi numero trecenti, quos omnes in Galatiae vallo nactus erat. postea legatos ultro citroque mittentes super commerciis et vineis, quae extra Galatiam erant, Ianuenses grato animo excipiebant quaecunque statuisset de illis rex. cogebantur quoque numerare regi aureos mille propter turrim regiam, quam tempore obsidionis bombardis disiecerant, necnon propter officinas quae in medio positae erant, destructas, ut potiri possent imagine sive signo regis Graecorum.

Ταῦτα μὲν ἐς τοσοῦτον τοῖς Ἕλλησι προσενήνεκται ἐς τοὺς Ἰαννΐους· Ἰωάννης μέντοι ὁ τῶν Ἑλλήνων βασιλεὺς ἐνταῦθα διαπρεσβευόμενος πρὸς τὸν Ῥωμαίων ἀρχιερέα, Εὐγένειον τοὔνομα ἔχοντα, ὥστε ἐς ταὐτὸ συνιέναι καὶ τὴν ἐπὶ τῆς θρησκείας διαφορὰν συνεξελεῖν, ἐπειρᾶτο τῆς τῶν ἑσπερίων γνώμης, εἰ περὶ πολλοῦ Ῥωμαῖοι ποιοῖντο ξυμβῆναι τοῖς Ἕλλησιν, ὥστε καὶ ἐπὶ τοὺς Γερμανοὺς ἀφίκετο αὐτῷ ἡ πρεσβεία. ἐτύγχανον δὲ τότε οἱ Γερμανοὶ περὶ Βασιλέαν πόλιν, διενεχθέντες γνώμῃ πρὸς τὸν Εὐγένειον ἀρχιερέα, καὶ ἀποδοχιμάζοντες B αὐτὸν καθίστασαν αὐτοὶ ἀρχιερέα Φελίκιον τοὔνομα, ἄνδρα τῶν παρ' αὐτοῖς δοκίμων, ξύνοδόν τε ποιησάμενοι κοινῇ κἀπιδεδειγμένοι.' οὗτοι μὲν οὖν ἄμφω πληρώσαντες τριήρεις μετεπέμποντο ἑκάτεροι ἐπ' αὐτοὺς Ἰωάννην τὸν Βυζαντίου βασιλέα, τήν τε ξύνοδον ἐπὶ σφίσι ποιήσασθαι ἑκάτεροι ἀξιοῦντες, καὶ συνεξελεῖν σφίσι τὰ διάφορα, ξυνῳδὰ ἀποδεικνυμένους. ὡς δὲ ἀφίκοντο ἀπὸ τῶν ἀρχιερέων ἀμφοῖν τριήρεις, τὴν μέντοι ξύνοδον τὸν τῆς Βασιλέας πλοῦν ἀπεπέμψατο ἠπίως, φάμενος ἐπὶ τοὺς Ῥωμαίους αὐτὸν ἐνδεδέσθαι πρότερον καὶ τούς τε Οὐενετοὺς καὶ τὴν ἄλλην Ἰταλίαν, ἐνταῦθα αὐτὸν ἰέναι κελεύοντας· παραλαβὼν C δὲ τούς τε Βυζαντίου ἀρχιερεῖς καὶ Ἑλλήνων τοὺς ἐλλογίμους ᾤχετο ἀποπλέων ἐπὶ Ἰταλίαν. καὶ ἐς τοὺς Οὐενετοὺς ἀφικόμενος ἐκομίζετο ἐπὶ Φερραρίας, ᾗ διατρίβειν τὸν ἀρ-

Bellum inter Byzantios et Ianuenses huiusmodi exitum habuit. bello isto finito, Ioannes Graecorum rex legatos ire iubet ad Romanum pontificem Eugenium nomine, petentes ut concilium celebraretur, quo inter utrosque religionis contentionem decenter componerent. tentabat eo modo Occidentalium animos, num plurimi facerent concordiam constabiliri cum Graecis in religionis controversia. legati in Germaniam venere. ea tempestate Germani Basileae erant congregati, dissidentes sententiis contra Eugenium pontificem; quo reprobato crearunt pontificem nomine Felicem, virum inter ipsos in primis spectatae probitatis. hunc concilii consensu pontificem declararunt. ambo igitur pontifices triremes instruunt, et Ioannem Byzantii regem accersebant. uterque enim sub se concilium agitari et religionis controversiam, quae cum Graecis intercesserat, finiri volebat. cum ab utroque venissent triremes, rex quidem benignis verbis et placide consilii Basileensis legationem dimittebat, dicens se. cum Romanis et Venetis et cum reliqua Italia iam ante collocutum, qui omnes se Romam proficisci iubeant. assumens itaque Byzantii et sacerdotes et Graecorum sapientissimos et doctissimos, navigabat in Italiam. cum

χιερέα Εὐγένειον ἐπυνθάνετο· ἐκομίζετο δὲ διὰ τοῦ Ἠριδανοῦ. διέχει δ' αὕτη ἡ πόλις ἀπὸ τῶν Οὐενετῶν σταδίους περὶ τοὺς τριακοσίους, ἄρχοντας δὲ ἔχει ἄνδρας οἰκίας τῶν Ἐστησίων καλουμένους. ἔστι δ' ἡ πόλις αὕτη εὐδαίμων τε καὶ πολυάνθρωπος, καὶ περὶ αὐτὴν ῥέει ποταμὸς τοὔνομα Πάδος. οἰκεῖται δὲ ἡ πόλις ἐς τὴν Ῥωμαίων μοῖραν ἀποτεταγμένη. ἐγένοντο δ' οὗτοι, οὓς ἐσήμανον ἄρχοντας τῆς πόλεως, ὧδε.

Ἀνὴρ δὲ οὗτος ὁ τότε τῆς πόλεως ἄρχων ἐπιεικής τε D καὶ οὐκ ἀσύνετος, ξυμφορὰ δὲ συνεβεβήκει αὐτῷ τοιάδε. γυνὴ ἦν αὐτῷ, θυγάτηρ τοῦ Μονφερράτου ἡγεμόνος, τό τε εἶδος ἀρίστη καὶ τὸν τρόπον τὸ ἔμπροσθεν οὐκ ἀγενής. αὕτη ἠράσθη νόθου υἱέος τοῦ ἀνδρὸς αὐτῆς· ὃς ἐπεί τε ἐφοίτα παρ' αὐτὴν ὄψιμος, ᾗ νομίζεται ἁπλοϊκώτερον μᾶλλον τοῖς κατὰ τὴν Ἰταλίαν οἰκοῦσι, προυκαλεῖτο ἐν παιδιᾷ γενομένη σὺν τῷ νεανίᾳ ἐπὶ τὸν ἔρωτα. καὶ ὡς ᾔσθετο δὴ ἐρωμένην αὐτοῦ, ἐσῄει τε αὐτὸν ὁ τῆς γυναικὸς ἔρως, καὶ ἐπὶ χρόνον ἐπεμαίνετο τῇ γυναικὶ μητρυιᾷ οὔσῃ ἑαυτοῦ. τῶν δὲ θεραπαινίδων τις ὡς ᾔσθετο τούτων οὕτως ἀλλήλων ἐρώντων καὶ συγγενομένων, καταγορεύει τῷ ἑαυτῆς ἐραστῇ, ᾧ δὴ πάντων ἠρέσκετο P. 153 ὁ ἡγεμὼν τῆς πόλεως καὶ ἐτίμα μεγάλως. ἐπεί τε ἐξέμαθε καὶ αὐτὸς αἰσθόμενος, ἐξαγορεύει τῷ δεσπότῃ αὐτοῦ, λέγων

2. ἡ om P

venisset ad Venetos, inde solvens ferebatur Ferrariam, ubi morari pontificem Eugenium acceperat. haec urbs distat ab Venetiis stadiis fere trecentis. duces et principes habet qui sunt de familia Estensium. opibus hominumque multitudine excellit. Pado fluvio alluitur. subiecta est Romano pontifici. duces seu principes, quos modo diximus, accipit.

Vir ille qui tum temporis in urbe rerum summa potiebatur, aequitatis studiosus, nec caetera imprudens erat. huiusmodi autem ei accidit calamitas. uxorem habebat filiam ducis Monferrariae, pulchritudine formaeque elegantia praestantem. mores mulieris, antequam id contigisset, modestia insigni coruscabant. haec insaniebat amore privigni, qui filius ducis erat nothus. qui cum serius ad eam veniret quam moris est eorum qui in Italia lautius vivunt, iuvenem inter ludendum ad amorem provocat. hic intelligens se a muliere amari, et ipse mulieris amore exarsit, et aliquando tempore stupri consuetudinem cum noverca sua habuit. ancilla autem quaedam ut cognovit amorem illorum, amatori suo rem omnem enarrat. is vero duci admodum carus erat, et ab eo honorifice admodum tractabatur. is igitur ubi rem cognovit indicio ancillae, necnon ipse eandem ex-

"ὦ δέσποτα, ἐμοὶ μέντοι κατὰ γῆς εἴθε ἂν γένοιτο καταδῦναι μᾶλλον ἢ ὁρᾶν τοιαῦτα ἐν τῷ σῷ οἴκῳ ἀθέμιτα γινόμενα πράγματα. τὴν γάρ τοι δέσποιναν ἐμοὶ ἐθεασάμην σὺν τῷ V. 120 παιδὶ νόθῳ μίσγεσθαι ἐν φιλότητι, ἄθεσμα ἐργαζομένους. ποίει τε ὅπως ἐξαπαλλαγῇς ταύτης τῆς γυναικός, μηκέτι αὐτῇ συνοικοίης. ἀλλ' ἀπόπεμψον καὶ τὸν νεανίαν." ὁ δὲ ὡς ἐπύθετο, ἐν θαύματι μὲν ἔχετο ἐπὶ τῷ γεγονότι, ἱμείρετο δὲ ὅτῳ τρόπῳ ἰδὼν ἐξαγορεύοι τὸ γεγονός, καὶ αὐτὸς ἔφη ἐθέλειν θεάσασθαι καὶ αὐτόπτης γενέσθαι. ἐνταῦθα ἐπὶ τὴν κοίτην ἄνωθεν ὀπὴν ποιησάμενος βραχεῖαν, ὥστε μὴ αἰσθάνεσθαι B ἐκείνους τῆς ὀπῆς, ἐθεᾶτο ἄνωθεν τὴν γυναῖκα αὐτοῦ μισγομένην τῷ παιδὶ αὐτοῦ ἐν τῇ κοίτῃ. ὡς δὲ κατεῖδέ τε καὶ ἐξέμαθε τὸ γεγονός, μεταπέμπεται πρῶτα μὲν τὴν γυναῖκα. ἐπεὶ δὲ παρῆν, ἔλεγε τοιάδε "ὦ γύναι, ποῖός σε δαίμων ἐς τοῦτο μανίας συνέλασεν ὥστε παιδὶ τῷ ἐμῷ συγγενέσθαι ἀνοσιώτατα πασῶν δὴ γυναικῶν ὧν ἴσμεν ἡμεῖς; καὶ πῶς οἴει τοῦτο καλῶς ἔχειν ἐμοί τε καὶ σοὶ ἐς τὸν γάμον;" ἡ δὲ ὑπολαβοῦσα ἔφη "ἀλλ' ὅπως ὦ δέσποτα τοιαῦτα εἰργασάμην τὸν σὸν γάμον, οὐκέτι εἰμὶ ἔξαρνος, ἀλλ' εἶναι ἀληθῆ ταῦτα ὁμολογῶ. μόνη δὲ τούτου ἐγὼ αἰτία κατέστην, αὐτή τε ἀνοσιώτατα ἔργα ἐς νοῦν τιθεμένη, ὑπὸ ἀνάγκης μείζονος C προαχθεῖσα, οὐκ οἶδ' ὅπως ἐς τοῦτο γενομένη, καὶ τὸν νεανίαν ἄκοντα ἐφελκομένη ἐς τὸν ἀνοσιώτατον ἔρωτα. καὶ αὐτὴ μὲν δικαίως ἂν τὴν δίκην ὑπέχοιμι, δέομαι δέ σου μὴ περὶ

plorasset, accedit dominum, inquiens "o domine, mihi contingat magis terrae hiatu contegi quam ut diutius cernam in aedibus tuis adeo nefanda scelera committi. nam uxorem tuam rem habere cum filio tuo notho, impiissima perpetrantes, vidi. proinde da operam ab ista muliere libereris, nec amplius cum ipsa converseris. filium quoque fac aliquo ableges." his auditis dux obstupuit. deinde percunctatus est quomodo rem istam cognovisset. dixit quoque se velle eam rem explorare, et praesentem rei illius fore spectatorem. faciens itaque supra lectum foramen haud perinde magnum, ne deprehenderetur ab amantibus, per id spectabat filium suum nothum concumbere cum uxore in lecto. descendens igitur ambos opprimit inopinato, et uxorem in hunc modum alloquitur "o mulier, quis daemon eo dementiae te adegit, ut commiscereris turpiter filio meo, impiissima omnium quas novimus? qua ratione id nostro matrimonio honestum fore arbitrata es?" quae respondens ait "quod talia fecerim, domine, matrimonii fidem violans, non eo infitias: verum culpam agnosco, eiusque rei impiae ego sola caput et origo sum. ego scelerata opera animo concipiens, vi maiore coacta, nescio quo modo ad istam impietatem concesserim, et adole-

τὸν νεανίαν ἀνήκεστα βουλεύσασθαι, οὐδαμῇ τούτου αἴτιον ὄντα.” ἐνταῦθα τὸν παῖδα μετὰ ταῦτα αὐτίκα μεταπεμψάμενος ἐπήρετο εἰ δίκαιά ἐστιν ἅττα ἐπ' αὐτοφώρῳ ἑάλω ποιῶν. καὶ ὡς οὐκ εἶχεν ἀρνεῖσθαι ἐκπλαγέντα, συγγνώμην ζητῶν ἐπετράπετο. εἵπετο δὲ τῷ νεανίᾳ καὶ ἄνθρωπος ὃς συνῄδει τε αὐτοῖς τὸν ἔρωτα καὶ συνηπίστατο, καὶ ὑπουργῶν διε- D *τέλει ἀμφοῖν· μῖμος δ' ἦν, ὃς τήν τε ἀρχὴν τῷ νεανίᾳ ὤτρυνεν ἐπὶ τὸν ἔρωτα. καὶ τοῦτον καλέσας ἤρετο ὁ δεσπότης πόθεν τοσοῦτον ἔργον ἑαυτὸν πεποιηκὼς εἴη ἀνοσιώτατον. ὁ δὲ ἔλεγεν “ὅτι τὴν ἐρωμένην τοῦ σοῦ παιδὸς ἑλόμενος συνεγένου· διὰ ταῦτα σὺν δίκῃ ἐποίησέ τε τοιαῦτα.” ὁ γάρ τοι παῖς αὐτοῦ ἤρα γυναικὸς ἐν τῇ πόλει, οὐ μέντοι συνεγένετο τῇ γυναικὶ ταύτῃ· καὶ ἐπείτε ἐπυνθάνετο καλλίστην εἶναι ὁ πατήρ, ὕστερον ἐβιάσατό τε καὶ συνεγένετο. τὴν αἰτίαν ὁ μῖμος τόν τε νεανίαν ἐπὶ τὸν ἔρωτα τῆς γυναικὸς ἐκείνης προετρέψατο. ταῦτα μὲν οὖν ὡς ἕκαστα ἐπύθετο, ἐκέλευσε τὴν κεφαλὴν τοῦ παιδὸς ἀποταμομένους μετὰ ταῦτα* P. 154 *αὐτίκα καὶ τῆς γυναικὸς ἀποταμεῖν, καὶ ὕστερον τοῦ μίμου. τοιαύτῃ μὲν τύχῃ ὁ τῆς πόλεως ἄρχων περιπεσὼν συμφορᾷ τε ἐχρῆτο, καὶ οὐ πολλῷ ὕστερον ἔγημε θυγατέρα τοῦ Λιγύρων τυράννου, καὶ παιδιᾷ ἀνεὶς ἑαυτὸν τὰ πολλὰ παρεμυθεῖτο τὴν τύχην.*

15. *τὴν*] *διὰ ταύτην τὴν*?

scentem invitum in istud nefarium opus traxerim. merito igitur ego poenas pendo. rogo tamen, in adolescentem, cuius nulla culpa est, ne saevire velis.” deinde filium vocavit, interrogans an iusta haec sint quae fecerit in ipso opere deprehensus. adolescens attonitus cum negare non posset, ad petendam veniam convertebatur. secutus est vir amoris istius nefandi conscius, qui utrique operam, ut cupitis potirentur, locaverat indefessam. erat autem mimus, qui ab initio adolescentem in istum amorem impulerat. et hunc accersens interrogabat dominus “quid causae fuit quare adeo impium in me patraris facinus?” hic respondit “quia tu rapuisti amicam filii tui, et cum ea concubuisti, quapropter merito ista contigere tuo.” nam ducis filius amabat mulierem eius urbis, necdum tamen cum ea coierat. pater igitur cum intellexisset eam esse forma praeditam supra modum venusta, vi eam opprimens, Veneris gaudium ei abstulit. mimus igitur huius amoris causam omnem in istud facinus reiiciebat. haec sigillatim cum audisset, adolescentem, deinde mulierem, postremo mimum capite truncari iussit. haec est calamitas, quae Ferrariae principem ea tempestate oppresserat. nec multo post Ligurum principis filiam uxorem duxit; et missis seriis, plerumque iocis se tradens, fortunam adversam levabat.

Ὁ μέντοι Ἑλλήνων βασιλεὺς ὡς παρῆν ἐν Φερραρίᾳ παρὰ τὸν Ῥώμης ἀρχιερέα, ὃς αὐτοῦ τότε διατρίβων ἐτύγχανεν ἀπὸ Ῥώμης ἀφικόμενος (Οὐενετὸς γὰρ ἦν καὶ τῆς πατρίδος), ἐδεῖτο τιμωρεῖν αὐτῷ ἐς τὴν πρὸς Γερμανοὺς διαφοράν. ἐς διάλεξίν τε κατέστησαν πολυπραγμονοῦντες τὴν διαφοράν, ὅποι ἔχει ἄμεινον κεῖσθαι αὐτοῖς ἀμφοῖν. ἐντεῦθεν δὲ ἀπαλλαττόμενοι ἀφίκοντο ἐς Φλωρεντίαν τὴν Τυρρηνῶν μητρόπολιν, πόλιν μεγάλην τε καὶ εὐδαίμονα καὶ καλλίστην τῶν ἐν Ἰταλίᾳ πόλεων.

Ἡ δὲ Τυρρηνία ἄρχεται μὲν ἀπὸ Περώζης πόλεως, καὶ B ἀπείργουσα ἐν δεξιᾷ πόλιν εὐδαίμονα Βονωνίαν διήκει ἐπὶ τὴν Λούκην. ἔστι δὲ ἥ τε Λούκη καὶ τὸ Περούζιον πόλεις αὐτόνομοι, ἐς δημοκρατίαν ἀποκλίνουσαι. ἡ δὲ Φλωρεντία πόλις ἐστὶν ὀλβιωτάτη μετά γε τὴν Οὐενετῶν πόλιν, ἐπὶ ἐμ- V.121 πορίαν ἅμα καὶ γεωργοὺς παρεχομένη τοὺς ἀστούς. συνέσει δὲ τῶν ἄλλων δοκοῦσιν οὗτοι προέχειν, καὶ διαπράττεσθαι ἄμεινον, ἐς ὅ τι ἂν γένοιντο οἱ τῆσδε τῆς πόλεως ἄνδρες. εὐθύνονται δὲ κατὰ τάδε. βουλή ἐστιν αὐτοῖς ἐς πεντακοσίους, περὶ τῶν τῆς πόλεως πραγμάτων τὴν ψῆφον τιθεμένη, καὶ περὶ πολέμου καὶ εἰρήνης καὶ πρεσβειῶν χρηματίζουσα σφίσι. καὶ ἄνδρες δύο πάρεστον αὐτοῖς ἐπήλυδες, οὓς με- C ταπέμπεται ἡ πολιτεία, τιμῶντες. τὸν μὲν δικαστὴν ἐφιστᾶσιν αὐτῇ τῶν ἐγκλημάτων τῆς πόλεως, τὸν δὲ ἐς τὸ τὰς ἀλ-

2. ὡς P

Rex Graecorum cum venisset Ferrariam ad Romanum pontificem Eugenium Quartum, qui ibi versabatur, cum eo ab urbe Roma esset profectus (erat enim Venetus), precibus fatigatur a pontifice, ut se iuvaret in contentione, quae intervenisset sibi cum Germanis. et cum in colloquium venissent, plurima de contentione illa disseruerunt, rationem ineuntes qua utrique res pulchrius et felicius succederent. hinc profecti venere Florentiam Tyrrhenorum (sive Hetruriae) metropolim, urbem magnam et opulentam, quae pulchritudine omnes Italiae urbes exuperat.

Tyrrhenia (quae et Hetruria) incipit ab urbe Perusio, et dextra tenens Bononiam urbem opulentam, pertingit usque Lucam. Luca autem et Perusium sunt civitates liberae, et in democratiam versae reguntur. Florentia, extra Venetorum urbem, Italiae urbs opulentissima est, civesque ad agriculturam et mercaturam extrudit. hi intelligentia reliquos excellere videntur; optimeque efficitur quicquid viri isti fuerint aggressi. res publica hoc modo administratur. est in ea consilium quingentorum virorum, qui de civitatis rebus consultant, de bello, de pace, de legatis sententiam ferentes. habent viros duos

λας δίκας δικάζειν [τῆς πόλεως] αὐτὸν ἀμφὶ τὴν τῆς πόλεως ἄλλην διοίκησιν ἔχουσιν. ἐπήλυδας δὲ οὗτοι ἐπάγονται τοὺς ἄνδρας αὐτούς, ὡς ἂν μὴ πολῖται οἵτε δικάζοντες δίκην τινὰ ἐπὶ θάτερα ταλαντεύοιντο. αἱροῦνται δὲ ἄρχοντας τῶν πραγμάτων τῆς πόλεως καὶ σημαιοφόρον παρ' αὐτοῖς καλούμενον, τριμηνιαίους τὴν ἀρχήν, ἐς οὓς τὰ πράγματα τῆς πόλεως τά τε χρήματα καὶ ἡ πρόσοδος ἀναφέρεται. καὶ ἐπειδάν τινες πόλεμον φέροντες ἢ εἰρήνην ἀνηνέχθη ἐς αὐτούς, οὗτοι αὖ ἐπὶ τὴν πεντακοσίων βουλήν. τοὺς δὲ ἄρχοντας αἱροῦνται
D ἀπὸ τοῦ δήμου, δημότας τε ὄντας καὶ τεχνῶν τινῶν ἐπιστάτας. ἔξεστι δὲ καὶ ὁτῳοῦν ξένῳ ἐν ταύτῃ τῇ πόλει γενέσθαι πολίτῃ, ξυνεισφέροντι ἐς τὴν πόλιν καθὰ νομίζεται αὐτοῖς. ἡ μέντοι βουλὴ ἐπειδάν τινι ψήφῳ προσκέοιτο, τοῖς τε ἄρχουσιν ἐπιτρέπει διαπράττεσθαι ὡς κάλλιστά τε καὶ ἄριστα. ἐς ταὐτὸ δὴ τὸ τῆς πολιτείας εἶδος τετραμμέναι εἰσὶ σχεδόν τι σύμπασαι αἱ τῆς Τυρρηνίας πόλεις, τό τε Περούσιον, ἡ Λούκη καὶ τὸ Ἀρέτιον καὶ αἱ Σῆναι πόλεις.

Ἐνταῦθα δὴ ἀφιγμένοι οἱ Ἕλληνες σὺν τῷ ἀρχιερεῖ πολυπραγμονοῦντες μὲν ἐπί τινα χρόνον τὴν τῆς θρησκείας διαφοράν, ὅπῃ τε ἔχει ἄμεινον εἰρῆσθαι αὐτοῖς, καὶ τελευτῶντες
P. 155 ξυνέβησαν ἐς τὸ αὐτό, ξυνῳδὰ ἀποφηνάμενοι ἀμφότεροι σφίσι τὰ διάφορα, ὡς τῇ γνώμῃ ἐς ταὐτὸ ἄμφω τῷ γένει ἰόντες,

1. αὐτοὶ δ' ἀμφὶ? 3. οἵ τε] ὄντες? 22. τῷ γένει?

peregrinos, quos accersentes plurimum venerantur. unum criminum capitalium iudicem constituunt, alterum reliquas urbis controversias iudicare iubent. cives autem reliqua rei publicae munia obeunt. peregrinos autem propterea adsciscunt, ne cives favore aut odio adducti in alterutram partem ius dicentes abducerentur. ducem seu principem rei publicae creant, quem signiferum nuncupant; qui trimestre tempus magistratum gerit; ad quem universae civitatis reditus et tributa referuntur. si qui hunc adeunt, pacem aut bellum afferentes, statim deducuntur ad quingentorum consilium. magistratus legunt de populo populares et quorundam artificiorum praesides. licet cuilibet eius urbis fieri civi, si statutum pretium intulerit. consilium illud si quid decreverit, id ut executionem sortiatur ducibus mandant. haec rei publicae forma pene omnium Tyrrheniae urbium est. nam iuxta hanc gubernantur Perusium, Luca, Aretium et Senae.

Huc cum pervenissent Graeci, multa diu egere cum pontifice in religionis negotio, volentes id ad optimum deducere finem. postremo eo ventum est ut inter se consentirent et concordiam inter se conglutinarent. itaque in hanc sententiam euntes decreverunt in posterum nihil in religionis negotio innovare. et ut ista rata mane-

μηδεμίαν βούλεσθαι σφίσι καινοτομίαν αὐτοῖς. καὶ ἐξέφερον τοῦτο γράμμασι, καὶ ἐς τοὺς ἁγίους ἐπιμαρτυρούμενοι μηδέτερον νεωτερίζειν πρὸς τὴν θρησκείαν. ἐντεῦθεν ἐπιλεξάμενος ὁ τῶν Ῥωμαίων ἀρχιερεὺς ἄνδρε δύο τῶν Ἑλλήνων εὐδοκιμωτάτω ᾠκειώσατό οἱ, ἀνακτώμενος τὰ μάλιστα ἀξίως τε τῆς παρ' ἑαυτῷ τιμῆς τῆς μεγίστης, καρδινάλεις τε ἀπέδειξεν, οἷα τῆς θρησκείας ἡγεμόνε. τούτους γὰρ δὴ ἐς τὴν παρ' ἑαυτῷ ἐγγυτάτω χώραν ἱδρυμένους, ἀμφὶ τοὺς τριάκοντα, ἑταίρους τε αὐτῷ ἐπάγεται καὶ συμβούλους, παρεχόμενός τε πρόσοδον B ἱκανὴν καὶ χώραν ἀφ' ἧς ἂν αὐτοῖς προσίοι χρήματα, τῷ μὲν πλέω τῷ δὲ ἐλάττω, ἀξιῶν ὡς ἔχει τε ἑκάστῳ καὶ χώρας. ἐς τούτους δὴ ἀπολεξάμενος ἄνδρας δύο τῶν Ἑλλήνων, Βησσαρίωνα τὸν ἀπὸ Τραπεζοῦντος, Νικαίας ἀρχιερέα, καὶ Ἰσίδωρον τὸν Σαρματίας ἀρχιερέα, ὑπουργώ τε ἔσχεν αὐτῷ καὶ συνεργὼ ἐς τὴν πρὸς τοὺς Ἕλληνας διάλυσιν τῆς διαφορᾶς. περὶ μὲν οὖν Βησσαρίωνος τοσόνδε ἐπιστάμενος μνήμην ποιήσομαι, ὡς ξυνέσει τε τῇ ἀπὸ φύσεως, πολλῶν δὴ τῶν ἐς τοῦτο εὐδοκιμούντων Ἑλλήνων, μακρῷ γενόμενος, καὶ κρίνειν τε ἐφ' ὅ τι ἂν γένοιτο κράτιστος δοκῶν γενέσθαι, τὰ δὲ ἐς σοφίαν τὴν Ἑλλήνων τε καὶ Ῥωμαίων οὐδενὸς δεύτε- C ρος. τοῦτον δὴ ἀγασθέντα τὸν Ῥώμης ἀρχιερέα Νικόλεω τὸν μετὰ ταῦτα ἐπιτρέψαι τῆς Βονωνίας πόλιν εὐδαίμονα

17. τῇ] τὴν P

rent, scriptis et sanctorum obtestatione sanxerunt se deinceps unanimes in religionis negotio fore. hinc Romanus pontifex allegit in Cardinalium ordinem (qui primus apud pontificem est) viros duos Graecorum nobilissimos, eosque sibi familiaritate iunxit. vocantur enim Cardinales quasi religionis duces et antistites. hos enim honore sibi proximos triginta eligit pontifex, iisque sociis et consiliariis utitur. suppeditat his reditus sufficientes, assignans iisdem regiones, unde opes sufficientes accipiant. hic quidem minores, alius maiores acquirit opes, secundum regiones quas singuli sortiuntur. in horum igitur album rettulit pontifex viros duos Graecorum, Bessarionem Trapezuntium, Nicaeae episcopum, et Isidorum Sarmatiae (quae et Russia) episcopum. nam horum opera plurimum adiutus est in concordia cum Graecis ineunda. de Bessarione quae accepi, diligenter annotabo. Bessarion tanto erat instructus a natura intellectu, ut praestantissimos Graecorum non dico aequaret, verum superaret. iudicio in re qualibet plurimum pollebat. Graecarum Latinarumque literarum tanta peritia huic viro inerat, ut facile eruditionis palmam inter omnes caperet. Nicolaus, qui Eugenio successit, virum hunc coluit plurimum. quapropter Bononiae urbi opulentae eum praefe-

ἐπιτροπεύειν αὐτῷ· ἐν ταύτῃ τε, τῆς πόλεως ἐν στάσει ὡς τὰ πολλὰ γενομένης καὶ τῶν στασιωτῶν ἐπὶ διαφορὰν σφίσιν ἀφικνουμένων, δαιμόνιόν τινα τῶν ἐν τῇ πόλει ταύτῃ ἐπιφανῆναι. V. 122 ἔστι δ' ἡ πόλις αὕτη ἐν ταῖς κατὰ τὴν Ἰταλίαν πόλεσιν εὐδαίμων τε καὶ πλούτῳ καὶ τῆς ἄλλης εὐδαιμονίας οὐ πολλῷ τῶν πρώτων λειπομένη πόλεων, κεκόσμηται δὲ καὶ ἐς τὴν τῶν λόγων ἄσκησιν, ἐς τὰ πρῶτα ἀνήκουσα Ἰταλίας. τὸν δὲ Ἰσίδωρον ἐλλόγιμόν τε ὄντα καὶ φιλόπατριν, ἁλόντα τε ὕστερον D ἐν Βυζαντίῳ ὑπὸ βαρβάρων, ἐπαμύνοντα τῇ πατρίδι. τούτῳ δὲ ὡς ἀξιώσει τε παρὰ τοῖς Ἕλλησι δοκοῦντι προέχειν καὶ συμπράξειν αὐτῷ τὰ πρὸς τοὺς Ἕλληνας, ἐπιλεξάμενος ὁ τότε Εὐγένειος ἀρχιερεὺς ξυνέβη ἐς ταὐτὸ τοῖς Ἕλλησι· καὶ ἐπικουρίας τε δεομένῳ τῷ Ἑλλήνων βασιλεῖ, ὅσα ἐς φυλακὴν τῆς πόλεως παρεχόμενον, ὑπέσχετο τοῦ λοιποῦ μελήσειν αὐτῷ ἱκανῶς τῆς βασιλείας αὐτοῦ καὶ τῶν Ἑλλήνων, καὶ τοὺς Παίονας καὶ Γερμανοὺς ἐπὶ Τούρκους ἀναγνώσαντα στρατεύεσθαι μὴ ἀνεῖναί ποτε ἐποτρύνοντα ἐς τοῦτο αὐτοῖς, ὥστε ἀγαθὸν ἦδεσθαι τοῖς τε Ἕλλησι καὶ τοῖς ἄλλοις.

Ταῦτα ὑποδεξαμένου τοῦ ἀρχιερέως ἐκομίζετο ἐπὶ τὴν βασιλείαν Βυζαντίου μετὰ ταῦτα ὁ τῶν Ἑλλήνων βασιλεύς. P. 156 οἱ μὲν οὖν Ἕλληνες ὡς ἐπ' οἴκου ἐγένοντο, οὐκέτι ἔφασαν ἐμμένειν τοῖς ὡμολογημένοις, ἀλλὰ τοὐναντίον κατέστη μηκέτι βουλομένοις συντίθεσθαι τοῖς Ῥωμαίοις· ὁ μέντοι ἀρ-

16. ἀναγνώσονται P

cit, ut eam tutaretur. cum autem ea urbs usque seditionum procellis iactaretur, et seditiosi usque inter se contendere non cessarent, plane inter istos tumultus vir ille divinus apparuit. urbs ista opibus et reliqua felicitate nihil cedit vel praecipuis Italiae oppidis: literarum studio praestantissimis Italiae urbibus connumeratur. Isidorum virum prudentem patriaeque amantem, cum Byzantii pro patria pugnaret, a barbaris captum esse constat. pontifex Eugenius hunc virum, cum eius auctoritas maxima apud Graecos haberetur, elegit, putans eum rebus suis plurimum momenti allaturum in concordia cum Graecis iungenda; quod et evenit. rex Graecorum cum praesidium ad retinendum Byzantium peteret, pontifex respondit promittens, sibi in posterum et regnum illud Graecosque curae fore; praeterea se non cessaturum Pannones et Germanos incitare ut arma contra Turcos capiant, quatenus Graecis et aliis bonum videatur.

His ita compositis rex Byzantium proficiscitur. Graeci domum reversi non amplius his quae convenerant in Italia, stare voluerunt: verum apprehendentes sententiam diversam, noluerunt amplius in religionis negotio adhaerere Romanis. hinc motus pontifex Romanus

γιερεὺς καὶ σοφῶν τινὰς ἐπεπόμφει ἐπὶ τὸ Βυζάντιον παρὰ τοὺς Ἕλληνας, ἐς διάλεξιν ἀφιξομένους τοῖς τῶν Ἑλλήνων σοφοῖς, οἳ οὐ προσίεντο τὴν γενομένην σφίσι ξύνοδον κατὰ τὴν Ἰταλίαν, Μάρκῳ τε τῷ Ἐφέσου ἀρχιερεῖ, οὐδὲ τὴν ἀρχὴν τιθεμένῳ τῷ τῶν Λατίνων δόγματι τὸ παράπαν, καὶ Σχολαρίῳ τῷ τότε παρ' Ἕλλησι τὰ ἐς σοφίαν εὐδοκιμοῦντι. οὐ μέντοι ἠνύετο αὐτοῖς οὐδὲν ἐς λόγων ἅμιλλαν ἀφικνουμένοις, ἀλλ' ἀπεχώρουν ἄπρακτοι ἐπὶ Ἰταλίας. B

Ὁ δὲ Εὐγένειος οὐ πολλῷ ὕστερον ἀφίκετο ἐς Ῥώμην, συμβαλλομένων αὐτῷ τῶν Οὐενετῶν, φερομένων τότε τῷ πολέμῳ ἄμεινον πρὸς τὸν Λιγυρίας τύραννον. οἱ γὰρ Οὐενετοὶ ἐπαγόμενοι στρατηγὸν σφίσιν ἄνδρα Λίγυρα, Καρμανιόλαν τοὔνομα, κηδεστὴν γενόμενον τοῦ Λιγύρων τυράννου, τό τε στράτευμα ἐπέτρεψαν αὐτῷ· καὶ ὃς παραλαβὼν τό τε στράτευμα καὶ τὰς ναῦς, ὅσας ἠξίου πληρῶσαι αὐτῷ τοὺς Οὐενετούς, ἐστρατεύετο πεζῇ τε καὶ διὰ τοῦ Ἠριδανοῦ, ἔχων ναῦς ἐξωπλισμένας ἐς τὰς ἐπάλξεις ξυλίνας ἀμφὶ τὰς ἑβδομήκοντα, ἐπὶ τὸν Μεδιολάνου ἡγεμόνα τὸν Φίλιππον. ὑπῆν δὲ ἐκείνῳ στρατηγὸς Νικόλεως ὁ Βραχὺς ἐπίκλην, ἀνὴρ τὰ C πολέμια ἀγαθὸς καὶ ἐς τὰ πρῶτα ἀνήκων τοῦ πολέμου. καὶ πρῶτα μὲν ἐφέροντο οἱ Οὐενετοὶ ἐς τὸν πόλεμον ἐπὶ πολὺν χρόνον τινά, ἔστε τὴν λίμνην τῆς φυλακῆς διαπολεμοῦντες

viros quosdam doctos Byzantium ad Graecos misit, ut cum his in colloquium venirent; qui quidem synodum et concordiam in Italia factam non admittebant. nam Marcus Ephesi episcopus et Scholarius Graecorum doctissimus, ne ab initio quidem Latinorum dogmati consensum praestare voluerunt. ubi ad colloquium et ad disputationem ventum est, Romani nihil efficere potuerunt, verum re infecta domum reversi sunt.

Eugenius haud multo post Romam rediit, adiutus a Venetis, qui ea tempestate admodum feliciter bellum gerebant cum Ligurum tyranno. nam Veneti belli ducem crearunt virum patria Ligurem, qui antea fuerat amicus et affinis Ligurum tyranni. nomen ducis Carminiola fuit; eique exercitum commiserunt. qui ut exercitum accepit et naves tot quot militibus implere Venetos iusserat, itinere pedestri et per Eridanum proficiscebatur, habens naves ligneis propugnaculis et turribus pulcre instructas, quae numero erant septuaginta. his copiis munitus pergebat contra Mediolani tyrannum nomine Philippum. Carminiolae legatus erat Nicolaus cognomento Brachius, vir militaris rei peritissimus, qui ad summam bellicarum rerum gloriam evaserat. Veneti in eo bello victores tempore longo fuere. praeliabantur diu cum praesidio ad lacus custodiam posito. Nicolaus

ἀλλήλοις. καὶ ἐπὶ Βρίξιαν πόλιν ἐλθόντος Νικόλεω τοῦ Βραχέος, καὶ πολιορκοῦντος τὴν πόλιν ὡς ἐξαιρήσοντος, ἀντέστησαν ἐπὶ συχνόν τινα χρόνον, καὶ ἐς τοῦτο ἀνάγκης ἐληλυθέναι ὥστε καὶ μύας καὶ γαλᾶς ἐδηδοκέναι καὶ δεινὰ ὑπενεγκεῖν μὴ ἐνδιδόντας τὸ παράπαν τοὺς Λίγυας. Γουέλφων δὲ μοῖραν οὖσαν ἐν τῇ πόλει ἀντιστῆναι ἐπὶ τοσοῦτον. τὴν γάρ τοι Ἰταλίαν σύμπασαν ἐς δύο μοίρας διακεκρίσθαι ἐπυθό- D *μεθα, τήν τε Γουέλφων καὶ Γιβελλίνων. ὅτῳ μὲν οὖν τρόπῳ καὶ γένος καὶ πόλεις τῶν κατὰ τὴν Ἰταλίαν ἁπανταχῇ ἐς δύο τούτω μοίρας διέστη, ὥστε ἀλλήλαις πολεμίας εἶναι, διενεχθεῖσαι τῇ γνώμῃ διὰ παντός, καὶ ὅθεν τὴν ἀρχὴν ἔσχε τῆς διαφορᾶς, οὔτε τινὸς ἐπυθόμην ὥστε ἀληθές τι περὶ αὐτῶν ἐπισημῆναι, οὔτ' αὐτὸς συμβαλλόμενος ἔχοιμ' ἂν λέγειν τι ἀσφαλὲς περὶ αὐτῶν. ἡ μέντοι Λιγύρων χώρα καὶ ἡ τῶν* V. 123 *Ἰαννυΐων ἐς τὴν Γιβελλίνων ἀποκέκριται μοῖραν, ἡ δὲ τῶν Οὐενετῶν καὶ τῶν Ῥωμαίων καὶ ἡ Μάρκη ἐς τὴν Γουέλφων διέστη διαφοράν. Τυρρηνοὶ μέντοι καὶ ἡ χώρα τῆς βασιλείας, ἐπὶ Ἰαπυγίαν μακρὰν διατείνουσα, ἐπ' ἀμφότερα ταλαντεύονται· οἱ μὲν γὰρ τούτων ἐς τὴν Γουέλφων οἱ δὲ ἐς* P. 157 *τὴν Γιβελλίνων ἀποκέκρινται μοῖραν, καὶ ἐν μιᾷ τε καὶ τῇ αὐτῇ πόλει ἔστιν ἰδεῖν ἄμφω τὼ μοίρα διεστηκυία τε καὶ μαχομένα ἀλλήλαιν. δι' ἃ δὴ καὶ ὡς τὰ πλέω τὰς στάσεις λογίζομαι συμβαίνειν τοῖς κατὰ τὴν Ἰταλίαν γίνεσθαι. συνέβη δὲ ἐν τούτῳ καὶ τοὺς ἐν Παταβίῳ ἐπαγομένους τοὺς σφῶν*

Brachius Brixiam cum exercitu venit, eamque capere nitebatur. verum oppidani obsidionem longo tolerarunt tempore; eoque necessitatis ventum est, ut mures felesque ederent et durissima quaeque sustinerent potius quam ut hosti cederent. factio Guelphorum, quae in urbe erat, adeo fortiter repugnavit. universa Italia in duas factiones divisa est, Guelphorum scilicet et Gibellinorum. quomodo autem urbes totius Italiae in has factiones abierint, et inter se semper dissidentes animis pugnent, et unde dissidendi initium exortum sit, ex nemine unquam audivi quicquam, ut veri aliquid de iis determinare possim; nec ipse coniecturam faciens possim quid certi de iis tradere. Ligurum et Iauuensium regio Gibellinorum factionem sectatur, Veneti et Romani, necnon Marchia, Guelphis adhaerent. Tyrrheni et reginae regio quae ad Iapygiam in longitudinem patet, utrisque favet: quidam enim horum in Guelphorum, quidam in Gibellinorum factionem discreti sunt. etiam in una eademque urbe utrasque istas factiones inter se dissidentes et pugnantes cernere est. hinc plerumque seditiones Italiam colentibus accidere puto. accidit

ἡγεμόνας, Μαρσίλιον τοὔνομα, οἴκου τῶν Καρραρίων, συντίθεσθαι αὐτῷ παραδοῦναι τὴν πόλιν. ἔστι δὲ αὕτη ἡ πόλις μεγάλη τε καὶ εὐδαίμων, ἔχουσα περίβολον ἀμφὶ τοὺς ἑβδομήκοντα σταδίους. ῥεῖ δὲ διὰ τῆς πόλεως ποταμὸς Βρέντας τοὔνομα, καὶ τούτῳ περιιόντι γενομένη ἐχύρωται ἐς τὰ μάλιστα. τοῦτον ὡς ἐπήγοντο τὸν Μαρσίλιον, συνθέμενοι ἡμέρᾳ ᾗ αὐτὸν δέοι παρεῖναι ἐς τοὔργον, ἐπιγενέσθαι τε χειμῶνα B μέγιστον, καὶ διακωλῦσαι τὸν ἄνδρα παρεῖναι ἐς ἣν συνέθετο ἡμέραν. ἕνα δὲ τῶν συνειδότων τὴν προδοσίαν, δεδιότα περὶ αὑτῷ, μὴ φθάσας ἕτερος καταμηνύσῃ τὴν προδοσίαν, ἀφικόμενος αὐτὸς ἀναγορεύει τὴν προδοσίαν. οἱ δὲ ὡς ᾔσθοντο, τήν τε πόλιν ὠχυρώσαντο φυλακαῖς, ὡς οἷόν τ' ἦν μάλιστα αὐτοῖς, καὶ τὸν Μαρσίλιον λοχίσαντες, ᾗ ἔμελλε διεξιέναι, ἐπιόντα τῇ πόλει ἑλεῖν τε, καὶ τοὺς ἐν τῇ πόλει ἄνδρας, ὡς ἑκατόν που τὸν ἀριθμόν, σὺν γυναιξί τε ἅμα ἀνελεῖν, καὶ αὐτὸν Μαρσίλιον διαχρήσασθαι. ταῦτα δὲ ἐς τὸν πόλεμον τοῦτον ξυμβαίνοντα Οὐενετοῖς ἐπέρρωσέ τε μᾶλλον, καὶ ἐς τὰς στρατηγίας Καραμανιόλου τὰ πρῶτα μὲν ἐπὶ πολὺ ἐφέροντο ἄμεινον ἐς τὸν πόλεμον τοῦ Λιγύρων ἡγεμόνος. μετὰ δὲ ταῦτα C προδιδόντος τούτου, ὡς ἐμηνύθη αὐτοῖς, ᾗ λέγεται, ἑάλω τε ἐπ' αὐτοφώρῳ ἐπιβουλεύων τῇ πόλει· καὶ ἀπέθανε. τοσόνδε μέντοι λέγεται ὡς μέλλοντος αὐτοῦ ἐς τὸν χῶρον ἐς ὃν ἔδει τελευτῆσαι ἀποβαλόντα τὴν κεφαλήν, ἐπησφαλισμένῳ τῷ στόματι ἀφικέσθαι, ὡς ἂν μὴ διαμαρτύρασθαι ἔχοι ἐς τοὺς

interea ut etiam Patavini adducerent suos duces, inter quos erat et Marsilius, natus ex familia Carariorum, qui parabat Carminiolae prodere urbem. est autem ea urbs magna et opulenta, in ambitu continens stadia septuaginta. fluvius nomine Brenta eam secat; quo cum undique alluatur, munitissima redditur. hunc igitur Marsilium cum adduxissent, constituerunt diem ad quem proditio perageretur. verum eo die maxima ingruit tempestas, qua inhibitus nequivit ad praestitutum comparere diem. quidam proditionis conscius, anxius admodum ne aliquis praeveniret et proditionem patefaceret, adveniens ipse proditionis consilia aperit. qui ut rem cognovere, urbem firmaverunt custodiis; subornarunt quoque insidias Marsilio, qua volebat exire ad hostes. accedentem igitur ceperunt una cum centum civibus, quos una cum uxoribus necarunt, trucidato etiam Marsilio. haec cum sub idem bellum acciderent Venetis, effectum est ut duci Carminiolae imperium prorogaretur. at postmodum cum Carminiola, et in ipso opere esset deprehensus insidias urbi struens, interfectus est. dicitur autem, cum duceretur ad supplicium, in eum locum ubi capite truncandus erat, velato et ob-

παρόντας αὐτῷ τελευτῶντι. μετὰ μὲν οὖν τὴν τελευτὴν τούτου μετεπέμποντο Φραγκίσκον τὸν Σφορτίαν ἐπίκλην, καὶ στρατηγὸν ἀποδειξάμενοι ἐνεχείρισαν αὐτῷ τὰ πράγματα ἐς τὸν πόλεμον. τούτῳ μὲν συνήνεγκε χρηματισαμένῳ ἀπὸ Οὐενετῶν αὐτῷ ὕστερον οὐ πολλῷ χρόνῳ ἐς τὴν Μεδιολάνου
D ἡγεμονίαν ἐλθεῖν· χρηματίζων δὲ αὐτοῖς ἐς τὰς στρατηγίας καὶ μέγα εὐδοκιμῶν ἄχρι Λοδίης πόλεως τῆς ἐγγυτάτω Μεδιολάνου ἀφίκετο, καταστρεφόμενος τήν τε Πέργαμον καλουμένην χώραν καὶ ἄλλα ἄττα τῆς Λιγυρίας πολίσματα, τὰ ἐπέκεινα τοῦ Ἄδα ποταμοῦ. μετὰ δὲ ταῦτα σπονδῶν γενομένων ἀμφοῖν, τοῖς τε Οὐενετοῖς καὶ τῷ Μεδιολάνου ἡγεμόνι, ἠγάγετο θυγατέρα νόθον τοῦ ἡγεμόνος ἐς γυναῖκα αὐτῷ, καὶ ἐκ μέσου ἀμφοῖν γενόμενος διετέλει ἡσυχίαν ἄγων πρός τε τὸν Νικόλεων πολεμῶν.

Οὗτος μὲν οὖν, ὡς αἱ σπονδαὶ ἐγένοντο καὶ εἰρήνη ἦν, ἀφίκετο ἐπὶ τὴν Παρθενόπην παρὰ τὸν Ταρρακωνησίων βασιλέα, ὡς συστησόμενός τε ἑαυτὸν τῷ βασιλεῖ καὶ ὑπουργήσων αὐτῷ, εἴ του δέοιτο ἐς τὸν πρὸς τοὺς Τυρρηνοὺς πόλε-
P. 158 μον. ὡς μέντοι αὐτῷ οὐδὲν εὕρατο ἐπιτήδειον, ἐπανῄει παρὰ τὸν Μεδιολάνου ἡγεμόνα. καὶ ὃς οὐ πολὺς χρόνος μετὰ ταῦτα ἐτελεύτησεν, ἀνὴρ τὰ ἐς στρατηγίαν κράτιστος γενόμενος, ἄγειν τε στρατὸν καὶ διαμάχεσθαι. διαβήτην δὲ ἔχων

2. Φράγγισκον P

structo ore incessisse, ne posset compellare et obtestari eos qui ad spectandum supplicium convenerant. post huius viri obitum vocaverunt Franciscum Sphortiam cognomine,. quem ducem pronuntiantes ei commiserunt bellum quod gereret cum Liguriae principe. tandem eo res venit, cum impigre adiuvaretur ab Venetis, ut non multo tempore interiecto dux Mediolani eligeretur. cum autem Venetorum esset imperator, plurimumque ob eam rem commendaretur, Lodiam usque, quae Mediolano proxima est, accessit, Pergami regionem et alia quaedam oppidula Liguriae ultra Adam flumen subigens. deinde cum bellum inter Venetos et Ligures esset compositum paceque sopitum, filiam ducis illegitimam uxorem duxit; et cum quasi medius esset inter utrosque, cessavit Nicolaum bello persequi.

Is, cum pax convenisset, venit Parthenopen sive Neapolim ad Tarraconnensium regem, volens eum adiuvare, si opera sua indigeret, in bello quod parabat inferre Tyrrhenis. cum autem nihil isthic invenisset suis rebus accommodum, ad Mediolani ducem reversus est. nec multo post expiravit Nicolaus, cum fuisset belli dux optimus, ducendi exercitus pugnandique peritissimus. cum autem longo tempore renum dolore fuisset excruciatus, tandem mortuus est, relin-

νόσον ἐπὶ πολλὰ ἔτη ἐτελεύτησε, καταλιπὼν ἑαυτοῦ μνείαν
τῆς Ἰταλίας ἁπανταχῇ, τὸ γένος γενόμενος Περούσιος. Φραγ-
κίσκος μὲν οὖν, ὡς οὐ πολλῷ ὕστερον ὁ Μεδιολάνου ἡγεμὼν
ἐτελεύτησε νόσῳ τὸν βίον καταλιπών, κατέστη δὴ ἐς διαφο-
ρὰν αὐτίκα τοῖς Οὐενετοῖς, ὡρμημένος ἐπὶ τὴν τυραννίδα
Μεδιολάνου. οἱ γάρ τοι Οὐενετοί, ὡς ἐτελεύτησεν ὁ Φίλιπ- V. 124
πος, τοῖς τε Μεδιολάνου συνετίθεντο, ἐπὶ ἀριστοκρατίαν πα-
ρακαλοῦντες τὴν πόλιν, καὶ τιμωροῦντες αὐτῇ ἐς τὴν τῆς πο- B
λιτείας κατάστασιν. καί πη καὶ ἐπὶ χρόνον τινὰ διῳκεῖτο ἡ
πόλις, αἱρουμένη ἀρχὰς τὰς τῶν ἀρίστων σφίσιν ἐνόντων τῇ
πόλει. καὶ ἐστενομάχει αὐτὴ ὡς ἐπὶ τὴν ἰσονομίαν τετραμ-
μένη, στρατόν τε ἐπιπέμπουσα. ἡ μὲν οὖν πόλις ἐστὶν ᾗ
ἐχώλευεν ἐπὶ τυραννίδα διώκουσα, καὶ ἐπεκαλοῦντο σφίσιν
ἡγεμόνα τὸν Φραγκίσκον· οἱ δὲ ἄλλοι ἐναντιοῦντο αὐτοῖς.
οὗτος μὲν οὖν στρατὸν συναγείρας ἦγε σπουδῇ ἐπὶ τοὺς Οὐε-
νετούς, ᾗ ἐπυνθάνετο αὐτοὺς στρατοπεδευομένους. ἐπιὼν δὲ
σὺν τῷ στρατῷ ἀγχοῦ τῆς πόλεως ὡσεὶ σταδίους ἑκατὸν ἐπο-
λιόρκει τὴν πόλιν, πραγμάτων τε τὰ πρὸς τὴν τυραννίδα ἐπι-
λαβόμενος τοὺς ἐπιτηδείους αὐτῷ συγκατεργάζεσθαι, καὶ οὐκ C
ἐπιτρέπων τῶν ἐπιτηδείων ὁτιοῦν εἰσιέναι εἰς τὴν πόλιν,
ὥστε πιεζομένους ἐς ὁμολογίαν αὐτῷ καταστῆναι. ἐλάσαι
μὲν οὖν εὐθὺ τῆς πόλεως οὐκ ἐποιεῖτο βουλήν, δεδοικὼς τὸν
δῆμον τῆς πόλεως, μέγιστον δὴ ὄντα τῶν κατὰ τὴν Ἰταλίαν

15. συνεγείρας P σπουδὴν P

quens sui per universam Italiam memoriam honestissimam: fuit enim genere Perusinus. Franciscus non multo post, cum defunctus esset Mediolani dux, cum Venetis inimicitias suscepit, animum in Mediolani tyrannidem intendens. nam Veneti Philippo mortuo adiungebantur Mediolanensibus, hortantes et adiuvantes eos ut aristocratiam reciperent. equidem urbs illa aliquandiu aristocratiam sectabatur, magistratus creans ex optimatibus urbis. verum cum ad aequalitatem respiceret, admodum tenuiter res gerebat, si quando exercitus aliquo misisset. quapropter ad tyrannidem civitas inclinavit. vocant igitur cives ducem Franciscum. quidam reluctabantur. Franciscus igitur conscripto exercitu quam celerrime profectus est contra Venetos, in eum locum in quo castra sua ponere iam antea animis destinarunt. accedens igitur castra ponit stadiis ab urbe centum, eamque obsidet. cum itaque inhiaret tyrannidi, ut eam sibi pararet, viros elegit idoneos. etiam necessariis suis permittebat ingredi in urbem, ut oppidanos obsidione pressos ad pacem et ad foedera incitarent. nolebat tamen quam proxime ad urbem copias ducere, timens urbis populum, qui maximus est omnium Italiae urbium: etiam numero suum exerci-

καὶ πολλαπλάσιον τοῦ ἑαυτοῦ στρατοῦ, πρὸς δὲ καὶ ἄριστον τὰ πολεμικά, τοῦ στρατοῦ ἀξιόχρεων, καὶ τοῦ ἀπὸ Οὐενετῶν στρατοῦ προσδοκίμου αὐτοῖς παρέσεσθαι ἐπὶ τὸν πόλεμον τόνδε. οὗτος μὲν οὖν αὐτοῦ, πράσσων τὰ πρὸς τὴν πόλιν, τὴν μονὴν ἐποιεῖτο. ὡς δὲ ἐπιβοηθοῦντα στρατὸν τὸν ἀπὸ Οὐενετῶν ἐπυνθάνετο παρεῖναι ἤδη ἀγχοῦ, προεξαναστάμενος ὑπήντα ὡς εἶχε τάχους, μακρὰν ἀπὸ τῆς πόλεως ἐς πεντακοσίους D μάλιστά πῃ σταδίους, καὶ ἐστρατοπεδεύετο. ἐνταῦθα ἀντεστρατοπεδεύετο καὶ ὁ Οὐενετῶν στρατηγὸς (Κουδουνίδας δ' ἦν ὄνομα αὐτῷ), καὶ περιταφρευσάμενος ἀνέμενε καὶ τὸ ἀπὸ τοῦ Μεδιολάνου στράτευμα ἐπιβοηθῆσον αὐτῷ, καὶ τότε τὴν συμβολὴν ποιήσασθαι. ἔνθα δὴ ὁ Φραγκίσκος, διὰ τῶν κατασκόπων ὡς ἐπύθετο ἀπὸ τῆς πόλεως ἐξελαύνειν τὸν στρατὸν ἐπιβοηθήσοντα τοῖς Οὐενετοῖς, νυκτὸς πυρὰ πολλὰ ἁψάμενος ἐν τῷ στρατοπέδῳ ὥστε μηδὲν τοιοῦτον ὑπολογίζεσθαι τοὺς πολεμίους, καὶ ἐξοπλισάμενος νυκτὸς ἐλαύνει ὅτι τάχιστα σπουδῇ ἐπὶ τὸν Μεδιολάνου στρατόν. καὶ ἐνταῦθα μάχην ποιησάμενος, καὶ διαφθείρας τὸ πλέον στρατοῦ, καὶ περιγε- P. 159 νόμενος αὐτοῦ ὥστε μηδ' ὁτιοῦν ὑπολειφθῆναι ὅ τι καὶ ἄξιον λόγου, αὐτίκα ἀπελαύνει ὀπίσω ἐπὶ τὸ στρατόπεδον. καὶ ξυμβαλὼν τῷ Οὐενετῶν στρατηγῷ, οὐ πολλῷ ὕστερον μάχην τε ἐμαχέσαντο ἰσχυράν, καὶ ἐς φυγὴν τρεψάμενος εἷλέ τε ἱππέας ἀμφὶ τοὺς ἑξακισχιλίους καὶ νίκην ἀνείλετο περιφανῆ. οὐ πολλῷ δὲ ὕστερον ἐπελαύνων ἐπὶ τὴν πόλιν, ᾗ καὶ τὸ

12. συμβουλὴν P

tum superabat. potuisset exercitum validissimum sternere. expectabatur quoque Venetorum exercitus, qui urbi auxilio veniret. verum Franciscus in iis castris quae ab initio communierat mansit, sedulo agens, ne inde posset depelli. ubi allatum est exercitum Venetorum appropinquare, ut urbi suppetias ferret, prior exoriens occurrit Venetis quam celerrime, et castra locavit stadiis ab Mediolano quinquaginta. ex adverso castrametatus erat Venetorum dux nomine Cudunidas, qui castra admodum diligenter emuniebat, volens expectare ibi exercitum Mediolanensem, ut coniunctis copiis praelium inirent. Franciscus ut ex speculatoribus cognovit Mediolanenses urbe egressos pergere ad Venetos, nocte ignes plurimos in castris faciebat, ut nihil eorum quae instituebat hostis suspicaretur; armansque suos citato agmine contendit obviam Mediolanensibus. quos aggressus praelio graviter afflixit, interfectis plurimis, ut pauci ex Mediolanensium exercitu superessent. victoria igitur illustri potitus in castra reversus est. nec mora, manus conserit cum Venetis, quos praelio atroci commisso in fugam egit, captis sexies mille equitibus, victoriamque

πρότερον διέτριβε, καὶ πράττων διεπράξατο. καὶ εἰσῄει οὐ πολλῷ ὕστερον, εἰρήνην τε ἐποιήσατο, Ναζηραίου τινὸς ἐς τοῦτο παρακινήσαντος. καὶ τὸν παῖδα αὐτοῦ ἔπεμψεν ἐς τοὺς Οὐενετούς, καὶ εὔνοιαν ἐνδεικνύμενος διετέλει.

Ἀλλὰ ταῦτα μὲν ὕστερον οὐ πολλῷ ἐγένετο· τότε δὲ B ὡς Ἕλληνες ἐπ' οἴκου ἐγένοντο, Εὐγένειος ὁ ἀρχιερεὺς οὐδὲν λόγου ἄξιον ἔπεμπε παρὰ τοὺς Ἕλληνας τὸ ἐς ἐπικουρίαν φέρον. αὐτίκα οἱ Ἕλληνες ἐτράποντο, καὶ μετέμελεν αὐτοῖς καταλυσαμένοις πρὸς τὸν ἀρχιερέα. οὐκ ἔπεμπε δὲ δι' αἰτίαν τήνδε. πόλεμός τε γὰρ συνῆπτο αὐτῷ κατὰ τὴν Ἰταλίαν ἐπὶ τοὺς Τυρρηνοὺς ἐπὶ χώρας διαφορᾷ, καὶ στρατόν τε ἔχων καὶ δαπάνην καὶ στρατηγὸν ἐπ' αὐτῷ προσήκοντα ἐς γένος, ἄνδρα ἐλλόγιμον πατριάρχην, πολεμῶν ὁτὲ μὲν τοῖς Τυρρηνοῖς ὁτὲ δὲ καὶ τῷ Οὐρβίνῳ τῷ μετὰ ταῦτα ἡγεμόνι οὐκ ἐπαύετο· V. 125 ἐδόκει τε γὰρ ἡ Τυρρηνῶν μητρόπολις τότε φρονεῖν τὰ τοῦ C Λιγύρων ἡγεμόνος Φιλίππου καὶ συμμαχεῖν ἐκείνῳ κατὰ τὸ ἰσχυρόν. δι' ἃ δὴ καὶ πρὸς τὸν ἀρχιερέα Οὐενετὸν ὄντα, τοῦ οἴκου Κονδουλμαρίων, ὅν τινα δὴ οἶκον ἀξιοῦντος τοῦ ἀρχιερέως τῆς συγκλήτου ἐποιήσαντο ἀπὸ τοῦδε, καὶ ἔξεστι μετασχεῖν αὐτοῖς. καὶ διαπολεμούντων γὰρ ἀλλήλους τῶν τε Οὐενετῶν καὶ τοῦ Μεδιολάνου ἡγεμόνος Φιλίππου, ξύμπασά τε ἡ Ἰταλία διέστη πρὸς ἑκατέρους.

consecutus est insignem. tandem rediit in castra, quae non multum ab urbe locaverat. nec multo post ingressus urbem pacem pangit, quam suadebat quidam Nazaraeus sive monachus. deinde filium suum mittens ad Venetos is deinceps placidum se exhibuit.

At haec haud multo post contigere. cum Graeci domos suas essent reversi, pontifex Eugenius nihil auxilii satis digni, quemadmodum promiserat, Graecis misit. proinde a pontifice avertebantur, eosque poenitebat concordiae quam cum pontifice fecissent. verum pontifex nihil auxilii Graecis tali de causa misit. nam erat ei bellum in Italia contra Tyrrhenos propter regionis dissensionem. habens autem exercitum et sumptus ad id bellum, necnon genere sibi propinquum ducem, qui patriarchae partes agebat, virum prudentem, non cessabat rem gerere nunc quidem cum Tyrrhenis, nunc vero cum Urbini duce. ea enim tempestate Tyrrhenorum metropolis videbatur stare a partibus Philippi Ligurum principis, pro quo fortiter pugnabant. quapropter resistebant etiam pontifici, qui Venetus erat, exortus ex familia Condelmariorum, quam petente pontifice senatoria dignitate honorarunt, videlicet ut ea familia quoque in senatum allegeretur. cum autem bellum inter Venetos Mediolanique ducem Philippum arderet, quaedam Italiae pars huic, quaedam Venetis adhaesit.

Εἰσὶ δὲ τυραννίδες ἀνὰ τὴν Ἰταλίαν αἵδε, ἡ τῆς Φερραρίας, οἴκου τῶν Ἐστενσίων, καὶ οἱ τοῦ Ἀριμίνου, καὶ οἱ τῆς Μάρκης Μαλατεσταῖοι, καὶ Οὐρβίνου τύραννος καὶ Μαντούης καὶ Μεδιολάνου καὶ Ῥώμης καὶ Νεαπόλεως καὶ Ἰαπυ-
D γίας. τούτων οἱ τῆς Φερραρίας ὡς ἔχουσιν ἡγεμόνες, καὶ Μεδιολάνου καὶ Ἰαπυγίας καὶ Μαντούης, ἐλέχθη, ὡς ἱκανῶς γοῦν ἔχειν ἐς μνείαν αὐτῶν τὸν λόγον ποιουμένους. περὶ δὲ τῶν Οὐρβίνου τυράννων τοσάδε ἐπίσταμαι. δοκοῦσι δὲ οἱ Μαλατεσταῖοι γένος τε εἶναι παλαιότατον, καὶ ἐς τὴν Μάρκης ἀρχὴν ἐπὶ πολλὰ ἔτη διαγενέσθαι, ἡγεμονεύοντες τοῦ τε Ἀριμίνου καὶ ἄλλων ταύτῃ πόλεων ἐπιφανῶν· ὅθεν δὴ καὶ ὡρμημένους καὶ ἐς στρατηγίας καταστῆναι τῶν ἀμφὶ τὴν Ἰταλίαν πρυτανευόντων. γενέσθαι δὲ Οὐενετοῖς στρατηγοὺς ἐντεῦθεν καὶ Τυρρηνοῖς, καὶ ἐπὶ τὴν τῆς Μαντούης ἀρχὴν παρεληλυθέναι.

P. 160 Περὶ δὲ τοῦ Ῥώμης ἀρχιερέως ἔρχομαι ἐρῶν, ὡς ἐπειδὰν τελευτήσῃ ὁ ἀρχιερεύς, συλλέγονται οἱ καρδινάλιοι ἐς οἶκόν τινα, καὶ τάς τε ψήφους διαφερόμενοι τίθενταί τε καὶ αἱροῦνται ὃν ἂν οἵ τε τῆς Κολονίου καὶ Οὐρσινίου καρδινάλιοι, καὶ ἐκλέγονται σφίσιν ἐς αἵρεσιν τοὺς ἐπιτηδείους. εἰσὶ δὲ αὗται αἱ οἰκίαι μέγισται δὴ τῶν ἐν Ῥώμῃ καὶ μέγιστον δυνάμεναι, καὶ ἐπὶ τούτους ὁτὲ μὲν τούτους ὁτὲ δὲ ἐκείνους ταλαντεύεσθαι. συμφέρονται δὲ ὡς τὰ πολλὰ καὶ ἐπήλυδας

19 κολώνου T

Hi autem principatus sive tyrannides per Italiam dispersae sunt. tyrannis Ferrariae, quae est de familia Estensium. Arimino Marchiaeque praesunt Malatestae. huc adde tyrannos Urbini, Mantuae, Mediolani, Romae, Neapolis et Iapygiae. ut autem Ferrariae Mediolani et Iapygiae principes se gerant, necnon de Mantua, dictum est satis, quantum facit ad praesentem historiam. de Urbini tyrannis haec scio. tyranni sive principes Urbini ex antiquissimo genere descendere videntur et Malatestae dicuntur. multis annis Marchiae imperarunt regentes Ariminum et alias isthic urbes insignes. hinc progressi duces eorum facti sunt qui in Italia rem iudiciariam tractabant. etiam Veneti hos sibi duces constituerunt. postea Tyrrheni eos quoque sibi duces petierunt, et inde ad Mantuae ducatum emersere.

Nunc revertar unde digressus sum, ut scribam de Romano pontifice. ubi primum pontifex aliquis mortuus fuerit, in domum quandam congregantur cardinales, ac calculos ferentes eligunt de familia Coloniorum et Ursinorum, quos huic muneri idoneos putarint. sunt autem hae familiae longe reliquarum familiarum Romae et maximae

μηδὲ ἑτερωσε ἀποκλίνοντας ποιοῦνται ἀρχιερεῖς. ἐπειδὰν δὲ τὰς ψήφους ἐπιλέγωνται καὶ ἀποδειχθῇ, ἀρχιερέα ἀναγορεύουσί τε αὐτόν, οἴκοι κατέχοντες ἐς ὃ ἂν καὶ τοῖς λοιποῖς συνδόξῃ ἡ αἵρεσις. καθίζουσι δὲ ἐπὶ σκίμποδος ὀπὴν ἔχοντος, ὥστε καὶ τῶν ὄρχεων αὐτοῦ ἐπικρεμαμένων ἅπτεσθαί B τινα τῶν προσαχθέντων, ὥστε καταφανῆ εἶναι ἄνδρα εἶναι τοῦτον. δοκοῦσι γὰρ τὸ παλαιὸν γυναῖκα ἐπὶ τὴν Ῥώμης ἀρχιερατείαν ἀφικέσθαι· οὐ γὰρ ἐπίδηλος ἦν, ὅτι καὶ οἱ ἄρρενες σχεδόν τι τῆς Ἰταλίας καὶ ξυμπάσης τε τῆς πρὸς ἑσπέραν χώρας ἐπιεικῶς ξυρῶνται τὸ γένειον· ἔγκυον δὲ γενομένην, ὡς εἰς τὴν θυσίαν ἀφίκετο, γεννῆσαί τε τὸ παιδίον κατὰ τὴν θυσίαν καὶ ὀφθῆναι ὑπὸ τοῦ λαοῦ. δι' ἃ δὴ ὥστε ἐπιγνῶναι καὶ μὴ πάνυ τι ἐνδοιάζειν, ἅπτονται, καὶ ἁψάμενος ἐπιφωνεῖ "ἄρρην ἡμῖν ἐστὶν ὁ δεσπότης." τὰ μέντοι ὀνόματα μεταβάλλουσιν, οἷα θειότεροι σφῶν αὐτῶν γινόμενοι καὶ ἐς πᾶν μεταβολῆς ἀφικόμενοι. αἱροῦνται δὲ καὶ C ὀνομασίας τὰς ψήφους, ἐντιθέμενοι τὰ τῶν ἀρχιερέων ὀνόματα. σέβονται δὲ μέγα αὐτὸν οἵ τε τῆς Ἰταλίας ἡγεμόνες καὶ οἱ πρὸς τὴν λοιπὴν ἑσπέραν. καρδινάλιοι δέ εἰσιν ἀμφὶ τοὺς πεντήκοντα. οἱ γάρ τοι Ἰταλίας ἡγεμόνες σχεδόν τι ἐς τὰ δύο ἐπιδιελόμενοι τὰς ἀρχάς, ἐπειδὰν παῖδε δύο γένων-

1. ἀποκλίνοντες P   3. οἴκῃ P.   23. τὼ μὲν τὼ P   τῷδε αὖ P

et potentissimae. nunc quidem favor ad hos, nunc ad illos inclinat. plerumque autem cum sententiae haud congruunt, peregrinos neutro propendentes favore pontifices designant. ubi autem suffragia collegerunt et pontifex fuerit declaratus, domi eum continent, explorantes num et reliquis placeat electio. pontificem pronuntiatum insidere iubent sedili foramen habenti, ut testes ex eo propendentes aliquis cui hoc muneris iniunctum est, tangat, qui appareat pontificem virum esse. nam constat mulierem quondam in pontificatum esse subvectam, quia sexus ignorabatur: nam Italiae Occidentales pene omnes barbas radunt. cum autem illa mulier gravida esset facta, et ad festum sive sacrificium prodiisset, peperit infantem inter sacrificium, in conspectu universi populi. quapropter ne decipiantur iterum, sed rem cognoscant neque ambigant, pontificis creati virilia tangunt. et is qui tangit, acclamat "mas nobis dominus est." nomina autem post electionem illico commutant, quasi iam divinioris quam antea sint naturae et planissime mutati. calculi autem, quos ponunt, nomina pontificum inscripta tenent. pontificem plurimum honorant Italiae principes et reliqui Occidentales populi. cardinales sunt numero circiter quinquaginta. nam Italiae principes plerumque dividentes principatus suos in partes duas, si habuerint filios,

ται, τὸ μὲν τῷ παιδὶ εἰς τὴν ἡγεμονίαν ἐκδιδόασι, τὸ δὲ αὖ ἑτέρῳ παιδί, ὥστε μὴ διαφορὰν αὐτοῖς ἐγγίνεσθαι, ἐς ἱερωσύνην καταλείπεσθαι. καὶ τὸ ἀπὸ τοῦδε μεγάλην ἔχειν αὐτοῖς τὴν ἀξίαν τῆς Ῥώμης ἀρχιερέα, τά τε ἄλλα καὶ ἐπιτηδείως ἔχειν αὐτῷ σύμπαντας.

V. 126 Καὶ περὶ μὲν τούτων οὕτως· Ἰωακεὶμ δέ τις ἐλλόγι-
D μος τῶν κατὰ τὴν Ἰταλίαν σοφῶν γενομένων, καὶ ἐπὶ μαντικὴν ἀφικόμενος, τούς τε ἐσομένους ἀρχιερεῖς προεσήμαινε, τρόπῳ ᾧ ἂν ἕκαστος τούτων παριὼν ἐπὶ τὴν ἡγεμονίαν βιώσοιτο . . . . δὲ γίγνεσθαι, ἐπειδὰν ἐς τὰ ἔργα καταστῇ τὰ μαντεύματα αὐτῷ. καὶ λέγεται μὲν περὶ τοῦ ἀνδρὸς τούτου καὶ ἕτερ' ἄττα θαύματος ἄξια. ἰδιώτην γὰρ ὄντα, καὶ οὐδ' ὁτιοῦν ἐπαΐοντα ἢ μικρὸν ἢ μέγα σοφίας, πυλωρὸν δὲ ὄντα κατά τινα μονὴν τῶν ἐν Ἰταλίᾳ ὄντων Ναζηραίων, τυχεῖν ἐλθόντα ἐς κῆπον· τῷ δὲ πορευομένῳ ἐπιφανῆναι ἄνδρα αὐτῷ τὸ εἶδος κάλλιστον, καὶ ἐπιστάντα οἱ εἰπεῖν, κατέχοντα ἐν ταῖς χερσὶν
P. 161 ὑδρεῖον, "ὦ Ἰωακείμ, λάβε, πίε τοῦ οἴνου τούτου· κάλλιστος γάρ ἐστι." τὸν δὲ λαβόντα ἐπιπιεῖν τε τοῦ οἴνου ἱκανῶς καὶ ἐμφορηθῆναι. ὡς δὲ ἱκανῶς ἔχειν αὐτῷ εἴρηται πρὸς τὸν ἄνθρωπον, ἐπειπεῖν αὐτῷ τὸν ἄνδρα "ὦ Ἰωακείμ, εἰ τὸ πᾶν ἔπιες τοῦ οἴνου, τὸ πᾶν ᾔδεις ἀκριβῶς." ἐντεῦθεν τοῖς σοφωτάτοις καταστῆναι [τὰ] ἐς διάλεξιν, καὶ δαιμόνιόν τινα τὴν σοφίαν ἐπιφαίνεσθαι. ἐντεῦθεν δὲ ὡρμημένον ἐπὶ

partem unam filio uni alteram vero filio alteri attribuunt ad sacerdotium, ne discordiae et controversiae inter ipsos super hereditate exoriantur. hinc plurimum honoris consequuntur apud Romanum pontificem: etiam pontificem omnes carum habent plurimumque venerantur.

De pontificibus quidem Ioachim abbas, vir vaticinandi peritus, inter doctos Italiae connumeratus, praedixit multa, quomodo singuli ad pontificatum essent perventuri et in eo victuri. et quemadmodum vaticinatus est, ita accidit. etiam alia miraculo digna de hoc viro commemorantur. nam cum esset idiota nec vel modicum eruditionis haberet, ianitor in quodam Italiae monasterio Nazaraeorum sive monachorum fuit, et quondam in hortum egresso apparuit vir forma pulcherrimus, qui assistens ad Ioachim, manuque amphoram tenens inquit "Ioachim, cape, bibe vinum hoc: est enim optimum." qui dicto audiens bibit ad satietatem usque, amphoramque reddidit, inquiens se satis bibisse. cui vir respondit "o Ioachim, si totum hausisses vinum, nulla te scientia fugisset." deinde in colloquium et disputationem veniens cum viris ea tempestate doctissimis plane divinus, quantum ad scientiam attinet, apparuit. hinc factus abbas

τὴν τῆς ἀρχιερατείας ἡγεμονίαν, προσημᾶναι μεγάλ' ἄττα ἐσόμενα ὁτῳοῦν, ἀποσημειωσάμενος, ὥστε καταφανῆ γίνεσθαι, ἐπειδὰν ἐς ἔργον ἐκβῇ. οἷα μέντοι προεσήμαινεν, ἔξεστιν ἁπανταχῇ περιιόντων τῶν σημείων αὐτοῦ.

Περὶ δὲ τῶν κατὰ τὴν Ἰταλίαν τυράννων, οὐ πάνυ τι μεγάλων ὄντων καὶ ὑπ' αὐτὸν ταττομένων τὸν Μεδιολάνου B ἡγεμόνα, ἢ δὴ καὶ οἱ τῆς Σικελίας καὶ Καλαβρίας καὶ Ἰαπυγίας καὶ τῆς ἄλλης χώρας τῆς κατὰ τήνδε τὴν χώραν ὑπὸ τῷ Παρθενόπης βασιλεῖ τάττονται, οὐδὲν δέον ἐπιμνησθῆναι περὶ αὐτῶν, παρήσω. πολιτεῖαι δὲ ἐς τὴν Ἰταλίαν τελοῦσαι εἰσὶν ἥ τε Οὐενετῶν πόλις καὶ ἡ Βονωνία καὶ αἱ Τυρρηνικαὶ πόλεις (ὅσαι τε εἰσί, καὶ πρότερόν μοι δεδήλωται) ἑπόμεναι τῇ Φλωρεντίᾳ καὶ κατὰ ταὐτὰ διοικούμεναι, καὶ ἡ τῶν Ἰανυΐων πόλις. αὗται μὲν οὖν σχεδὸν αἱ τῆς Ἰταλίας ἡγεμονίαι, ὁτὲ μὲν πρὸς τοὺς Οὐενετοὺς ὁτὲ δὲ καὶ πρὸς τὸν Μεδιολάνου τύραννον τὴν συμμαχίαν ποιούμεναι. ἐπάνειμι δὲ ἐπὶ τὸν πρότερον λόγον.

Ἕλληνες μὲν ὡς ἐπ' οἴκου ἐκομίζοντο, τῷ τε βασιλεῖ Ἀμου- C ράτῃ πρέσβεις πέμποντες ἠξίουν τε αὐτῷ εἰρήνην ποιεῖσθαι καὶ ἐμπεδῶσαι αὐτῷ τὰς σπονδάς. ξυνέβη δὲ οὐ πολλῷ ὕστερον τὸν μέντοι Κωνσταντῖνον τοῦ βασιλέως ἀδελφὸν ἐπὶ Πελοπόννησον ἀφικόμενον παρακαλεῖν τὸν ἀδελφὸν ἐπὶ τὴν τῆς βασιλείας διαδοχήν, καὶ ἀπεσπασμένου ὁρμῆσθαι μὲν αὐτὸν ἐπὶ Βυ-

etiam de pontificatus dignitate magna quaedam vaticinatus est futura; quae omnia tandem eventus confirmavit: nam quaecunque praedixit, evenisse constant, licet ubique miracula eius per Italiam obvia sint.

De Italiae principibus non admodum magnis et pontifici subiectis, simul cum Mediolani duce, necnon de regionis principibus, qui subditi sunt Parthenopes regi, disserere, quoniam non est operae pretium, omittam. politiae autem quae ad Italiam spectant, sunt Venetorum urbs, Bononia, et omnes Tarraconenses urbes, quae Florentiam sequuntur, et eandem cum ipsa rei publicae formam tenent. huc adde et Ianuensium urbem. sed de his supra commemoravimus. hi sunt totius Italiae, quos habet, principatus, interdum Venetis interdum vero Mediolani principi auxilium ferentes. revertor nunc eo, unde digressus sum.

Graeci in patriam suam reversi, mittentes legatos ad regem Amuratem, orabant pacem, volentes cum ipso foedus pangere. nec multo post Constantinus proficiscitur in Peloponnesum, fratremque ad regni successionem hortatur; atque inde navigare instituit Byzantium.

ζάντιον πλέοντα, γενόμενον δὲ ἐν Λήμνῳ, ὡς ἔγημε τοῦ Λέσβου ἡγεμόνος θυγατέρα, ἐπιπλεῦσαί τε αὐτῷ τοῦ βασιλέως στόλον Μεχμέτεω, καὶ πολιορκῆσαι αὐτὸν ἐν Κοτζίνῳ τῆς Λήμνου πόλει σὺν τοῖς ἀμφ' αὐτόν. τὸν δὲ Ἀχμάτον ἀποβάντα ἐς τὴν νῆσον καὶ ἐπιδραμόντα πολιορκεῖν τὸν βασιλέως ἀδελφὸν ἐπὶ ἡμέρας ἑπτὰ καὶ εἴκοσι, καὶ καταβαλόντα τὸ τεῖ-
D χος τηλεβόλοις, οὐκ ἠδυνήθη βιάσασθαι ὥστε εἰσελθεῖν ἐς τὴν πόλιν. μετὰ δέ, ὡς οὐκ ἠδύνατο ἐξελεῖν, ἀπέπλει ἐπ' οἴκου. ὁ μέντοι Κωνσταντῖνος γενόμενος ἐπὶ Βυζάντιον, καὶ γνώμην ἀποδεικνυμένου τοῦ βασιλέως ὥστε ἀφικέσθαι αὐτῷ τὸν ἀδελφόν, αὖθις ἐπὶ Πελοπόννησον ἐλθεῖν τε αὐτόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ Θεόδωρον οἴχεσθαι καταλιπόντα τε τὴν Πελοπόννησον καὶ ἀπιόντα ἐς Βυζάντιον. τούτοις μὲν ἐς τοσοῦτον ἐγένετο· ὁ δὲ νεώτερος τούτων ἀδελφὸς Δημήτριος ἐς διαφορὰν τῷ βασιλεῖ ἀφικόμενος ἀφελομένῳ αὐτοῦ τὰ πλείω |τῆς χώρας, ὡς οὐδὲν αὐτῷ τῶν δεόντων προσεχώρει
P. 162 πρὸς τοῦ ἀδελφοῦ, διαπρεσβευσάμενος πρὸς βασιλέα Ἀμου-
V. 127 ράτην καὶ ξυμπαραλαβὼν παρ' αὐτοῦ στράτευμα ἐπέλασέ τε καὶ ἐπολιόρκει Βυζάντιον. μετ' οὐ πολὺ δὲ τοῦ Ἀσάνεω θυγατρός, ἀνδρὸς μέγα δυναμένου ἐν Βυζαντίῳ καὶ δοκοῦντος συμπράξειν αὐτῷ τὰ πρὸς τὴν βασιλείαν, ὡς οὐδὲν ἠνύετο αὐτῷ, ἀπεχώρει. μετ' οὐ πολὺ δὲ διαπρεσβευσάμενος πρὸς

cum autem appulisset in Lemnum, Lesbi ducis filiam uxorem duxit. eo tempore Mechmetis classis advenit, Constantinumque Gotzini, quae Lemni urbs est, obsedit. Mechmetes autem exponens copias navales in terram, insulam magna populatione ingressus est, regisque fratrem obsidione viginti septem dierum pressit. sternens autem murum bombardis, non potuit suos impellere ut in urbem vellent irrumpere. cum ea urbe potiri non posset, classe abducta domum reversus est. Constantinus cum venisset Byzantium, et rex sententiam suam declararet, iussus est redire in Peloponnesum. ipsum autem et fratrem Theodorum oportebat relicta Peloponneso abire Byzantium. de his quidem hactenus. frater horum iunior, nomine Demetrius, inimicitias suscepit cum fratre imperatore Graecorum, a quo maxima regionis spoliabatur parte. cum multis ultro citroque actis nihil aequi impetrare posset, legatos odio fraterno impulsus ad Amuratem misit; a quo accepto exercitu profectus est Byzantium, urbemque obsidione circumdedit. nec multo post sibi conciliavit Asanem generum suum, cuius auctoritas et potentia Byzantii maxima erat. is Demetrium adiuvare videbatur, si quo modo regnum acquirere posset. tandem cum obsidendo nihil efficeret, exercitum dimisit. deinde haud multo tempore interiecto, cum legationem ire iussisset ad fratrem regem,

τὸν ἀδελφὸν αὐτοῦ βασιλέα ἧκέ τε ἐς Βυζάντιον, καὶ οὐ πολλῷ ὕστερον ἑάλω αὐτός τε καὶ ὁ τῆς γυναικὸς ἀδελφὸς ὑπὸ βασιλέως Ἑλλήνων Ἰωάννου. καὶ ἐν φυλακῇ χωρὶς ἀπ' ἀλλήλων ὄντε τούτω, ὑποτιθεμένου τοῦ Ἀσάνεω ἀπέδρα τε B νυκτὸς ἐς τὴν καταντικρὺ πόλιν τὴν Γαλατίην, καὶ διαπρεσβευσάμενος ἔτυχέ τε εἰρήνης καὶ ἐς τὴν ἀρχὴν αὖθις τὴν ἐπὶ τοῦ Εὐξείνου πόντου ἀφίκετο, καὶ ὁ γυναικαδελφὸς αὐτοῦ ἀπελύθη ὑπὸ βασιλέως.

Ὁ μέντοι βασιλεὺς τάς τε σπονδὰς ἐμπεδώσας πρὸς Ἀμουράτη τὸν Μεχμέτεω, οὐδὲν μέντοι ἧττον ἔπρασσε πρὸς τὸν Εὐγένειον τὸν Ῥώμης ἀρχιερέα διαπρεσβευόμενος καὶ πρὸς τὸν βασιλέα Παιόνων Λαδισλάον, νεωστὶ ἐπὶ τὴν βασιλείαν καταστάντα. ἐνῆγε δὲ αὐτὸν ὅτι μάλιστα Γεώργιος Βοῦλκος, ἐστερημένος τῆς ἀρχῆς καὶ χρήματα μεγάλα ἐς τὴν ἐκστρα- C τείαν ταύτην ξυμβαλλόμενος. δοκεῖ μέντοι καὶ Ἰωάννης ὁ Χωνιάτης, τότε μέγα δυνάμενος καὶ δόξαν ἀποφερόμενος ἐς τὰς κατὰ Τούρκων στρατηγίας αὐτῷ, ἀναγνῶσαι εὖ μάλα βασιλέα Παιόνων ἐπὶ Ἀμουράτη τὸν Μεχμέτεω στρατεύεσθαι. ἐνταῦθα συλλέξας στρατὸν μέγιστον, συμπαραλαβὼν καὶ Δρακούλη τῶν Δακῶν ἡγεμόνα, Γεώργιον δ' αὖ τῶν Τριβαλλῶν ἡγεμόνα τῆς ὁδοῦ γενόμενον. ἐπεὶ δὲ τὸν Ἴστρον διαβάντες ἐς τὴν τοῦ βασιλέως χώραν ἐγένοντο, ἐνταῦθα πᾶν

4. τούτων P   17. ἀναγνῶναι P

Byzantium venit; nec admodum multo post captus est a rege Ioanne, una cum uxoris suae fratre. cum autem separatus ab uxoris fratre in carcere asservaretur, suadente Asane noctu e carcere profugit Galatiam, urbem e regione Byzantii sitam. postea legatis missis pacem assecutus est, et rediit ad Euxini maris principatum. etiam uxoris frater vinculis ab rege exemptus est.

Rex foedere inito cum Amurate Mechmetis filio, haud cessabat consilia agere cum Eugenio Romano pontifice, mittens ad hunc legationem; necnon ad Pannonum regem Vladislaum, qui nuper admodum ad regni gubernacula accesserat. incitabat eum vel in primis ad ista consilia Georgius Bucus, qui regno sive principatu suo deturbatus magnam pecuniae vim in eam expeditionem conferebat. videtur enim Ioannes Choniates sive Huniades ea tempestate plurimum potentia pollens et militari gloria excellens, quia feliciter adversus Turcos praeliari consueverat, instigasse Pannonum regem, ut arma contra Amuratem Mechmetis filium caperet. comparavit itaque quam potuit exercitum maximum; et in belli societatem adhibuit Draculem Dacorum principem, et Triballorum principem Georgium, qui itineris dux erat. postquam autem traiecto Istro in regis regionem ventum

ὅ τι ἂν ἐμποδὼν γένοιτο αὐτοῖς δουλούμενοι ἐπορεύοντο, καὶ τάς τε κώμας καὶ Σοφίαν πόλιν εὐδαίμονα ἐμπιπρῶντες
D ἐδῄουν. Ἀμουράτης μέντοι ὡς ἐπυνθάνετο τοὺς Παίονας ἐπιέναι μεγάλῃ χειρί, σύμπαντας τοὺς τῆς Ἀσίας τε καὶ Εὐρώπης στρατοὺς συναγείρας ἐπῄει τε αὐτὸς ἅμα ὡς συμβολὴν ποιησόμενος. ἐπεί τε δὴ ἐς Βασιλίτζαν καλουμένην χώραν, κατέλαβεν αὐτοὺς τοὺς Παίονας στρατοπεδευομένους. καὶ Ἀμουράτης μὲν καὶ πρότερον στράτευμα ἐπιπέμψας ἐκέλευεν, ὥστε φυλάττειν τὸν Παιόνων στρατόν, ὅποι γένοιτο διασημῆναι αὐτῷ καὶ τό τε στενὸν τοῦ ὄρους τῆς βασιλικῆς δένδροις φραξαμένους διακωλύσειν πειρᾶσθαι. οἱ μὲν οὕτω
163 ἐποίουν, καὶ φραξάμενοι ἐπειρῶντο κωλύειν, καί πῃ καὶ ἐπειρῶντο οἱ Παίονες παριέναι εἴσω ἐπὶ τὴν Θρᾴκην. Ἀμουράτης δὲ ἐς τὸ ὄρος τὸ καθήμενον ἐπὶ τὰ στενὰ τῆς ὁδοῦ ἐστρατοπεδεύετο, ἐνταῦθα συλλέξας τοὺς ἀρίστους αὐτοῦ, καὶ μάλιστα τοὺς δοκοῦντας ἐν στρατηγίαις γενέσθαι περιφήμους. ἦσαν δ' οὗτοι Ἰεσέ τε ὁ τοῦ Βρενέζεω, Τουραχάνης ὁ Θετταλίας ὕπαρχος, Κουμουλίης, Χασίμης ὁ τῆς Εὐρώπης στρατηγὸς καὶ Ἰσαάκης ὁ τῶν Σκοπίων ὕπαρχος. ἀφικομένων δὲ αὐτῶν καὶ παρακαθημένων ἔλεγε τοιάδε. "ἄνδρες Μουσουλμάνοι, ὑμεῖς ὁρᾶτε οἷ ἀνάγκης ἀφίκετο τὰ πράγματα

21. οἷα P

est, quocunque se vertissent, omnia in dicionem acceperunt. vicos incendebant; etiam Sophiae urbi ignem iniicientes, omnia foede diripiebant. Amurates ut accepit Pannones magna manu accedere populabundos, universos Asiae et Europae exercitus contrahens, obviam, ut qui ex acie esset dimicaturus, hosti procedebat. Amurates ut venit in regionem quae Basiliza vocatur, Pannones in ea castra posuisse deprehendit. praemisit quoque suorum manum haud exiguam, quos iussit observare Pannonum exercitum, et explorare ubi se teneat, et deinde explorata ad se referre. iisdem praecepit ut montis angustias, quae in regis regione sunt, praeoccuparent et arboribus caesis obstruerent, quo minus hostes eas superare possent. qui iussa facientes strenue hostem aditu prohibebant. et sane Pannones conabantur irrumpere per Thraciam. verum Amurates castra locaverat in montem qui pertingit usque ad praedictas angustias, et congregavit optimates suos, quorum gloria in re militari erat maxima, Thezeten Brenezis filium, Turachanem Thessaliae praefectum, Cumulien, Chasanem Europae ducem (qui et Bassa Europaeus et Romaniae Bassa) et Scopiorum principem Isaac. hos, cum exciti voce praeconis venissent et consedissent, in hunc modum allocutus est. "viri Musulmani, videtis in quam necessitatem res nostrae devenerint. Pannones enim hi, adhibitis Dacis et Triballis, contra nos bellum movent. nunc tem-

ἡμῶν. Παίονες γὰρ οἵδε ἐκστρατευόμενοι, καὶ τοὺς Δακοὺς B
καὶ Τριβαλλῶν ἡγεμόνα παραλαβόντες, στρατεύονται καθ'
ἡμῶν. νῦν ὥρα ἐστίν, εἴ τι ἀγαθόν τις ἐπινοεῖ, ὅπως κρατῆ- V. 128
σαι τόνδε τὸν πόλεμον τιθεμένοις εὖ γένοιτο ἡμῖν, φράζειν
ἐν τῷ παρόντι. ἐμοὶ γὰρ πολεμητέα τε εἶναι ἡμῖν, καὶ μά-
χην ὅτι τάχιστα ποιεῖσθαι, συμβάλλοντας τοῖς πολεμίοις·
αἱρήσειν γὰρ οἶμαι ἡμᾶς τούσδε ὀλίγους τε ὄντας ἐς τὸν
ἀριθμόν. νῦν δὲ δοκεῖ μοι ὁμόσε ἰόντας τὴν μάχην ποιεῖ-
σθαι καὶ μὴ διαμέλλειν." ταῦτα εἰπόντος τοῦ Ἀμουράτεω
Χασίμης ὁ τῆς Εὐρώπης στρατηγός, ἐποτρύνων ἐς μάχην, C
ἔλεξε τοιάδε. "ὦ βασιλεῦ, οὐκ ἔστιν ὅστις οὐκ ἐπαινέσεται
τόνδε τὸν λόγον, ὡς βασιλεῖ τε προσήκων μεγάλῳ καὶ Ὀτου-
μανίδῃ, ὃς τοῖς πολεμίοις οὐδὲν ἐφιέμενος, ἀνδράσι τε ὀλίγου
ἀξίοις, καὶ τήν τε χώραν ἀνασώζειν πειρᾷ. ἢν δὲ μὴ μα-
χώμεθα, ἡμῖν τε τὰ φρονήματα ἀπόλλυται, ἐγκαθιστάμενα
ὑπὸ δέους τοῦ βασιλέως, καὶ τοῖς πολεμίοις ἐρρωμενέστερα
γίνεται. καὶ δέδοικα μὴ ἐς τοὐναντίον, ἢ δοκεῖ ἡμῖν ὠφέ-
λεια ἔσεσθαι, περιστῇ ἡ ἐς τὴν μάχην ἀναβολή. καὶ ἐμοί τε
οὐκ ἀνάσχετον τὴν ἀρχὴν ἐδόκει τήν τε εἴσοδον φράττεσθαι
ὡς δεδιότων ἡμῶν, καὶ ταύτην ἡμῶν τῷ στρατῷ τὴν ἔννοιαν D
ἐμβαλεῖν. ἀλλ' εὐθὺ ἐχρῆν ἰόντας, εὐθὺς ἀνακινδυνεύειν
συμβάλλοντας, καὶ ταύτῃ πειρωμένους σώζειν τὴν χώραν,

3. κρατήσει P   17. ᾗ P

pus est, si quis quid novit quod belli victoriam largiatur, expromere, nec id nos in praesentiarum celare. mihi enim, ut sententiam meam proferam, pugnandum esse videtur, et omni mora posita, quam celerrime praelium ineundum. nam facile nos victoria potituros arbitror, cum hostes nobis numero sint pauciores. sic igitur agendum censeo, ut continuo arma arripiamus, manusque cum hoste conserere nihil cunctemur." cum rex dicendi in hunc modum finem fecisset, Chasanes Europae dux, quo magis regem ad capessendum praelium accenderet, huiuscemodi orationem habuit. "o rex, non est qui non laudibus vehat orationem tuam, quam modo in medium adduxisti. est enim rege magno et Otomanide digna, qui hostibus vilissimis nihil sit cessurus, verum regionem suam servare summa ope conetur. nisi enim pugnare instituerimus, fortitudo nostra peribit, impedita timore regis: hostibus vero fortitudo crescet, eorumque res usque incrementa sument. ex mora vereor ne nihil utilitatis, verum plurimum periculi capiamus. etiam proxima pugnae mora, quae mihi admodum displicuit, cum decerneretur ut montis angustiae arboribus caesis clauderentur, nonnihil incommodi nobis attulit, dum nos timore perculsos praelio abstinere hostes crederent. talis fama nequaquam per

μηδὲν ὑφίεσθαι τοῖς πολεμίοις, εἰ βούλει αὐτὸς ὦ βασιλεῦ τούσδε τοὺς τὴν σὴν χώραν δῃώσαντας τιμωρεῖσθαι. εἰ δὲ μή, αὐτὸς κάθησο ἐνταῦθα· ἐγὼ δέ τε αὐτὸς τούσδε σοι παραστήσω, ὥστε μήτε αὐτοὺς μήτε τοὺς λοιποὺς τοὺς πρὸς ἑσπέραν ἐθελῆσαί ποτε ἐναντία σοὶ ἐπιέναι." ταῦτα μὲν Χασίμης ὁ Μαζάνεω παῖς ἔλεγε· σιωπώντων δὲ τῶν ἄλλων
P. 164 καὶ οὐ τολμώντων ἐναντίαν γνώμην τοῦ βασιλέως ἀποδείκνυσθαι, Τουραχάνης ὁ Θετταλίας ὕπαρχος ἔλεξε τοιάδε. "χρὴ μέν, ὦ βασιλεῦ, ὅ τι φρονῶν τυγχάνει ἕκαστος, τὰ σὰ μηδέν τι ὑπολογιζόμενος λέγειν, καὶ ὅσῳ δὴ καὶ μείζω τὸν κίνδυνον παρέχεται τὰ ἐνεστῶτα. καὶ ἐπιτήδειος ἢν τυγχάνῃ ὤν, ἀνάγκη, ἐπειδάν τις αὐτῷ κίνδυνος ἐπιστῇ, φράζειν ὅ τι φρονεῖ ἕκαστος. πολλῷ δ' ἂν ἔτι μᾶλλον καὶ δεσπότῃ χρεὼν ἀποδείκνυσθαι, ὅ τι ἂν ἡμῶν ἕκαστος γινώσκῃ ἐς τὰ παρόντα, ὅσῳ τε καὶ κοινὸς ἐφ' ἡμᾶς ἀφικνεῖται ὁ κίνδυνος. ἐγὼ γὰρ ὦ βασιλεῦ διοικημ . . . . . ἂν τὰ πράγματα ἦν. ἢν δὲ τῶν πτε-
B ρύγων μίαν ἀφέλῃς, κακῶς μὲν δυνήσεται χρῆσθαι αὐτῇ ἐς ὅ τι ἂν γένοιτο χρεία, ἢν δὲ καὶ τὴν ἑτέραν ἀφελόμενος καταλίπῃς τὸ σῶμα αὐτῆς μόνον, ἵπτασθαι μέντοι οὐκ ἂν ἔτι ἔχοι, πορεύεσθαι δὲ μόνον καταλείποιτ' ἂν αὐτῇ. πῶς δ' ἂν αὐτῇ δὲ χρήσαιτο ἔτι τοῦ λοιποῦ, ἤν τε ἐπὶ τροφὴν ἐθελήσῃ ἰέναι, ἤντε ἄλλο τι χρῆσθαί οἱ ἐς τὰ παρόντα αὐτῇ; τοῦτο δ'

17. αὐτῇ P 20. καταλίπποιτ' P 21. αὐτὴ P

nostrum exercitum est spargenda; nec volo ut timiditatis ullo modo ab hoste argui possimus: verum censeo confestim praelium esse occipiendum et praeliando regionem defendendam. hostine cedamus quaeso? etiam ipse praelium capesse, si hostium populationes ulcisci velis. sin autem ipse discrimen subire nolueris, tu hic sede: ego eos victos dabo, et sic affligam ut nec Pannones nec Occidentales alii in posterum te bello lacessere ausint." haec dixit Chasanes Mazalis filius. tacentibus autem reliquis, ut qui non auderent contrariam regi sententiam proferre, metu subacti, Turachanes Thessaliae dux in hunc modum locutus est. "oportet quidem, o rex, singulos quid sentiant, nihil tuam sententiam reveritos, dicere; et tanto magis quanto maiora pericula ostentare res videntur. multo igitur magis aequum est, ut nos quae sapimus in praesenti exponamus domino nostro, praesertim cum etiam nos idem periculum attingat. ego sane tua volucri similia esse assevero. si volucri alam unam ademeris, haud poteris ea ad quamcunque aliam rem commode uti, si quando necessitas postulet: sin et alteram abstuleris, corpus solum relinquis, nec amplius volare verum tantum incedere noverit. quid igitur faciet avis, si ad victum quaerendum aut ad aliud quippiam

ἂν λέγοιμι καὶ ἐπὶ σοῦ. τάς τε γὰρ θύρας σῶμά φημι εἶναι, καὶ βεβαιοτάτην ἡμῖν ὑπολείπεσθαι ὑποδοχὴν ἐνταῦθα· τὸ δὲ Ἀσίας στράτευμα πτέρυγί τε εἰκάζω, ὡσαύτως καὶ τὸ Εὐρώπης. μαχομένοις μὲν οὖν οὐδέτερα ὑποστῆναι ἐς τέλος τὸν ἀγῶνα ἐθελήσουσιν, ἀλλ' ἡ μὲν Ἀσία οὐδὲ εἰς χεῖρας ἀφίξεται τούτοις δορυφόροις τε οὖσι καὶ ὡπλισμένοις αὐτοῖς C τε, τὸ δὲ τῆς Εὐρώπης μάχεσθαι μὲν ἐθελήσει, ἀπιόντος δὲ τοῦ Ἀσιανοῦ μόνον ὑπολειπόμενον οὐκέτι ἐπιμενεῖ τέλεον, ἀλλὰ φευξεῖται καὶ αὐτό, ὅποι ἂν δύναιτο σώζεσθαι. ὑπολείπονται δέ σοι αἱ θύραι καὶ οἱ νεήλυδες, καὶ οὐκ ἔχω συμβαλέσθαι V. 129 ὅπως ἂν σώσῃ σαυτῷ ἐπιτηδείως χρῆσθαι ἐς τὰ παρόντα, ἢ ἀμύνεσθαι μόνον, οὐδέν τι διαπραττόμενον. ἀλλὰ δοκεῖ μὲν ἐμοὶ συμβολὴν μὲν μὴ ποιεῖσθαι, ἀλλ' ἀναχωροῦντας ἐς τοὐπίσω ἴεσθαι ἐπὶ ὅ τι ἂν ἡμῖν ἐμποδὼν γίγνηται, καὶ τοῦτο ποιεῖν ἐς ὃ ἂν αὐτοὶ λιμῷ πιεζόμενοι τὰ μάλιστα τὰ ἔμπαλιν γένωνται, καὶ οὕτω χαλεπῶς ἔχουσιν ἐπιτίθεσθαι κατὰ δύναμιν. καὶ ἔσται δὴ τότε χρῆσθαι τούτοις ὅ τι ἂν βουλοίμεθα." ταύτῃ τῇ γνώμῃ, ὡς ἐδόκει τε ἀμείνων τῆς D προτέρας εἶναι, ἐτίθεντο καὶ οἱ λοιποὶ παρόντες τότε ἐς τὴν βουλήν. Ἰεσὲ δὲ ὁ Βρενέζεω ἔλεξε τοιάδε. "ἐμοὶ δοκεῖ ὦ βασιλεῦ μηδὲν ὂν ἡμῖν ἐπιτήδειον. ἤν τε γὰρ περιγένοιο πολεμίων, οὐκ ἐνορῶ ὅ τι ἂν γένοιτό σοι ὄφελος ἀπὸ τούτου.

convertitur? huic similitudini res tuas confero. ianuas corpus esse autumo, et in his refugium et receptaculum relinqui nobis tutissimum. Asiae exercitum alae assimilo, similiter et Europae exercitum. si praelium auspicati fuerimus, neuter exercitus ad praelii finem stabit. Asianus enim exercitus refugiet dimicare cum armatis et hastatis. Europae exercitus praelium quidem non detrectabit: verum si viderit abire Asianum exercitum, nec ipse ad praelii finem manebit, sed sibi fuga consulet. reliqui igitur tibi soli erunt ianuae milites et peregrini. nequeo itaque coniicere quo pacto praesentibus commode utaris, cum praeliando nihil efficere possis. sed enim meum consilium depromam. censeo pugnandum esse: verum ut paulatim retrocedamus, domantes omne quicquid obstiterit. nec volo ut desinamus retrocedere tam diu, donec et ipsi fame pressi persequi desierint et retro, unde venerunt, ire perrexerint. cedentes deinde persequemur, et in angustiis constitutos adoriemur totis viribus. in hunc modum cum hostibus iuxta animi sententiam agere poterimus." huic sententiae, quae praedicta melior et tutior erat, etiam reliqui qui praesto erant calculum addidere. Iesse autem Brenezis filius huiuscemodi orationem exorsus est. "ego quidem, o rex, existimo parum utilitatis nos capturos, imo nihil, etiam si devicerimus hostes. nam nul-

καὶ γάρ τοι Παιαζήτης ὁ λαῖλαψ, σὸς πάππος, ἐτρέψατο μέντοι τοὺς Κελτούς τε καὶ Παίονας· οὐ μέντοι γε ὄφελος αὐτῷ ξυνέβη γε ἀπὸ τούτου, ἀλλ' ἐς τὴν χώραν ἀποχωροῦντες τὴν σφετέραν σφᾶς τε αὐτοὺς ἔσωσαν αὐτίκα ἰόντες καὶ τὴν χώραν διέσωσαν. ἢν δὲ τοὐναντίον συμβῇ, ἀπαίσιον λέγειν οἷα ξυμβήσεται χαλεπὰ ἀπὸ τούτου. ἄμεινον δὲ πάντα
P. 165 αἱρεῖσθαι τὰ ἀσφαλῆ αὐτῶν τινὰ ἕκαστον, ἀφ' ὧν ἀποβήσεται αὐτῷ μηδέν τι διασφαλέντι ἡττηθῆναι μὲν μηδαμῶς, περιγενέσθαι δὲ τῶν ἐναντίων, ἢν μὴ παρὰ γνώμην ἐξίοι αὐτῷ τὰ ἔργα. δύο δὴ αἱρέσεων, τῆς τε ἐπισφαλοῦς οὔσης ἡμῖν, περὶ ἧς δεδιότες βουλευόμεθα, καὶ τῆς ἀσφαλεστέρας πολλῷ ταύτης, αἱρεῖσθαι χρὴ τὴν ἀσφαλῆ μᾶλλον, καὶ ᾗ ὁ νοῦς ἔχοι, ταύτῃ μᾶλλον ἢ ἄλλῃ ποι λογίζεσθαι. ἐμοὶ δὲ ὑποχωρῆσαι μὲν τοῖς ἐναντίοις οὔτε σοὶ ὦ βασιλεῦ πρέπον ἐστίν, οὔτ' ἂν αὐτὸς συμβουλεύσαιμι· φεύγειν γὰρ ἂν δόξαιμεν, καὶ ἐκείνοις μὲν ἐς τὸ βέλτιον παρίσταται, ἡμῖν δὲ ἐς τοὐ-
B ναντίον. οὐδ' ἂν ἐπισχεῖν ἔτι, οἶμαι, δυναίμεθα τούς τε Ἀσιανοὺς καὶ τὸν πεζὸν ὃν ἔχομεν. ἀλλὰ μάχεσθαι μὲν μηκέτι, φραξαμένους δὲ ἔτι βέλτιον ἐπιμένειν, ἄχρις οὗ ἐς ἀνάγκην ἀφίκωνται ἀποχωρεῖν, ἀποχωροῦσι δὲ ἐπιτίθεσθαι αὐτίκα σὺν τοῖς ἱππεῦσιν ἑπομένους, καὶ βλάπτειν ὅ τι ἂν δυ-

6. οἷα] οἷς P   9. τῷ ἐναντίῳ P   19. δὲ om P

lum emolumentum inde affulgere video. etenim Paiazites, Turbo, avus tuus, quondam Gallos Burgundiones et Pannones fudit, verum nihil commodi inde percepit. nam in suam regionem contendentes semetipsos et regionem servarunt. verum si contrarium, absit omen, accidat et vincamur, quibus pericula immineant, omnibus perspectum esse arbitror. satius autem esse reor semper eligere tutiora consilia, ne in terrerem aliquem incidamus et vincamur, verum ut victoriam hostibus extorqueamus, nisi res non ex animi sententia succedet. cum igitur duplex electio sit proposita, una periculosa et altera magis tuta, arripiendam tutiorem quis ambigit? quis sanae mentis compos non tutiora magis sequeretur consilia? proinde retro pergere et cedere hosti nec te decet, rex, nec ego suaserim. fugere enim videremur, animique hostibus crescerent, nobis vero minuerentur; nec amplius Asianos et pedestrem exercitum retinere possemus. sed nec pugnae summam rerum committendam consulo. verum consultius existimo ut angustias diligenter praecludamus, et tam diu sedeamus hic tempus terentes, donec hosti retrocedendi necessitas iniiciatur. deinde cedentibus instandum esse iudico, universum equitatum in eos immittentes, eosque quam maxime possumus affligentes." huic sen-

ναίμεθα." ταύτῃ τῇ γνώμῃ ἔτι τῆς προτέρας ἀμείνονι συντίθεσθαι ἔφασαν καὶ οἱ λοιποὶ τῶν τότε παρόντων.

Ἐνταῦθα ἐδόκει μήτε συμβολὴν ποιεῖσθαι μήτε ἀποχωρεῖν, τρίβειν δὲ τὸν χρόνον αὐτοῦ ἐπιμένοντας, καὶ ἀποχωροῦσι τοῖς πολεμίοις ἐπιτίθεσθαι, τὸ τῆς Εὐρώπης στράτευμα ἐπιπέμποντας. [καὶ τήντε εἴσοδον φυλάττειν, ὡς δεδύνηται τὰ μάλιστα ἀμυνομένους ἐδέδοκτο.] τήν τε εἴσοδον ἐφύ- C λαττον ᾗ ἐδύναντο, ὡς κράτιστα ἀμυνόμενοι. καὶ ἐπειρῶντο μὲν παριέναι οἱ Παίονες καὶ βιάζεσθαι τοὺς Τούρκους, οὐ μέντοι ἐδύναντο· ὡς γὰρ ἐπιπίπτοντες ἐβιάζοντο ἰσχυρῶς, ἐνταῦθα οἱ λοιποὶ τῶν Τούρκων ἐπεβοήθουν, καὶ ὠθισμὸς ἐγένετο ἀμφοτέρων. τέλος δὲ ὠσάμενοι τοὺς Παίονας οἱ τοῦ βασιλέως ἵσταντο ἐμποδών. χρόνου δὲ ἐπιγενομένου, ὡς οὐδὲν ἤνυον οἱ Παίονες καὶ λιμῷ ἐπιέζοντο, ἐνταῦθα ἀπεχώρουν τὰ ἔμπαλιν γενόμενοι. νυκτὸς δὲ συσκευασάμενοι ἐπορεύοντο. ὡς δὲ ἠὼς ὑπέφαινε καὶ τὸ τῶν πολεμίων στρατόπεδον ἑώρων οἱ Τοῦρκοι οἰχόμενον, ὑπὸ τὴν νύκτα ἔμενον. ἐνταῦθα ἐπιλεξάμενος τοῦ στρατοῦ αὐτοῦ ὅσοι ἔμενον καὶ παρεσκευασμένοι ἦσαν, ἐπιτρέπει Χασίμῃ τῷ Εὐρώπης στρα- D τηγῷ διώκειν τοὺς πολεμίους, καὶ τόν γε Τουραχάνη ἐκέλευεν V. 130 ἕπεσθαι ἔχοντα τὸ τῆς Θετταλίας στράτευμα. οὗτος μὲν οὖν λαβὼν τούτους, ὡς εἶχε ποδῶν, ἤλαυνεν ἐπιδιώκων τοὺς πολεμίους· ἐπεὶ δὲ Ἰωάννης προῄδει τοὺς Τούρκους σφίσιν

1. ἔτι] ἐπὶ P

tentiae, quia praecedente tutior et melior erat, etiam reliqui qui aderant consensum praestare haud sunt cunctati.

Decretum igitur est neque pugnare neque cedere: magis placebat tempus cunctando trahere, deinde hostibus abeuntibus inhaerere. Europae itaque exercitum miserunt, ut aditu hostes quam acerrime prohiberet. haec ubi visa sunt, summa vi angustias defenderunt, ne intrare posset. conabantur saepius Pannones irrumpere et Turcos ex custodia deturbare: verum nihil promovebant: nam eo loci ubi perrumpere nitebantur, fortiter resistebant Turci. et utrique pellebantur: verum Turci pulsis Pannonibus quam fortissime obsistebant. cum multum temporis tandem intercessisset, nec quicquam Pannones efficerent, fame coacti necessario retro, qua venerant, pedem ferre compellebantur. nocte igitur collectis impedimentis ex castris proficiscuntur. ut aurora illuxit, hostes abscessisse noctu cognoscentes Turci paulisper substiterunt. rex deinde eligens de suo exercitu omnes quotquot manserant et ad praelium instructi erant, eos Europae duci tradidit, ut persequeretur hostes. Turachanem vero subsequi iussit cum Thessaliae exercitu. ille igitur assumptis iis quos rex dederat, citatissimo cursu hostes in-

ἀποχωροῦσιν ¹ἐπιτεθησομένους, ἐπιλεξάμενος καὶ οὗτος τῶν Παιόνων τινὰς τοὺς ἀρίστους καθίστατο ἐς ἐνέδρας, ὡς ἐπιοῦσι τοῖς Τούρκοις καὶ διώκουσι τὸ ἑαυτῶν στράτευμα ἐπιθησόμενος ἐπ' ἀμφοτέρους. ἐνταῦθα ἐλαύνοντος τοῦ Χασίμεω διὰ τοῦ πεδίου κατὰ πόδας καὶ διώκοντος τοὺς Παίονας, προσελάσας P. 166 δὲ καὶ ὁ ἀδελφὸς Τουραχάνης ἔλεγε τῷ ἀδελφῷ τοιαῦτα. "Χασίμη, σὺ μὲν ἐλαύνεις διὰ τοῦ πεδίου στρατὸν ἔχων τοσοῦτον. ἴσθι μὲν οὖν οὐκ ἀσφαλῆ ταύτην πορευόμενος τὴν πορείαν· οἱ γὰρ Παίονες οὔτε ἀνέξονται διωκόντων ἡμῶν αὐτούς, οὔτε ἡσυχίαν ἄγοντες ἐς τοὐπίσω φεύξονται ἄσμενοι, οἵ τινες μάχεσθαι μὲν ἐς τὸ ἐμφανὲς τοσοῦτον χρόνον προυκαλοῦντο ἡμᾶς, καὶ ἄσμενοι, ᾗ ἐμοὶ δοκεῖ, ἐμάχοντο, καὶ πολλοῦ, ὡς οἴομαι, πρίαιντο ὥστε αὐτοῖς ἐς τὸ πεδίον καταβάντας ὁμόσε ἰέναι. ἀλλὰ ταύτην τὴν ὑπώρειαν πορευόμενοι ἐκείνους τε ἐπιδιώξομεν, ὅσον ἱκανῶς ἔχει, καὶ ἡμῖν ἔσται ἐκείνων ταμιεύεσθαι ὅσοις ἂν ἐπιτηδείως ἔχωμεν." ταῦτα B λέγων ὡς οὐκ ἔπειθε τὸν Χασίμην, ἔχων αὐτὸς Θετταλίας στράτευμα ἐτράπετο διὰ τῆς ὑπωρείας συντεταγμένῳ τῷ στρατεύματι. πορευομένῳ δὲ διὰ τοῦ πεδίου τῷ Χασίμῃ σὺν τῷ Εὐρώπης στρατῷ, ὡς ἐν καιρῷ ἐγένετο τῷ Χωνιάτῃ ἐνεδρεύσαντι τὸ στράτευμα, οἵ τε ἀμφὶ βασιλέα φεύγοντες ἐπιφανέντος ἐκ τῆς ἐνέδρας τοῦ Ἰωάννου ἐπελαύνουσι τοῖς

1. ἐπιθησομένους?

sequitur. Ioannes autem Huniades cum praenovisset Turcos cedentibus inhaesuros, delegit et ipse Pannonum robustissimos, quos in insidias locavit, quasi repugnaturus fortissime venientibus Turcis. Europae dux cum per patentes campos iter acceleraret, insequens hostes, Turachanes eius frater occurrens fratrem sic compellat. "tune per patentes campos proficisceris, ducens tantum exercitum? scito tuam profectionem haud satis tutam esse. nam Pannones non ferent suos a nostris persecutionem pati. nec sane a praelio abstinebunt, fuga sibi consulentes, cum tanto tempore nos provocaverint ut cum ipsis praelium iniremus. et quidem, ut apparet, pugnae sunt cupidissimi; etiamdudum, ut opinor, frendebant, quod nolebamus in planitiem descendere et decernere ferro. suadeo igitur ut per radices montis huius hostes, quantum satis est, persequamur: et sic, quae opportuna visa fuerint, iis dare poterimus." haec dicens Chasani non persuasit. ipse autem cum Thessaliae exercitu avertebatur, instructoque agmine per montis radicem profectionem faciebat. Chasanes cum exercitu Europae per campum festinabat, et Pannones qui fugam simulabant persequebatur. cum autem tractus esset ad locum insidiarum, et Choniates tempus esse ratus incurrendi in hostem ex insidiis

βαρβάροις, καὶ τρεψάμενος ἐς φυγὴν ὁ Χωνιάτης τούτους τοὺς μὲν ἔφθειρε τοὺς δὲ καὶ ἐζώγρησεν. ἐνταῦθα πολλοί τε ἔπεσον τοῦ βασιλέως, καὶ ὁ τοῦ Χαλίλεω ἀδελφός, Πραΐμεω παῖς, ἑάλω ὑπὸ Παιόνων, καὶ ἄλλοι τῶν Τούρκων ἡλίσκοντο φεύγοντες, αὐτός τε ὁ Χασίμης ἔφευγεν ἐπὶ τὸ βασιλέως στρατόπεδον, ὀλίγους ἔχων ἀμφ' αὐτὸν τοῦ στρατοῦ. C ἀφικόμενος δὲ ἐς ὄψιν τῷ βασιλεῖ ἔλεξε τοιάδε. "ὦ βασιλεῦ, οἷα πεπόνθαμεν ὑπὸ ἀνδρὸς ὃν ἡμεῖς ἴσμεν φαυλοτάτου καὶ τὰ σὰ πράγματα καταπροδιδόντος τοῖς πολεμίοις· οὕτω γὰρ ἐποίησεν ᾗ ἐπηγγείλατο, οὕτω κατὰ ταὐτὸ ἰέναι ἠθέλησε. Γεωργίῳ δὲ τῷ Βούλκῳ, ἐπιτηδείῳ τε ὄντι αὐτῷ, ὑποσημήνας ἕκαστον ᾗ ἐμέλλομεν ἐπιέναι, ἐφθείροντο τὰ σὰ πράγματα, καὶ τὸ ἐκείνου μέρος οἰχόμεθα." ἐνταῦθα Χαλίλης ὁ Πραΐμεω, ἀχθεσθεὶς διὰ τὸν ἀδελφὸν αὐτοῦ, ἐξέμηνε καὶ αὐτὸς βασιλέα κατὰ τοῦ Τουραχάνεω. βασιλεὺς δὲ δεινοποιησάμενος μὴ ἰέναι κατὰ ταὐτὸ τῷ Εὐρώπης στρατηγῷ, D ἀλλαχόσε γενόμενον ἄλλην πορεύεσθαι, καταπροδιδόντα τὸ ἑαυτοῦ στράτευμα, προσέλαβέ τε Τουραχάνη, καὶ ἐς φυλακὴν ποιησάμενος ἔπεμπεν ἐς τὴν Ἀσίαν ἐς Τοχάτην πόλιν ἰσχυράν, δέσμιόν τε γενόμενον καὶ ἐς φυλακὴν ἀπαγόμενον. καὶ Χαλίλης γάρ τοι ὑπετίθετο βασιλεῖ, ἀναμιμνήσκων ὡς ἐκεῖνος ἐν μεγάλῃ Βιδινίδι διατρίβων, καὶ ὕπαρχος ὢν τῆς

8. ὃν P 11. ὑποσημῆναι P. 18. συνέλαβε?

Turcos invadit cum suis: barbaros multos necarunt et multos vivos ceperunt. plurimi Turci in hoc praelio desiderati sunt, Chatitis frater Carambes, Priami filius, a Pannonibus captus est. reliqui Turci in fuga capiebantur. Chasanes confugit in regis castra, paucos de suo exercitu secum habens. veniens autem in conspectum regis talia dixisse fertur. "o rex, qualia perpessi sumus a viro quem novimus esse sceleratissimum, qui tuos hosti prodidit planissime: nam vere proditor est. hosti nostra consilia enuntiavit, et acie instructus ire mecum noluit. Georgio autem Buco amico suo singula indicavit, quomodo essemus ipsos oppressuri. in hunc sane modum res tuae periere, et pauci incolumes fuga evasimus." ibi tum Chatites filius Priami, infestus viro propter fratrem, regem exasperavit contra Turachanem. rex cum grave esse iudicaret, Turachanem non esse profectum cum Europae duce, verum aversum aliud iter ingressum, prodentem Europae exercitum, eum cepit, et vinctum in Asiam, ut asservaretur in vinculis in urbe Tochata, misit. Chatites non cessabat iram regis augere, in memoriam redigens Turachanem, cum ageret in magna Bidina, princeps regionis finitimae Istro, usum esse Buco, Triballorum duce, et amico et familiari. hac amicitia motum aiebat

παρ' Ἴστρον χώρας, Βούλκῳ τῷ Τριβαλλῶν ἡγεμόνι ἐπιτη-
δείῳ τε ἐχρῆτο καὶ συνήθει, καὶ διὰ τοῦτο ὑποσημαίνοιεν
αὐτοῖν ᾗ δέοι ἀλλήλους ὠφελεῖν ἐς τὰ παρόντα, καὶ δῶρα
δεχόμενον παρὰ τοῦ Βούλκου συμβαλέσθαι αὐτῷ ἐς ὅ τι ἂν
P.167 ἡγήσαιτο συνοίσειν ἐκείνῳ. καὶ ἐντεῦθεν ἀναπεισθεὶς βασι-
λεὺς κατεῖρξέ τε αὐτὸν Τουραχάνη, ἐς τὴν Ἀσίαν ἐπιπέμ-
ψας, καὶ τὴν ἀρχὴν τῆς Θετταλίας ἑτέρῳ ἀνδρὶ ἐπέτρεπε
διοικεῖν.

Καὶ Τουραχάνης μὲν οὕτω ἐς τὴν εἱρκτὴν ἐγένετο·
V.131 Γεώργιος δὲ ὁ Τριβαλλῶν ἡγεμών, ὡς οὐδὲν ἠνύετο αὐτῷ
ὑπὸ τῶν Παιόνων ἐς τὴν ἀρχὴν αὐτοῦ, πέμπων ἄγγελον ἐπὶ
τὰς θύρας ἐπειρᾶτο τῆς τοῦ βασιλέως γνώμης, εἰ ἀποδοίη
αὐτῷ τὴν ἀρχήν, ὥστε ἐπάγειν αὐτῷ φόρον καὶ ἡμίσειαν τῆς
χώρας αὐτοῦ πρόσοδον, καὶ αὐτός τε ἔφασκε σπένδεσθαι ἐπὶ
τούτοις, καὶ τοὺς Παίονας ἅμα αὐτῷ πείσειν ὑπεδέχετο τὰς
B σπονδὰς ποιεῖσθαι. ἐνταῦθα ὡς ἤκουσε τοῦ ἀγγέλου τοιαῦτα
προϊσχομένου, τά τε ἄλλα ὑπέσχετο αὐτῷ καὶ τὼ παῖδε αὐτῷ
ἀποδοῦναι, καὶ ἔσεσθαι βασιλέως ἐπιτηδείους τὸ ἀπὸ τοῦδε.
ἐνταῦθα ὁ Βοῦλκος μετιὼν τῶν Παιόνων ἕκαστον καὶ τόν γε
βασιλέα Λαδίσλαον ἔπειθε σπένδεσθαι Ἀμουράτῃ, λέγων
τοιάδε. "ὦ βασιλεῦ, σὲ βασιλεὺς Ἀμουράτης παρακαλεῖ ἐπὶ
τὰς σπονδάς, οὐ μὴν τὴν χώραν ἀποδιδόναι. ἣν οὖν ἐμοὶ

2. ὑποσημαίνοι P 3. δέει P 15. τὰς] ἐς τὰς P 17. ὑπερέσχετο P

Turachanem voluisse illum, quacunque in re posset, iuvare: nam acceptis a Buco muneribus promisisse ei operam suam locaturum indefessam, quacunque in re voluisset. his fidem dans dictis rex Turachani vincula iniecit, et in Asiam vinctum deduci iussit, ut ibi in carcerem coniiceretur. Thessaliam alii administrandam commisit.

Hoc modo carcere conditus est Turachanes. Georgius Triballorum dux, cum parum auxilii sentiret ab Pannonibus in recuperando principatu, legatum misit in ianuas regis, ut eius animum exploraret, num sibi restituere vellet principatum. quod si faceret, promittebat se ipsi tributarium fore; et dimidium tributi, quod regio penderet, ipsi quotannis numeraturum. his condicionibus se foedus accipere velle memorabat. quin et Pannonibus se persuasurum pollicebatur ut cum ipso foedus, si modo vellet, ferirent. haec cum legatus audiente rege recensuisset, promisit se ei et filio redditurum principatum: verum ut deinceps in fide maneant, amicitiamque suam bona fide colant. ibi tum Bulcus Pannonum animos sibi concilians, etiam regem Vladislaum eo adduxit ut foedus cum Amurate faceret. at Vladislaum in hunc modum allocutus est. "o rex, rex Amurates te ad foedus hortatur; nec hoc solum, verum regionem

πείθῃ, σπονδὰς ἐν τῷ τοιῷδε ποιούμενος ἄμεινον παρασκευάσῃ ἐς τὸν πόλεμον. καὶ ἐπιὼν τάδε πάντα οὐκέτι τὸ δεύτερον ὑπέμενε.” ταῦτα λέγων τε ἔπειθε, καὶ ὡς ὑπέσχετο ποιή- C σειν ᾗ ὑπετίθετο αὐτῷ ὁ Τριβαλλός, αὐτίκα ἔπεμπεν ἄγγελον παρὰ τὰς θύρας, μεταπεμπόμενος πρέσβεις, ὡς τῶν Παιόνων ποιησομένων τὴν εἰρήνην καὶ αὐτὸς ἀποληψόμενος τὴν ἀρχήν. ἐνταῦθα Ἀμουράτης ἔπεμψε πρέσβεις, καὶ τὰς σπονδὰς ἐποιοῦντο ἐφ’ ᾧ τόν τε Γεώργιον ἔχειν τὴν χώραν αὐτοῦ καὶ τὴν ἡμίσειαν πρόσοδον ἀποδιδόναι τῷ βασιλεῖ. καὶ ὅρκιά τε ἅμα ἐποιοῦντο ἐφ’ ᾧ μήτε τοὺς Παίονας ληΐζεσθαι τὴν βασιλέως χώραν, μήτε αὖ Τούρκους διαβῆναι τὸν Ἴστρον ἐπὶ μηδεμιᾷ βλάβῃ, μηδεμιᾷ μηχανῇ, ἐφ’ ᾧ τε παρὰ πάντα D τὸν βίον αὐτῶν ξένους τε καὶ φίλους εἶναι, ἄνευ τε δόλου καὶ ἀπάτης· τοὺς δὲ Δακοὺς ὑποφόρους τε εἶναι τῷ βασιλεῖ, ἃ καὶ συνέθεντο ἐν ταῖς βασιλέως σπονδαῖς πρὸς αὐτοὺς πρότερον γενομέναις, καὶ ἐς τοὺς Παίονας τελεῖν, ᾗ τὸ πρόσθεν ἔχοντες διετέλουν.

Ταῦτα ὡς ἐγένετο, αὐτίκα Ἀμουράτης ἐστρατεύετο ἐπὶ Καραμᾶνον. οὗτος γὰρ ὡς ἐπύθετο ἐπιέναι τοὺς Παίονας ἐπὶ βασιλέα Ἀμουράτη, καταβάντας τὸν Ἴστρον ἐπὶ τὴν χώραν τοῦ βασιλέως ἐλαύνειν, ἐν καιρῷ αὐτῷ ἔσεσθαι οἰόμενος

20. καὶ διαβάντας?

restituere pollicetur. si igitur me audias, foedus panges. nam hoc pacto res tuae ad bellum melius erunt instructae; et si deinde secundo accesseris hostiliter, facile vinces.” haec ubi esset elocutus, statim in sententiam suam perduxit regem. qui deinde ex sententia Bulci, aut quemadmodum Bulco promiserat, nuntium misit in ianuas regis, advocans regios legatos, quasi his praesentibus foedus percussurus et regionem recepturus. Amurates igitur legatos ire iubet, quorum auctoritate foedera fiebant, quibus cavebatur ut Georgius regionem suam teneret, et eius regionis tributi partem dimidiam regi quotannis solveret. Iusiurandum quoque exigebatur, ne Pannones deinceps popularentur regis regionem, neve Turci transirent ad Istrum ad vastandam Pannonum regionem: verum fides iureiurando utrinque accepta est, ut ex eo tempore sint inter se hospites et amici; quod tamen absque dolo fraudeque utrorumque fiat. Dacis imperatur ut sint regis tributarii, quemadmodum regio foedere, quod iam ante intercesserat, continebatur. praeterea ut pertinerent, quemadmodum hactenus, ad Pannones.

His ita compositis Amurates continuo expeditionem contra Caramanum sumpsit. nam hic, ubi primum cognoverat Pannones bellum inferre Amurati traiectoque Istro regis regionem evastare, haud incommodum sibi fore suisque rebus ratus, si regis in Asia regionem

ἣν ἐπιὼν καταστρέφοιτο τὴν κατὰ τὴν Ἀσίαν βασιλέως χώ- P. 168 ραν, ἐξήλαυνέ τε, καὶ ἐπῄει καταδουλούμενος ὅ τι ἂν αὐτῷ προχωροίη. πρόσθεν γὰρ ὅτε οἱ Παίονες ἔμελλον στρατεύεσθαι ἐπὶ Ἀμουράτη, γνώμῃ τε παραπλησίᾳ ὥρμηντο ἐπ' αὐτόν, ὥστε ἀπ' ἀμφοῖν ταῖν χώραιν ἐπιόντων στρατῶν διασχίζοιτο αὐτῷ τὰ στρατεύματα καὶ οὕτω ἀσθενῆ ξυμβαίνοι γίνεσθαι. Ἀμουράτης μὲν οὖν ἐπὶ τὸν μείζονα πόλεμον ἀφικόμενος, καὶ τοῦτον αὐτῷ ἐπὶ τὸ βέλτιον θέμενος, ἐστρατεύετο αὐτίκα ἐπὶ Καραμᾶνον. ὁ δὲ πρέσβεις τε πέμπων ἠξίου τά τε ἄλλα αὐτῷ ὑπουργεῖν, ὧν ἂν δέοιτο αὐτοῦ, καὶ ὁμήρους καὶ πιστὰ παρέχεσθαι ἐπὶ τούτοις.

B Ταῦτα μέντοι αὐτῷ κατὰ τὴν Ἀσίαν ξυνεβεβήκει, κατὰ δὲ τὴν Εὐρώπην ὑπὸ μέντοι τῶν Πελοποννησίων ἡγεμόνων ἐς τὴν χώραν αὐτοῦ τοιάδε ἐγένετο. ὡς γὰρ Θεόδωρος ὁ μετ' αὐτὸν βασιλέα Ἑλλήνων γενόμενος, ὡς οἰχόμενος παρῆν V. 132 ἐς Βυζάντιον ἐπὶ τὴν βασιλείαν, Κωνσταντῖνος ὁ ἐπίκλην Δράγασις, ἀφικόμενος ἐς Πελοπόννησον καὶ παραλαβὼν τὴν τοῦ ἀδελφοῦ χώραν, τά τε ἄλλα καὶ Σπάρτην τὴν πρὸς τὸ Ταΰγετον ὄρος, καὶ σχεδὸν ξύμπασαν τὴν ἄλλην Πελοπόννησον (πλὴν γὰρ τῆς τοῦ Θωμᾶ τοῦ βασιλέως ἀδελφοῦ χώρας, τὴν ἄλλην ὑφ' αὐτῷ εἶχε παραλαβών), ἐνταῦθα ὡς ἀφίκετο, C τό τε ἐν τῷ Ἰσθμῷ τειχίζειν παρεσκευάζετο, καὶ τὴν ἐκτὸς

1. Ἀσίας P 4. ὥρμητο?

subigeret, cum impetu in eam irruebat, omnia subiiciens et in servitutem redigens, quocunque se vertisset. Caramanus namque cum audisset Pannones petere bello Amuratem, et ipse hostili animo contra ipsum profectus est. itaque cum ab utraque regione hostis accederet, Amuratis exercitus distrahebatur et infirmior reddebatur. cum igitur maximum impenderet Amurati bellum, sibi utile fore ratus, foedus cum Pannonibus pepigit, omnemque belli tempestatem in Caramanum avertit. Caramanus ne vim regis experiretur, misit legatos petitum pacem; quibus mandarat ut dicerent se paratum esse servire Amurati, quandocunque sua opera indiguisset. sin promissis parum fidei haberet, se obsidibus et caeteris, ne quid dubitaret, cauturum.

Haec quidem Amurati in Asia acciderunt. in Europa vero a Peloponnesiacis principibus quid in regione eius gestum sit, nunc dicetur. ut enim Theodorus qui postea rex electus est, venit Byzantium in regnum suum, Constantinus cognomento Dragosis in Peloponnesum adveniens et assumens fratris regionem, inter caetera et Spartam, quae vergit ad montem Taygetum, et propemodum univer-

Πελοποννήσου χώραν ἀφίστη ἀπὸ βασιλέως, [τήν τε Βοιωτίαν κατέσχε,] καὶ τὴν Θηβῶν πόλιν ὑφ' αὑτῷ ποιησάμενος καὶ ξύμπασαν τὴν Βοιωτίαν κατέσχε. καὶ ὁ τῆς Ἀττικῆς τύραννος φόρον τε ἀπάγειν αὐτῷ ὑπισχνούμενος σπονδὰς ἐποιήσατο. καὶ τό τε Πίνδον ὄρος — Βλάχοι δ' ἐνοικοῦσιν αὐτό, τῶν Δακῶν ὁμόγλωττοι· τοῖς παρὰ τὸν Ἴστρον Δαξὶν ὁμοίωντο. ἀφικόμενοι παρὰ τοῦτον τὸν ἡγεμόνα, παραδιδόντες σφίσιν, ἐπολέμουν τοῖς τὴν Θετταλίαν οἰκοῦσι Τούρκοις, λαμβάνοντες ἄρχοντα παρὰ τοῦ Πελοποννησίων ἡγεμόνος. D Λεωδορίκιόν τε τὸ κατὰ τὴν Λοκρῶν χώραν ᾠκημένον πολίχνιον, Πίνδου μέντοι τὸ κατὰ τὴν Φανδρίου πόλιν ᾠκημένον, ἄρχοντα λαμβάνει ἀπὸ βασιλέως. τὸ δὲ αὖ κατὰ τὴν Ἀχαΐαν καθῆκον Ἀραβαῖοι ᾤκουν ἄνδρες Ἀλβανοί, ὑπὸ βασιλέως συγχωρηθέντες ἄρχειν τῆς πατρῴας αὐτῶν χώρας· καὶ οὗτοι ἀφίκοντο ἐς τοὺς Ἕλληνας. συναγαγὼν δὲ καὶ ξύμπασαν τὴν Πελοπόννησον ἐς τὸν Ἰσθμὸν ἐτείχισεν αὐτόν, ὡς ἠδύνατο τάχιστα, συγκαλέσας αὐτοῦ καὶ τὸν ἀδελφόν, καὶ ἧς αὐτὸς ἦρχε χώρας, ξύμπαντας ἐνταῦθα μεταπεμψάμενος ἐληλάκει P. 169 τὸ τεῖχος, παραδοὺς ἑνὶ ἑκάστῳ ὅσον ἐν τοσῷδε χρόνῳ παρέχοιτο ᾠκοδομημένον. ὡς δὲ τὸ τεῖχος τοῦ Ἰσθμοῦ αὐτῷ

6. αὐτοὶ P   8. σφᾶς ?   17. ἧς] ὡς P.

sam Peloponnesum, praeter Thomae, qui frater erat regis, regionem obtinuit. etiam Isthmum muro includere parabat; nec cessabat regis regionem, quae extra Peloponnesum est, ad defectionem solicitare. Boeotiam et Thebanorum urbem universamque Boeotiam in dicionem redegit. Atticae tyrannus sive princeps nolebat cum eo pugnare, verum tributum se quotannis ipsi pensurum promittebat. hinc foedere icto in amicitiam receptus est. Pindum quoque (quem hodie Mezzono appellant) occupavit. hunc montem Blaci incolunt, quibus eadem cum Dacis est lingua; nec quicquam ab Dacis, qui Istrum accolunt, differre cognoscuntur. advenientes igitur ad istum ducem se ipsi ei dediderunt, et deinceps bellum gerebant cum Turcis in Thessalia habitantibus, accipientes ducem ab Peloponnesiaco principe. Leodoricium oppidulnm in Locrensium regione situm et Pindo adhaerens, versus Phandrium urbem, principem a rege accipit. hunc montem, qua se in Achaiam porrigit, inhabitant Arabaei viri Albani, quibus permissum est ab rege patriam suam regere regionem. hi quoque ad Graecos deficiebant. contrahens igitur universam Peloponnesum in Isthmum, muro eum cingere instituit. opus autem istud maturavit accersito fratre, qui et ipse regionem sub se habebat. universos igitur huc congregans murum divisit, et singulis tantam, quantam brevi extruere possent, partem assignavit. murus Isthmi cum

παρεσκεύαστο, στρατόν τε ἔπεμπεν ἐπὶ τὴν βασιλέως χώραν, καὶ ἐδῄου τε τὴν χώραν καὶ πολεμῶν διεγένετο.

Μετὰ δὲ ταῦτα οὐ πολὺν χρόνον Ὀμάρης ὁ Τουραχάνεω παῖς, παραλαβὼν τὸ Θετταλίας στράτευμα, ἐπήλασέ τε ἐπὶ τὰς Θήβας καὶ τὴν Ἀττικήν, καὶ ληισάμενος ἀπέλαυνε, λείαν ἀπάγων ἱκανήν. ἔνθα δὴ Νέριος ὁ Ἀθηνῶν τύραννος, ὡς ἑώρα τὰ Τούρκων πράγματα αὖθις ἐπανιόντα ἐς τὸ B πρότερον καθεστηκός, ἐπρεσβεύετο ἐς τὰς θύρας καὶ ἠξίου αὐτῷ σπένδεσθαι βασιλεῖ, ἐφ' ᾧ ἀπάγειν φόρον ὃν ἂν αὐτῷ τάξαιτο. βασιλεὺς μὲν οὖν Ἀμουράτης ἐπείθετό τε καὶ ἔσπενδεν αὐτῷ, ἐφ' ᾧ καὶ πρότερον ἀπέφερε φόρον ἀπάγειν καὶ τοῦ λοιποῦ. ὁ δὲ Νέριος οὗτος ἀφίκετο, ἀπὸ Φλωρεντίας τῆς Τυρρηνῶν μητροπόλεως ὤν, ἐπὶ τὴν Ἀθηνῶν τυραννίδα τρόπῳ τοιῷδε. Ἀντώνιος ὁ Ῥαινερίου παῖς τοῦτόν τε ἅμα καὶ τὸν ἀδελφὸν αὐτοῦ μεταπεμψάμενος ἀπὸ Φλωρεντίας προσήκοντάς τε αὐτῷ καὶ ξυγγενεῖς εἶχε παρ' ἑαυτῷ, τὴν δίαιταν παρεχόμενος. ἐπεὶ δὲ ἐτελεύτησεν Ἀντώνιος, ὑπὸ εὐεξίας ἀποπνιγεὶς κατὰ τὸν ὕπνον, ἥ τε γυνὴ αὐτοῦ ἔπεμπεν ἐς βασιλέα τὴν ἀρχὴν ἐπιτραπῆναι αὐτῇ τε καὶ τῷ τῆς πόλεως C ἀμείνονι, ἑαυτῆς δὲ προσήκοντι, πατρὶ δὲ ἡμετέρῳ. τοῦτον ὡς ἔπεμπε πειρασόμενον παρὰ βασιλεῖ, καὶ χρήματα διδοῦσα

5. ἐπέλαυνε P 11. ᾧ] ᾧ ἂν? 18. ἀποπνηγεὶς P, ἀποπληγεὶς T: οἶμαι ἀποπληξίας ἀποπληγεὶς margo R.

iam esset absolutus, exercitum misit, qui regis regionem popularetur, et ex professo cum rege bellum gerebat.

Nec multo post Amures Turachanis filius, assumpto Thessaliae exercitu, impetum in Thebas et Atticam dedit. quibus vastatis reversus est magna praeda onustus. Nerius Atheniensium princeps, ut vidit Turcorum res denuo exoriri et pristinam felicitatis formam recipere, legatos misit in ianuas, petitum pacem, ut qui velit cum eo foedus inire et tributum quemadmodum antea, quotannis solvere. rex Amurates legationem benigne audivit, foedusque et pacem dedit, hac condicione ut quotannis, quemadmodum antea, sibi tributum ferret. Nerius iste a Florentia, quae Tyrrhenorum est metropolis, ad Atticae principatum hoc modo processit. Antonius namque Rainerii filius hunc simul et fratrem accersitos a Florentia, propinquos et cognatos suos, secum habuit, victum eis et necessaria ministrans. postquam autem Antonius apoplexia in somno ictus expiravit, uxor eius misit legationem ad regem Amuratem, ut sibi et ei qui in ea civitate erat optimus principatum committeret. is erat mulieri propinquus genere et meus pater; quem misit ad regem cum immensa pecuniae vi, ut sibi principatum Atticae regionis et Boeotiae traderet. ut autem egressus urbe iter ad regem ingrediebatur, qui in urbe erant poten-

μεγάλα, ὥστε διαπράττεσθαι σφίσι τὴν ἀρχὴν τῆς τε Ἀττικῆς ἅμα καὶ Βοιωτίας, ὡς ἐξελαύνων ἐκ τῆς πόλεως ἐπορεύετο παρὰ βασιλέα, οἳ προέστησαν τοῦ δήμου, κατὰ τὸ πρὸς αὐτὸν Χαλκοκονδύλην ἔχθος τήν τε γυναῖκα τοῦ Ἀντωνίου ἀπάτῃ παρήγαγον ἐκ τῆς ἀκροπόλεως, καὶ τοὺς προσήκοντας Ἀντωνίου καθίστασαν τυράννους, καὶ τὸ γένος ἐξελάσαντες αὐτοὶ ἴσχουσι τὴν πόλιν. ἐπιγαμίαν δὲ ποιησάμενοι πρὸς τὴν γυναῖκα τοῦ Ἀντωνίου ἐπὶ θετῷ αὐτῆς παιδὶ ἀγαθῷ, ἐς τὴν ἀκρόπολιν παρῆσαν. καὶ οὐ πολλῷ ὕστερον ἐκβάλλοντες τὴν ἀκρόπολιν, καὶ γένος ἡμῶν ἐξελαύνοντες, τὰ τῆς πόλεως D πράγματα ἔσχον. ὁ μὲν δὴ Χαλκοκονδύλης ἀφικόμενος παρὰ βασιλέα ἐς φυλακὴν μέντοι περὶ αὐτὸν ἐγένετο, ὑπὸ βασιλέως κελευόμενος παραδοῦναι τὴν χώραν. ὡς δὲ ὑποσχόμενος ἐς τρεῖς μυριάδας χρυσίου οὐδέν τι ἔπρασσε, στρατὸν δὲ ἐπύθετο πεπομφέναι βασιλέα ἐπὶ Βοιωτίαν ὡς τὴν Θηβῶν πόλιν παραστησόμενον, διεπράξατό τε καὶ ἀπέδρα ἐπὶ Βυζάντιον, καταλιπὼν τούς τε θεράποντας καὶ σκηνὰς ἅμα καὶ ὑποζύγια. ἐπιβὰς δὲ νεὼς ἀπὸ Βυζαντίου ἔπλει ἐπὶ τὴν Πελοπόννησον. καὶ ἐνταῦθα νῆες αὐτοῦ περιπλέουσαι τῶν τυράννων τῆς Ἀττικῆς συλλαμβάνουσί τε τὸ πλοῖον, καὶ αὐ- P. 170 τὸν ἑλόντες Χαλκοκονδύλην ἀνήγαγον παρὰ βασιλέα δέσμιον. βασιλεὺς μὲν οὖν αὐτῷ ἀφῆκε τὴν αἰτίαν καὶ συνέγνω, μηδὲν ἐπὶ τούτῳ αἰτιασάμενος· αὐτὸς μέντοι τὰς τρεῖς μυριά-

8. ἐς T, καὶ P

tissimi, odio Chalcocondylis moti, uxorem Antonii dolo deduxerunt ex arce, et Antonii propinquos in principatum promoverunt, uxorisque genus urbe expellentes ipsi civitatem tenuere. affinitatem vero iungentes cum uxore Antonii in filio adoptivo, viro haud improbo, in arcem redierunt. nec tamen multo post expulsa muliere Acropolim occuparunt, et rem publicam obtinuere, eiecta nostra familia. Chalcocondyles ut venit ad regem, captus et in carcerem coniectus est, iussus reddere regionem. cum autem polliceretur triginta milia aureorum, ne sic quidem efficere quicquam potuit. acceperat interea regem exercitum misisse contra Boeotiam, ut Thebas urbem occuparet. ipse interim haud cessabat sedulo agere, sicubi fugae daretur occasio, ut aufugeret Byzantium. quae ubi primum oblata est, relicto tabernaculo et iumentis profugit Byzantium; ibique conscensa navi solvit in Peloponnesum. naves igitur Atticae regionis principum per mare oberrantes navem fugientis capiunt, et ipsum Chalcocondylen vinctum perduxerunt ad regem. rex ei delictorum veniam dedit, nihil eum propter delicta culpans. cum autem ipsi poscerentur triginta milia aureorum, responde-

δας ἀπαιτούμενος οὐκ ἔχειν ἀποδιδόναι ἔφασκεν. ἐντεῦθεν ἡ χώρα ἐληλατεῖτο μεγάλως ὑπὸ τοῦ βασιλέως ἐν τῇ Θετταλίᾳ χώρᾳ. Νέριος δὲ τύραννος ὢν τὴν ἀρχήν, καὶ θηλυδρίας ὢν καὶ μαλακώτερος, ὑπὸ ἀδελφοῦ Ἀντωνίου ἀφῄρητο τὴν ἀρχὴν ἐπιβουλευθείς. μετὰ δέ, ὡς ἐτελεύτησεν Ἀντώνιος, ἐς τὴν ἀρχὴν αὖθις κατέστη Νέριος ὁ Ἀντωνίου ἀδελφός, ἀπὸ
B Φλωρεντίας ἀφικόμενος. τότε δὲ διὰ τὴν εἰς τοὺς Ἕλληνας αὐτοῦ συμμαχίαν ἐδῄου τὴν χώραν ὁ τῆς Θετταλίας ὕπαρχος. πράγματα δὲ ἔχων εἰρήνην ἐποιεῖτο πρὸς βασιλέα. καὶ οἱ Ἕλληνες πυθόμενοι ἐστρατεύοντο ἐπὶ τὰς Ἀθήνας. ἐνταῦθα ἄγγελόν τε ἔπεμπε πρὸς τὸν βασιλέα, ὡς κακῶς ποιοῖεν αὐτὸν οἱ Ἕλληνες καὶ πολιορκοῖεν τὴν πόλιν, πειρώμενοι ἐξελεῖν. καὶ Τουραχάνης δέ, ὁ τῆς Θετταλίας ὕπαρχος, τῷ τε βασιλεῖ πέμπων ἀγγέλους ἐπῆρεν ἐπὶ Πελοπόννησον στρατεύεσθαι. ἀλλὰ ταῦτα μὲν ὕστερον χρόνῳ πολλῷ ἐγένετο· τότε δὲ ὑπὸ Πελοποννήσου ἡγεμόνι, βασιλέως δὲ ἀδελφῷ ἐδεδούλωτο, τρόπῳ ᾧ πρότερόν μοι δεδήλωται.

C Ἀλλὰ κατὰ μὲν τοὺς Ἕλληνας καὶ τὴν Πελοπόννησον τοιαῦτα ἐγένετο, κατὰ δὲ τὸν Βυζαντίου βασιλέα τάδε ξυνεβεβήκει. τούς τε γὰρ Παίονας ὡς ᾔσθετο ἀπελάσαντας καταλύσασθαι τῷ Ἀμουράτῃ, Γεωργίου ἐς τοῦτο παρακαλέσαντος, ἔπεμπον πρέσβεις παρὰ τὸν Ῥώμης ἀρχιερέα, ὑποτιθέ-

3. χώρᾳ] ὑπάρχου?

runt se eos nequaquam posse solvere. hinc regio eorum populationibus graviter divexata est ab Turcis, qui in Thessalia morabantur. Nerius autem princeps cum iam ab initio foret imbellis et effeminatior, per insidias a fratre Antonio principatu deturbatus est. mortuo tandem Antonio Nerius Florentiam veniens in principatum restitutus est. ea tempestate, quia socia arma iunxerat Nerius Graecis, ipsius regio ab Thessaliae duce evastabatur. cum autem gravissime populationibus urgeretur, tandem necessitate subigente pacem cum rege fecit. Graeci audientes pacem inter Atticae principem et regem convenisse, continuo arma contra Athenienses capiunt. princeps nuntio misso indicavit regi in quanto periculo haereret: Graecos urbem obsidere, eamque summa vi, ut capiant, niti. Turachanes igitur Thessaliae praefectus mittens nuntios ad regem eum hortabatur ut bello Peloponnesum lacesseret. sed haec longo tempore demum contigere. verum eà tempestate ab duce Pelloponnesi regis fratre, quemadmodum diximus, in servitutem redactus est.

Inter Graecos et in Peloponneso haec acta sunt. quid vero egerit rex Cpolitanus, in sequentibus declarabitur. nam hic ut accepit Pannones abiisse, et foedera impulsu Georgii cum Amurate sanxisse,

μενοι ὡς τριήρων καὶ νεῶν παραγενομένων σφίσιν ἐς τὸν Ἑλλήσποντον, ὥστε ἀπόντι αὐτῷ ἐς τὴν Ἀσίαν μὴ ἐπιτρέψαι διαβῆναι ἐς τὴν Εὐρώπην, εὐπετῆ ἂν γένοιτο ταῦτα χειρωθῆναι τὰ πράγματα αὐτοῦ· εἴτε τὸ τῆς Εὐρώπης στράτευμα σὺν τῷ Ἀμουράτῃ ἀπομονωθήσεται, οὐκέτι εἰς χεῖρας τοῖς Παίοσιν ἰέναι ἐθελήσει. ἔπεμπον δὲ καὶ ἐς τοὺς Κελτοὺς καὶ τὸν Βουργουντίας ἡγεμόνα, ἀναμιμνήσκοντες ὡς δίκαιοι εἶεν δίκην D πράττεσθαι τῶν ἐν τῷ πολέμῳ Παιαζήτεω ἀποθανόντων Κελτῶν διὰ τὴν τοῦ Σιγισμούνδου ἀγνωμοσύνην. συνεπελάβοντο μὲν οὖν σὺν τῷ ἀρχιερεῖ Ῥωμαίων, καὶ τριήρεις ἐπλήρωσαν δέκα, ἐπὶ Ἑλλήσποντον πέμποντες. καὶ ἀρχιερεὺς δὲ δέκα ἄλλας πληρώσας ἀπέστελλεν ἐπὶ βασιλέα Ἰωάννην, ὡς ποιησομένους ἃ ὑποθοῖτο αὐτοῖς βασιλεύς. οὗτοι μὲν οὖν ἀφικόμενοι ἐς τὸν Ἑλλήσποντον διεκώλυον Ἀμουράτεω τοῦ ἐς τὴν V. 134 Εὐρώπην διαβῆναι.

Κατὰ δὲ τὴν παράλιον τῆς Μακεδονίας ἐς τὸν Ἰόνιον συνέβαινε τοιάδε. ὡς γὰρ προσδόκιμοι ἦσαν οἱ Παίονες ἀφίξεσθαι αὖθις ἐς τὴν Εὐρώπην, ὡς ἐξελόντες Τούρκους τε καὶ Ἀμουράτη ἐκ τῆς Εὐρώπης, προϊδόντες ὅτι ἔσοιτο αὖθις ὁ P. 171 πόλεμος (προηγγέλλετο γὰρ ἁπανταχῇ τῇ Εὐρώπῃ ὡς συλλέγοιντό τε αὖθις στρατευσόμενοι οἱ Παίονες καὶ ὁ Ἑλλήσποντος ὑπὸ τῶν ἑσπερίων κατέχοιτο), ὥρμητο καὶ αὐτός τις

3. ταύτῃ? 4. εἰ γὰρ τὸ? 12. ὑπέστελλεν P 18. ἐξελοῦντες? an ἐξελῶντες?

legatos misit ad Romanum pontificem, consulentes, si triremes et naves adventarent in Hellespontum, quibus praecluderetur Amurati in Europam transitus, Amuratem facile debellari posse. si enim Europae exercitus solus apud Amuratem relictus fuerit, haud pugnare adversus Pannones volet. legati ire iussi sunt ad Gallos et Burgundiae ducem, in memoriam revocantes cladem quam perpessi sunt sub Paiazite imprudentia Sigismundi. eam cladem, si modo velint, Turcis reddi posse. adiuverunt itaque Romanum pontificem, et triremes impleverunt decem, quas in Hellespontum misere. etiam pontifex decem triremes instruxit et militibus complevit et ad regem Ioannem misit, quasi facturus quae rex imperasset. venientes igitur in Hellespontum prohibuerunt Europae accessu Amuratem.

Haec autem acciderunt iuxta maritimam Macedoniae regionem, versus Ionium. cum fama volaret Pannones in armis esse et advenire in Europam, ut inde eiicerent Turcos et Amuratem, iamque omnes bellum expectarent haud dubie imminens, quia longe lateque rumor increbrescebat Pannones exercitum conscribere et Hellespontum iam ab Occidentalibus esse occupatum, singuli animum intendebant ad

ἕκαστος ἐπὶ τὴν πατρῴαν αὑτοῦ ἀρχήν, ὡς σχήσων τε καὶ καταληψόμενος ὅ τι ἂν αὐτῷ προχωρήσειεν. ἔνθα δὴ καὶ Ζενεμπίσας ἀπὸ Μακεδονίας τῆς πρὸς τὸν Ἰόνιον παραλίου ὡρμημένος, συμπαραλαμβάνων τοὺς ταύτῃ Ἀλβανούς, οἳ ἐνῆσαν αὐτῷ, προῄει, διὰ τῆς Ἀργυροπολίχνης, καὶ τήν τε πεδιάδα, ὅσην ᾤκει ἐνταῦθα μέχρι Καστορίας, ὑπηγάγετο. B ἐνταῦθα δὴ Θερίζης ὁ Βερροίας ὕπαρχος, ξυναγαγὼν τοὺς παρὰ Ἀζίνῃ Σκύθας τε ἅμα καὶ Τούρκους τοὺς βασιλέως, ἐπισπομένων αὐτῷ καὶ συχνῶν τῶν ἀπὸ τῆς Θέρμης τε καὶ Λίμνης τῆς Περραιβῶν, ἐπέλασέ τε ἄφνω, καὶ ἀπαρασκεύοις ἐπισπεσών, ἐσκηνωμένοις αὐτοῦ ταύτῃ που περὶ τὴν τῆς Καστορίας χώραν, τοὺς πλείστους τε αὐτῶν Ἀλβανῶν διέφθειρε, καὶ αὐτὸν Ζενεμπίσαν τὸν ἡγεμόνα ἀνελὼν ἐπὶ [πολὺ ἤλασε φόνου, ἐνταῦθα τοὺς ἄλλους κατακαίνων.

Ταύτῃ μέντοι ἀνὰ τὴν Εὐρώπην ἐγένετο, καὶ ἐς θόρυβον καθίσταντο [ὡς ἕκαστοι ἐπὶ τὰ σφέτερα αὐτῶν ὡρμημένοι πράγματα. καὶ οἱ Τοῦρκοι ἐς φόβον τε ἐγένοντο μέγαν, οἰόμενοι αὐτίκα ἀπόλλυσθαι ὑπὸ τῶν Παιόνων καὶ τῶν C παροίκων ἐθνῶν ἀλλοφύλων αὐτοῖς· καὶ ὅπῃ τύχοιεν, τὰ τείχη ἐκράτυνον, καραδοκοῦντες ᾗ ἀποβήσεται ἕκαστα ἐς τὸ τοιόνδε. Παίονες δέ, ὡς πρέσβυς ἀφίκετο παρ' αὐτοῦ τοῦ Ῥωμαίων ἀρχιερέως Ἰουλιανὸς καρδινάλιος, ἀνὴρ τά τε ἄλλα ἐπιεικὴς καὶ ἐς τὴν Ῥωμαίων σοφίαν εὐδόκιμος, παρεκάλει τε ἐπὶ τὸν

14. καταβαίνων P 15. ταῦτα? 21. παρὰ τοῦ?

recuperandam patriam regionem, quasi eam nacturi, utcunque tamen alea belli cecidisset. Zenempisas igitur ab Macedonia proficiscens, assumptis qui isthic habitabant Albanis, pergebat per Argyropolichnem, et planitiem eam Castoriam usque subegit. Therizes Berrhoeae princeps, colligens Azatinis Scythas necnon Turcos regis, attractis etiam plurimis ex Therma et Limna Perraeorum; quibus fretus, Zenempisae obviam progressus est. festinans autem imparatos hostes, cum adhuc in Castoriae regione versarentur, oppressit. Albanorum plurimos necavit, Zenempisam ducem peremit, et alios complures.

Haec quidem in Europa evenerunt. et ubique tumultus erat, cum singuli ad sua recipienda properarent. Turcos magna incesserat formido, putantes se perituros Pannonum et finitimarum gentium Marte. ubicunque igitur poterant, moenia et muros firmabant, expectantes quemnam praesens tumultus exitum esset habiturus. legatus qui venerat a pontifice Romano, Iulianus nomine, caeterum Cardinalis et vir bonus et Romanae eruditionis admodum peritus, Pannones ad bellum suscipiendum adversus Turcos cohortabatur; et iusiurandum, quod maximum erat in foedere, ex pontificis mändato solvebat,

πόλεμον, τόν τε ὅρκον, ὃς μέγιστος ἦν αὐτοῖς ἐν ταῖς σπονδαῖς, ἐλύσατο ἐπιτροπῇ τοῦ ἀρχιερέως, ἀνέγνω δὲ τὰ αὐτόθι. καὶ ὥρμηντο στρατεύεσθαι ἐπὶ τὴν Εὐρώπην, οἰόμενοι καταλήψεσθαι αὐτὴν ἔρημον, ἀπόντος τοῦ Ἀμουράτεω κατὰ τὴν Ἀσίαν καὶ διατρίβοντος, καὶ τῶν νεῶν τοῦ ἀρχιερέως αὐτοῦ ἐν τῷ Ἑλλησπόντῳ διαπλεουσῶν ὡς μὴ ἐπιτρέπειν διαβῆναι, D καὶ [ὑπὸ] τοῦ Ἑλλήνων βασιλέως ὑποσημαίνοντος σφίσι ταῦτα, ὡς οὐκ ἂν ποτε διαβαίη ἐς τὴν Εὐρώπην· τούς τε Βοέμους ἐν σπονδαῖς σφίσι ποιησάμενοι κατὰ τὴν διαφοράν, δι' ἃ μοι δοκεῖ καὶ τὰς Ἀμουράτεω σπονδὰς ποιήσασθαι, πράγματα σφίσι παρεχόντων, καὶ ὡς παρεσομένου αὐτοῖς ἀπὸ τῶν Βοέμων χώρας πολέμου, ἐδέξαντο τὴν βασιλέως Ἀμουράτεω εἰρήνην, — τότε δὴ συνθέμενοι ἐκείνοις, ὡς παρεῖχεν αὐτοὺς ἐν καλῷ ἡσυχίαν ἄγειν, ὥρμηντο στρατεύεσθαι ἐπὶ τὴν Εὐρώπην, ξυμπαραλαμβάνοντες Δᾶκάς τε καὶ Δρακούλη τὸν Μύρξεω παῖδα, ὡς παρών τε ἐς τὸν πόλεμον συμπροθυμοῖτό τε καὶ συνεπιλάβοιτο, παρέχων ἱππέας ἀμφὶ τοὺς μυρίους. Γεώργιον δὲ τὸν Τριβαλλῶν ἡγεμόνα παρεκάλουν μὲν ἐς τὸν P. 172 πόλεμον τοῦτον, συνδιαφέρειν τε αὐτὸν ἅμα ἐκείνοις· ἀλλ' οὐκ ἐπείθετο, φάμενος ἀθέμιτα ἐργάζεσθαι αὐτούς, τάς τε σπονδὰς λύοντας καὶ ἀδικίας ὑπάρχοντας, χρήμασί τε ἐνόμιζε διαλύσειν αὐτῷ τὴν αἰτίαν, ὅτι οὐ στρατεύοιτο τῷ Παιόνων βασιλεῖ. προηγόρευε δὲ τῷ τε βασιλεῖ μὴ στρατεύεσθαι, ὡς

quod et coram omnibus legebatur. deinde impetu quodam ferebantur adversus Europam, putantes se ipsam destitutam auxilio, Amurate absente et in Asia moras nectente, occupaturos. pontificis namque triremes in Hellesponto erant, nec sinebant Amuratem in Europam transire. praeterea Graecorum rex nuntiabat Amuratem non posse traiicere in Europam, etiamsi omnia conaretur omnemque lapidem moveret. Pannones etiam pacem fecere cum Boemis, propter eam dissensionem qua moti foedus cum Amurate inierant. Boemi igitur et ipsi accingebantur ad praesens bellum. nam propterea pax convenerat, quia pulchrum videbatur ut in praesentiarum discordias ponerent et simul iunctis copiis bellum Europae inferrent. adhibuerunt in belli societatem Dacos et Draculem, Myrxis sive Marci filium, qui ipse aderat promptus et auxiliaris ad id bellum, offerens decem milia equitum. Georgium Triballorum ducem ad belli societatem incitabant: verum monitionibus non acquievit, dicens eos impia et nefanda patrare, foederum religionem violantes et priores iniuriari incipientes. sperabat se satisfacturum regi Pannonum, quod non in belli societatem venisset, pecuniaria mulcta. indicavit tamen regi, eumque diligenter

Τούρκων μέγα δυναμένων, καὶ οὐκ εὐπετῶς ῥᾴδιον οὕτω
χειρωθῆναι ὑπὸ Παιόνων. ἑώρα γὰρ τὴν παρασκευὴν οὐχ
V. 135 ἱκανὴν εἶναι ὥστε τὴν Εὐρώπην κατασχεῖν, παμπόλλων ἐν
B αὐτῇ ὄντων Τούρκων, καὶ ἐν πολέμοις πολλὰ πειραθέντων,
καὶ τὸ πλέον τοῦ βίου σφίσιν ἐντεῦθεν ποιουμένων. ἀρετήν
τε τὸ γένος τοῦτο ἐς ἀπόγνωσιν ἀφικέσθαι ἀξίαν λόγου ἐνδεικνύμενον ἁπανταχοῦ, καὶ ἀναλαμβάνειν τε σφᾶς τὸ γένος τοῦτο ὑπεμίμνησκε δαιμονίως παρὰ τὰ ἄλλα γένη.

Λαδίσλαος μὲν οὖν ὁ τῶν Παιόνων βασιλεύς, ἀπὸ τοῦ Ἀρδελίου διαβὰς τὸν Ἴστρον καὶ τὸν στρατὸν διαπορθμεύσας, ἀφίκετο ἐς τὴν βασιλέως χώραν, καὶ αὐτοῦ ἐστρατοπεδεύετο κατὰ τὴν τοῦ Εὐξείνου παραλίαν, Δοβροτίκεω τοῦ Μυσοῦ χώραν, ἐπὶ Καλλιάκρην τε καὶ ἐπὶ Βάρνην. καὶ ἐλθόντες ἐνταῦθα τάς τε πόλεις ἐπολιόρκουν. καὶ ἡ μὲν Βάρνη ὡς
C ἐπολιορκεῖτο, προσεχώρησε καθ' ὁμολογίαν, ἡ δὲ Καλλιάκρη ἑάλω τε προσβαλόντων τῶν Παιόνων καὶ ἀναβάντων ἐπὶ τὸ τεῖχος. ἐξελόντες δὴ καὶ ἐξανδραποδισάμενοι ἤλαυνον εὐθὺ τῆς Βυζαντίου χώρας καὶ Ὀρεστιάδος. καὶ οἱ μὲν ἀμφὶ ταῦτα εἶχον, Ἀμουράτης δὲ ὁ Μεχμέτεω ἐλάσας ἐπὶ Καραμᾶνον τήν τε χώραν ἐδῄου, καὶ τὰ ὑποζύγια ληισάμενος ἐπολιόρκει τὴν τοῦ Κονείου ἀκρόπολιν. Καραμᾶνος μὲν οὖν ἐπὶ τὰ ἄκρα τῆς χώρας ἀποφυγὼν διέτριβεν αὐτοῦ, ὡς ἦν τις

monuit ne bellum moveret contra Turcos, quorum magna potentia esset: eos haud facile a Pannonibus subigi posse. cernebat namque Georgius non eum esse belli apparatum, ut Europam obtinere possent. plurimi namque in ea agebant Turci, in castris tantum non educati, quique plerumque non aliunde quam ex bellis victum pararent. genus autem hoc hominum, cum ad desperationem adactum fuerit, virtutem memorabilem ubique ostendere solet. praeterea ostendit Vladislao Turcos plurimum rebus bellicis reliquas gentes excellere.

Vladislaus his nihil persuasus, ab Ardelio sive Transylvania profectus, Istrum traiecit, et copias omnes transportavit in regis regionem, et ibi castrametatus est iuxta Euxini maritimam Dobroditiam, Bulgarorum regionem. hinc castra moventes, Calliacren et Barnem sive Varnam urbes obsidere et oppugnare aggressi sunt. Barne pactionibus in dicionem accepta est. Calliacre vero vi capta est, Pannonibus ascendentibus impigre murum et impetu in eam irruentibus. hanc ubi occupassent et diruissent necnon foede diripuissent, plurimis abductis mancipiis, profecti sunt recta ad Byzantii et Orestiadis regionem. haec quidem egerunt Pannones. Amurates Mechmetis filius, bello petens Caramanum, eius regionem populatus est; et iumento-

ἐπ' αὐτὸν ἀπὸ τῶν ἄκρων ἀμυνούμενος, διεκαρτέρει. καὶ ἐπρεσβεύετο πρὸς τὸν Ἀμουράτην, ὑποσχόμενος διδόναι τε ὁμήρους, καὶ τὸν παῖδα ἐς τὰς θύρας αὐτοῦ ἐπιπέμπειν, καὶ φόρον ἀπάγειν τοῦ ἔτους διπλάσιον οὗ ἀπέφερε πρότερον. D ταῦτα δὴ οὖν προτείνοντος τοῦ Καραμάνου, καὶ δεομένου σπένδεσθαι αὐτοῦ τῷ βασιλεῖ, ἐνταῦθα ἀφίκετο ἀγγελία παρὰ τοῦ Τριβαλλῶν ἡγεμόνος ὡς οἱ Παίονες ἐπελαύνοντες διαβαίνουσι τὸν Ἴστρον. καὶ τότε δὴ τοὺς λόγους ἐδέχετο τοῦ Καραμάνου καὶ σπονδὰς ἐποιεῖτο, λαβὼν δὲ ὁμήρους καὶ τὸν παῖδα αὐτοῦ ἀπήγαγε τὸν στρατόν. τὸν μὲν οὖν Ἑλλήσποντον ἐπυνθάνετο κατέχεσθαι ὑπὸ τῶν νεῶν τῶν Ἰταλικῶν καὶ ἑσπερίων. ἐνταῦθα ἐν ἀπόρῳ ἐχόμενος ὅ τι χρήσαιτο τῷ παρόντι ἐς διάβασιν, τὸν στρατὸν ὅμως ἦγε σπουδῇ ἐπὶ τὸν P. 173 Ἑλλήσποντον, ὡς τάς τε τριήρεις, ἢν ἐπιπλέουσαι διακωλύωσι, τοῖς τηλεβόλοις ἀπελασόμενος. ἔστι γὰρ τοῦτο τῆς Προποντίδος στενώτατον ἐπιεικῶς, καὶ πύργος ἔνεστιν ἐν τῇ Ἀσίᾳ Ἱερὸν καλούμενος, ὥστε μηδαμοῦ ἑτέρωθι ἐς τοσοῦτον βραχὺ ξυνιέναι τὼ ἠπείρω διαστῆναι. ἐνταῦθα ὡς ἐπῆγε τὸν στρατὸν διαβησόμενος, τὸν τῆς Εὐρώπης τε καὶ Ἀσιανόν, τὰς μὲν τριήρεις οὐκέτι κατέλαβεν ἐνταῦθα· ἄνεμοι γὰρ ἰσχυροὶ πάνυ οὐκ εἴων τὰς τριήρεις ἐς τὴν Προποντίδα εἰσπλέειν,

1. αὐτὸν] αὐτὸν ἴῃ? 18. τῷ ἠπείρῳ P

rum pecorisque praedas agens, Conii arcem obsidione pressit. Caramanus ad montes regionis confugiens ibi morabatur, volens, si hostis accederet, eum fortiter repellere. tandem legationem misit ad Amuratem, promittens obsides necnon filium suum, quem in ianuas regis mittere vellet. addebat se duplo maius quam hactenus regi tributum quotannis persoluturum. Caramanus cum his condicionibus pacem peteret, forte advenit ad regem nuntius ab Triballorum duce missus, referens Pannones transgressos esse Istrum. hoc igitur nuntio nonnihil territus petitionem Caramani admisit et cum eo foedus iniit, acceptisque obsidibus et filio exercitum abduxit. cum intelligeret Hellespontum teneri ab navibus Italorum et Occidentalium, anxius animi erat, cum haud satis constaret quo pacto in praesentiarum in Europam transvehi posset. nec tamen exercitum, summa celeritate adhibita, ad Hellespontum ducere omisit, ut naves hostium, si adnavigarent, bombardis et reliquis tormentis abigeret. est autem iste locus Propontidis angustissimus; et turris isti est in Asiam recedens, quae Sacra nominatur, ut neutro sic coeat, ut ab continente submoveatur. cum igitur huc venisset, in animo agitans Europae et Asiae exercitum in Europam transmittere, triremes non amplius invenit. nam ventus, qui coortus erat admodum validus, haud finebat naves in Propontida navigare. is ventus multis regnavit diebus, nec naves ullo

B καὶ πνεῦμά τε ἰσχυρὸν κατῄει ἐπὶ συχνὰς ἡμέρας, βιαζόμενον τὰς ναῦς μηδαμῇ ἀναπλεῦσαι ἐναντία τοῦ πνεύματος. Ἀμουράτης δέ, ὡς αἱ τριήρεις οὐκέτι παρῆσαν αὐτοῦ, καθ' ἡσυχίαν διέβαινεν αὐτός τε καὶ ὁ στρατὸς ἅπας. ἐπεὶ δὲ διεβεβήκει, ἄγγελον ἔπεμψε παρὰ τὸν Βυζαντίου βασιλέα, ἐροῦντα αὐτῷ ὡς διαβαίνοι σῶς καὶ ἐπὶ τὸν ἐχθρὸν αὐτοῦ ἰθὺ ἐλαύνοι, καὶ εὔχεσθαι παραγγέλλει ὡς κάλλιστα αὐτῷ τὰ ἐς τοὺς πολέμους.

modo contra ipsum niti poterant. Amurates igitur, cum hostium triremes non amplius adessent, per otium ipse simul cum universis copiis in Europam transportatus est. cum transvectus esset cum copiis suis, ad Byzantii regem nuntium misit, qui diceret se salvum et incolumem cum universo exercitu transvectum esse in Europam et pergere contra hostes. proinde ne cunctaretur quam celerrime conscripto exercitu subsidio venire.

ΛΑΟΝΙΚΟΥ ΧΑΛΚΟΚΟΝΔΥΛΟΥ
ΑΘΗΝΑΙΟΥ
ΑΠΟΔΕΙΞΙΣ ΙΣΤΟΡΙΩΝ Η ΕΒΔΟΜΗ.

LAONICI CHALCOCONDYLAE
ATHENIENSIS
HISTORIARUM
DE ORIGINE AC REBUS GESTIS TURCORUM
LIBER SEPTIMUS.

Βασιλεὺς δὲ Ἑλλήνων ὡς ἐπύθετο τὰ παρὰ τοῦ ἀγγέλου, P. 174
ἤχθετο μὲν οἷα εἰκός, διαβεβηκότος οὕτω ὥστε μὴ διακωλῦ- V. 136
σαι τὴν διάβασιν ἀμαχητί, ἀλλ' ἡσυχῇ διαβάντα τόντε στρα-
τὸν αὐτοῦ ἅμα διαπορθμεῦσαι, καὶ ἔφερε μὲν χαλεπῶς, ἐβου-
λεύετο δὲ ὅπως τῷ παρόντι χρήσαιτο, καὶ εἴτε πόλεμον ἀπαγ-
γέλοι τῷ Ἀμουράτῃ εἴτε εἰρήνην. εἰ μὲν γὰρ εἰρήνη αὐτῷ
εἴη πρὸς Ἀμουράτην, ἐχρῆν ἐλαύνοντι διὰ τοῦ Πόντου τὴν
χώραν αὐτοῦ ἀγοράν τε ἅμα παρέχειν καὶ τὰ ἐπιτήδεια. καὶ

Graecorum rex ut audivit quae adferebat nuntius Amuratis, dolebat animo, quemadmodum verisimile est, quod eum transitu prohibere nequivisset, verum absque praelio transiisset et per otium copias traduxisset omnes. haec quidem molesto ferebat animo. deliberabat quid in praesenti rerum statu potissimum ageret, bellumne sive pacem Amurati nuntiaret. nam si pacem cum Amurate retinere instituisset, fore ut ei per Ponti regionem exercitus ductanti cogeretur

τοῦτο ἐδόκει δεινὸν αὐτῷ ἔσεσθαι πρὸς τῶν Παιόνων, ἐπειδὰν περιγένωνται τοῦ Ἀμουράτεω, καί ἀχθησομένους αὐτῷ
P. 175 διὰ τοῦτο τοὺς Παίονας. ἐδόκει τε οὖν ἐπὶ τὴν τῶν Παιόνων μοῖραν τραπομένους ἑλέσθαι τε τὰ ἐκείνων, καὶ πόλεμον ἀπαγγέλλειν τῷ Ἀμουράτῃ. ὡς μὲν οὖν ἡ γραφὴ ἐδήλου, οὐ πάνυ τι διεσάφησε Χαλίλης ὁ Πραΐμεω, ἐπιτήδειος ὢν ἐν τῷ τότε τοῖς Ἕλλησι, καὶ βουλόμενος ὡς ἥκιστα αὐτοὺς πολεμεῖν ἐκ τοῦ ἐμφανοῦς βασιλεῖ, πρὶν ἢ καραδοκῆσαι οἷ χωρήσει ὁ πόλεμος.

Ἀμουράτης μὲν δὴ εὐθὺ τῶν πολεμίων ἐλαυνόντων ἐστρατεύετο παρασκευασάμενος, καὶ τὸ ἄλλο τῆς Εὐρώπης στράτευμα κατέλαβεν ἠθροισμένον αὐτῷ, καὶ προσιὼν ἑκάστοτέ οἱ ἐπὶ τὸν πόλεμον. οὗτος δὲ κατόπιν ἐλαύνων τοῦ Παιόνων στρατοῦ ἐστρατοπεδεύετο νυκτός, ἔνθα τῇ προτεραίᾳ ἐπηυλί-
B ζοντο οἱ Παίονες, καὶ ἡμέρᾳ αὖ ἤλαυνε καὶ ἐστρατοπεδεύετο ἐς τὸν σταθμὸν τῶν Παιόνων, ᾗ ἐστρατοπεδεύοντο. τοῦτο δὲ ἐποίει ἐπὶ ἡμέρας τέσσαρας, καθορῶν τε τὸ πλῆθος τῶν πολεμίων καὶ ὡς ἔχουσι διαθέσεως ἐς αὐτόν, εἴτε περιδεεῖς ἐπίασιν, ὥστε ἐπὶ βραχύν τινα χρόνον συστέλλεσθαι, εἴτε καὶ τόλμῃ χωροῦντες, μηδὲν δεδιότες, στρατεύονται, καὶ ὡς ἔχουσί τε ἐπιτηδείων ἐν τῷ στρατοπέδῳ. ταῦτα γὰρ ἅμα συνειδείη ἄν τις ἑπόμενος τῷ πολεμίων στρατοπέδῳ, καὶ ἐπιλογίσαιτο σαφέστατα ὡς ἔχουσί τε δέους καὶ τόλμης καὶ ὡς

2. ἀχθεσομένους? 19. περιδεὴς ἐπὶ πᾶσιν P

commeatum et necessaria praestare. qua re se maxime offensurum Pannones iudicabat; et hinc maximum sibi imminere periculum a Pannonibus, si Amuratem devicissent. videbatur igitur eo tempore consultissimum fore, sequi Pannonum partes et bellum Amurati inferre. Chatites Priami filius Amuratem non omnium, quemadmodum eius literae indicant, certiorem reddidisse videtur. amicus etiamnum ea tempestate erat Graecis, et volebat hos quam minime ex aperto bellum gerere cum rege, priusquam satis explorassent quonam bellum esset erupturum.

Amurates igitur, cum contra ipsum recta pergerent hostes, arma bene instructus capiebat; et exercitum Europae universum congregatum accipiens, singulos ad bellum fortiter suscipiendum cohortabatur. secutus igitur Pannonum exercitum, noctu eo loci castra muniebat, ubi hostes praeterita die castra posuerant. similiter cum dies illuxisset, haud longe ab Pannonum castris et sua locabat. hoc faciebat per dies quattuor, ut posset contemplari hostium multitudinem, necnon quis eorum esset ad id bellum animorum habitus: formidolosine essent et proinde cito omissuri eam expeditionem, an audacia freti, nihil metuentes, pre-

ἔχουσιν ἐπιτηδείων καὶ πλήθους, ὁδός τε εἴη ὁ στρατὸς ἢ ἐγγὺς τούτου. ταῦτα μὲν οὖν Ἀμουράτης ἐλαύνων κατόπιν ἐλογίζετο ἐπὶ τέσσαρας ἡμέρας· τῇ δὲ πέμπτῃ Ἰωάννης ὁ C Χωνιάτης, ὡς ᾔσθετο κατὰ πόδας ἐλαύνειν τὸν βασιλέως V. 137 στρατόν, ἐς βουλήν τε καθίστατο σὺν τῷ Παιόνων βασιλεῖ, καὶ ἐβουλεύοντο εἰ τὴν μάχην αὐτοῦ ποιήσαιντο καὶ μαχεσάμενοι οὕτω τοῦ πρόσω ἔχοιντο, ἢ ἀμαχητὶ προΐοιεν, καταλαμβάνοντες τὴν χώραν. ἐνταῦθα ἔδοξε βουλευομένοις τὴν μάχην ποιεῖσθαι, ὡς ἂν μὴ ἐπισπώμενοι ἐνοχλοῖεν καὶ πράγματα ἔχοιεν, ὥστε κωλύεσθαι, ἤν τι ἐπιχειροῖεν ἐς τὴν χώραν αὐτοῦ. 1444 d. 10 Nov. ὡς οὖν ἐδέδοκτο καὶ ἐπέμενον, ἐνταῦθα Ἀμουράτης ἀφικόμενος ἐστρατοπεδεύετο ἐν τῷ πεδίῳ. καὶ πρῶτα μὲν τοὺς νεήλυδας παραταξάμενος ἐκυκλοῦτο ὑπὸ τῶν θυρεῶν, εὐμεγέθεις πηξάμενος σιδηρίους ἐς τὴν γῆν. φέρει δὲ D τούτους αἰεί, ὅποι ἂν στρατεύηται βασιλεύς, ἐπὶ τῶν καμήλων· καὶ πρός γε τὰ ὅπλα τῶν νεηλύδων ἐπὶ τῶν καμήλων φέρει, καὶ ὅποι ἂν ἔσοιτο αὐτῷ ἐν τῇ μάχῃ, διανειμάμενος τὰ ὅπλα ἐς μάχην καθίσταται. μετὰ δὲ τούτους τοὺς θυρεοὺς ἄγων καὶ τὰς καμήλους αὐτοῦ ταύτῃ ἔμπροσθεν τῶν θυρεῶν ἔστησε, καὶ οὕτω παρετάσσετο ἐς τὰς θύρας. ἐν μέσῳ δ' αὐτός τε καὶ οἱ τοῦ οἴκου ἡγεμόνες καὶ οἱ τῶν θυρῶν, ὅσοι πάρεισιν αὐτῷ ἐς τὸ στρατόπεδον. τὸ δὲ Εὐρώ-

1. ὅλος?

fectionem facerent; praeterea an omnia in castris eorum ordine gererentur: abundarentne commeatuum copia, an secus. haec omnia quis facile explorare potest, si subinde hostilem sequatur exercitum. exactissime etiam cognoscat hoc modo, audacesne an timidi sint; praeterea an inter se consentiant, si agmen sit iter ingressurum aut ingrediatur. haec quidem per quatriduum explorare haud cessabat Amurates. quinto autem die Ioannes Choniates ut sensit subsequi regis exercitum, deliberat, adhibito in consilium et Pannonum rege, ibine velint praelii aleam experiri et sic ulterius proficisci, an praelium detrectantes ulterius progredi, hostilem regionem occupantes. decreto igitur facto, pugnandum esse, hostium adventum expectarunt. Amurates igitur adveniens castra in eodem communit campo. peregrinos primo locavit, qui per circuitum ferramenta magna defigebant; et in hunc modum ab ianuis quasi circulo ambiebatur rex. ferramenta illa, quocunque cum exercitu proficiscitur rex, portant cameli, necnon peregrinorum arma. si praelium occipiendum est, arma inter milites distribuit. post hos scuta collocavit, et ante scuta camelos quos constituit. hic ordo ianuarum est. in medio autem consistunt ipse rex et aulae eius duces, necnon quotquot ipsi de ianuis in exercitu praesto sunt. in proximo statuitur Europae exercitus; cui

πης στράτευμα παρετάσσετο αὐτῷ ἔχον στρατηγὸν Καραζίην, ἄνδρα εὐδόκιμον. ἐτάσσετο δὲ κατὰ ἴλας χωρὶς ἀπ' ἀλλή-
P. 176 λων διεστηκυίας οὐ πολλῇ χώρᾳ. καὶ τὸ Ἀσίας στράτευμα ἐτάσσετο κατὰ ἴλας ἐπὶ μέτωπον ἱσταμένας ξυμπάσας, ὥστε ἀλλήλαις ἐπιβοηθεῖν, ἐπειδάν τι τούτων ὑπὸ τῶν πολεμίων πονῇ· τὰ γὰρ ἱππικὰ στρατεύματα οὐκ ἔχει τάσσεσθαι ἄλλῃ πῃ ἢ κατὰ ἴλας, ἐπεὶ τὰ πεζικὰ ἔχει καλῶς παρατάσσεσθαι ἐπὶ κέρᾳ, οὐ μέντοι γε οἱ ἱππεῖς. Παίονες δὲ παρετάσσοντο καὶ οὗτοι κατὰ λόχους καὶ φρήτρας· καὶ οἱ Παίονες εἶχον τὸ δεξιόν. οἱ δὲ Δᾶκες τὸ εὐώνυμον.

Καὶ Ἰωάννης μὲν ὁ Χωνιάτης ἔχων τὴν φακζήν, τοὺς Βιτάξιδας καλουμένους, ἐπῄει ἐπὶ τὸν τῆς Ἀσίας στρατηγόν. καὶ οἱ πολλοὶ μὲν αὐτῶν οὐδὲ ἐς χεῖρας ἐλθόντες ἐδέξαντο
B τοὺς Παίονας, ἀλλὰ ἔφευγον ἐκ πολλοῦ, παρείχοντό τε τοῖς ποσὶν ἐπιδιώκειν, ἔνθα γενόμενοι διεσπάρησαν. καὶ τὸν δεύτερον τῆς Ἀσίας στρατὸν οὕτω δὴ τρεψάμενος ἐδίωκεν. ὑπελείπετο δὲ αὐτῷ τὸ τῆς Εὐρώπης στράτευμα, ἑστηκός τε καὶ οὐδαμῇ χωρῆσαν, ἀλλ' ἐπιμένον τοὺς πολεμίους. δῆλα γὰρ ὡς βασιλέως ἑστηκότος τὰ στρατεύματα ταῦτα τῆς Εὐρώπης ἕστηκε. καὶ ἤν τε μὴ δεξάμενα τοὺς πολεμίους ἐς φυγὴν γένοιτο, αὖθις ἐπάνεισιν ἐπὶ τὸ βασιλέως στρατόπεδον. εἰώ-

1. Caradiam, non Rumiliae sed Anatoliae fuisse beglerbegum Hammerus monet I p. 655. 11. τὴν φακζήν, τοὺς Βιτάξιδας] die Faction (la fazione) der Büchsenschützen. Hammer I p. 644. cf. p. 657. 14. τοῖς Παίοσιν?

praeest dux insignis nomine Carazies. is autem exercitus distribuebatur per manipulos, qui parvis interstitiis dirimebantur. Asiae quoque exercitus in aciem educebatur et a fronte locabatur, in manipulos segregatus, ut se mutuo adiuvare possint, si quid periculi ab hoste ingruisset. nam equestres copiae non nisi in turmas separatae hosti opponi possunt, cum interim pedestres pulchre in cornua aptari possint, equites vero minime. Pannones interim haud otio torpebant, verum et ipsi aciem exornabant per turmas et tribus suas. Pannones in dextro, Daci in sinistro curabant cornu.

Ioannes Choniates habens Phazen, id est eos qui Bitaxides vocantur, proficiscebatur contra Asiae ducem. plurimi Asiani haud sustinentes Pannonum impetum, antequam ad manus ventum esset, fugam arripiebant. fugientes persequebantur Pannones; tandemque dispersi fugientibus inhaerentes, Asiae exercitum terga dare coegerunt. regi relinquebatur Europaeus exercitus, qui adhuc stabat nec quoquam fugerat, expectans hostem. manifestum enim esse reor, quantisper manserit rex, tantisper etiam Europae exercitum consistere.

θει γάρ γένος, μετά γε Σκύθας τοὺς νομάδας πάντων δὴ μάλιστα ὧν ἡμεῖς ἴσμεν, φεῦγον αὖθις ξυνίστασθαί τε αὐτῷ καὶ ἐπανιέναι ῥᾳδίως καὶ αὖθις ἐς τὴν μάχην, καὶ τρεπόμενον C εὐπετῶς, ὅποι ἂν αὐτῷ λυσιτελοίη. οἱ μέντοι Δᾶκες ἐν τῷ θορύβῳ τούτῳ τῆς μάχης, ὡς ἑώρων τοὺς Ἀσιανοὺς ἐς φυγὴν τρεπομένους, οὐκέτι δὴ ἐνταῦθα ἐπέσχον, ἀλλ' ἐς τοὺς βασιλέως θησαυροὺς τραπόμενοι διήρπαζον τά τε χρήματα καὶ τὸν βασιλέως κοιτῶνα, καὶ τὰς καμήλους ἐφόνευον, ἀλλήλοις διακελευόμενοι. ὡς δὲ ἔργου εἴχοντο καὶ ἱκανῶς εἶχον τῆς διαρπαγῆς, οὐκέτι ἰόντες ἐς μάχην παρετάσσοντο ἐν οὐδενί, ἀλλ' ἐπὶ τὸ ἑαυτῶν στρατόπεδον ἤλαυνον. Ἰωάννης μὲν οὖν, ὡς ἐτρέψατο τῆς Ἀσίας στράτευμα, ἀφίκετο ἐπὶ Λαδίσλαον βασιλέα, παραινῶν αὐτῷ ἵστασθαι καὶ ἱδρῦσθαι κατὰ χώραν, μηδὲ προϊέναι ποι συμβαλοῦντα τοῖς πολεμίοις, D ὡς ἂν ἐπανιόντι κατὰ τοῦ βασιλέως χαλεπὸν ἀποβαίη, καταφυγὴ ἐκ τῆς μάχης γένοιτο. καὶ παρεγγύα μηδενὶ τῶν ἀμφ' αὐτὸν ἐπιτρέπειν ἄλλῃ πῃ ἀπιέναι, ἀλλ' αὐτοῦ μένοντας ἐπι- V. 138 μένειν, ἐς ὃ ἂν μαχεσάμενος καὶ τὸ τῆς Εὐρώπης στράτευμα τρεψάμενος ὑποστρέψηται, καὶ τότε ἐπὶ τὰς θύρας ἅμα, ὑπολειπομένου τοῦ ἀγῶνος τούτου, ἀλῶσι μετὰ ταῦτα, καὶ ἐξεργάσωνται καὶ τοῦτον τελευταῖον ἀγῶνα. ὁ μὲν ταῦτα εἰπὼν ἀπήει συνταξάμενος ἐπὶ τὸ τῆς Εὐρώπης στράτευμα, ὃ ἐπὶ

1. τὸ γένος τοῦτο? 2. αὐτό? 11. οὐδενί] οὐδενὶ κόσμῳ? 15. εἴ τι ἰόντι?

qui etsi hostibus non restiterit, verum in fugam abierit, attamen in regia castra revertitur. nam istud hominum genus novimus post Scythas pastores maxime fugere, seque in fuga facillime colligere et praelium redintegrare. in fugam vero versi facile servantur. Daci inter pugnae tumultum cum cernerent Albanos in fugam effusos, nec sibi temperarunt: verum in regios thesauros conversi eos et regni opes diripuerunt, necnon regium cubiculum, interfectis camelis, cum sese mutuo ad istam rem usque cohortarentur. occupati isto opere cum forent, praedandique iam obrepsisset satietas, haud in praelium redibant, nec ulli parere volebant, sed in castra sua revertebantur. Ioannes cum fugasset Asianum exercitum, accedebat ad regem Vladislaum, eumque diligenter monebat ut eo loci cum suis militibus subsisteret, nec eos quoquam abire pateretur, ut sibi redeunti in pugnam contra Amuratem, si quid periculosius ingruisset, refugium tutissimum, quo se reciperet, esset. praecepit quoque Vladislao ut obtestaretur milites qui secum erant, ne se loco moverent, verum in iisdem vestigiis haerentes expectarent, donec fuso fugato victoque Europae exercitu victor reverteretur, et donec praelium, quod nunc so-

τὸ εὐώνυμον τοῦ βασιλέως παρετάσσετο μέρος, καὶ συμβαλὼν P. 177 ἐμάχετο ἐπὶ χρόνον τινά. ἐγένετο δὲ ἡ μάχη οὕτως. ὡς συμβάλλοιεν οἱ Παίονες ἐς χεῖρας ἐλθόντες, τρεψάμενοι τοὺς Τούρκους ἐδίωκον, ἕως οὗ ἐγένοντο ἀγχοῦ τοῦ στρατοπέδου αὐτοῦ. μετὰ δὲ εὐθὺς συστρέψαντες οἱ Τοῦρκοι ἐδίωκον τοὺς Παίονας χρόνον ἱκανόν, ἄχρις οὗ γένοιντο καὶ οὗτοι ἐν τῷ στρατοπέδῳ αὐτῶν. καὶ ὁπότε μὲν βιασάμενοι οἱ Παίονες τοὺς Τούρκους ἐπικέοιντο διώκοντες, ἐνταῦθα συχνοὶ τῶν Τούρκων ἔπιπτον καταπατούμενοι ὑπὸ τῶν Παιόνων. καὶ μὲν δὴ καὶ Παίονες ἐν τῇ ἀποχωρήσει πολλοὶ ἀπεγίνοντο, ὁπότε δὴ αἰδοῖ ἀποχωροῦντες. ἐν τούτῳ πίπτει Καραζίης τῆς Εὐρώπης στρατηγός, ξίφει Παιονικῷ βληθεὶς κατὰ τὸ B στῆθος, δορατείῳ τραύματι. τὰ γὰρ Παιονικὰ ξίφη σχεδόν τι δή, καὶ τὰ τῆς Γερμανίας ἁπάσης, ἐληλαμένα τυγχάνει ἐπὶ μήκιστον καὶ ὀξέα, οὐ μέντοι τοιαῦτα οἷα καταίροντας κόπτειν ὅτι καὶ ἄξια λόγου, ὡς τὰ βαρβαρικὰ ἢ καὶ Ἰταλικά. τὰ μὲν βαρβαρικὰ τοιαῦτα (Τούρκων δέ ἐστι ταῦτα), βάρος ἴσχοντα πάμμεγα καὶ ἐφ' ἑνὶ ἔχοντα τὴν τομήν, καταβαίνουσί γε μάλιστα δὴ πάντων τῶν ξιφῶν ὧν ἡμεῖς ἴσμεν· δεύτερα δὲ τούτων τὰ Ἰταλικά, Ἑλληνικά ποτε γενόμενα. τὰ δὲ Γερμανικὰ καὶ Παιονικὰ μακρὰ μέν εἰσι καὶ στρογγύλα, τετράγωνα, τὴν τομὴν ὀξέα, ἐς ὀξὺ δὲ πάνυ λήγοντα δόρατος

lum cum ianuis reliquum sit, conficiat. haec cum dixisset, confestim accingebatur ut praelium committeret cum Europae exercitu, qui ad sinistram regis instructus stabat. et manus conserens aliquandiu pugnabat. pugnae autem haec facies erat. cum ventum esset ad manus, Pannones Turcos fugabant eosque usque ad castra persequebantur. Turci conversi deinde Pannones insequebantur: nec a persecutione cessarunt prius quam et eos ad castra compulissent. si quando Pannones victoria fruebantur, Turcos persequebantur acerrime, plurimique cadebant, obtriti a Pannonibus. etiam Pannones aliquando, quamvis plurimi forent, cum rubore retro gradum ferebant. cecidit ibidem Carazies Europae dux, Pannonico gladio transfixus. solent enim Pannonici gladii vulnera dare, quae nihil differunt ab istis quae facere consueverunt hastae. gladii namque Pannonum et Germanorum longi sunt et acuti, nec librato ictu feriunt, quemadmodum barbarici et Italici. barbarici gladii (et eiusmodi utuntur Turci) ponderosi sunt admodum, unaque tantum parte scindunt. nec scio gladios quorum acies altius in corpora penetret. his comparantur gladii Italici, qui quondam Graecis in usu fuere. Germanici et Pannonici gladii longi et rotundi, necnon interdum quadrati sunt: aciem habent acu-

ἐπιφέρουσι τομήν, τοῦ ἐφ' ἵππου κατερειδόντος αὐτὸ ὡς ἐς τὸ τοῦ δόρατος σχῆμα.

Καραζίης μὲν οὖν οὕτως ἐτελεύτησε· περὶ δὲ Λαδίσ- C λαον τὸν Παιόνων βασιλέα ἐγένετο τοιάδε. ἦσαν γὰρ παρ' αὐτῷ ἄνδρες φθονοῦντες καὶ ἀχθόμενοι τῷ Ἰωάννῃ διὰ τὴν ἀρετήν. ὡς ἑώρων αὐτὸν καλῶς διέποντα τὰ ἀμφὶ τὸν πόλεμον, καὶ τρεψάμενον μὲν τὸ τῆς Ἀσίας στράτευμα ἅπαν, μαχόμενον δὲ καὶ πρὸς τὸ τῆς Εὐρώπης γενναιότατα καὶ ἀνελόντα στρατηγὸν αὐτοῦ Καραζίην, ἔλεγον πρὸς βασιλέα τοιάδε. "ὦ βασιλεῦ, τί ἑστηκότες ἐνθάδε ἀναμένωμεν Ἰωάννην τάδε πάντα διαπράττεσθαι, ὡς μόνῳ ἀνδρὶ ὄντι ἐπιτρέποντες αὐτῷ τοὺς πολεμίους διώσασθαι; ἡμῖν γὰρ ἐς αἰσχύνην ἐπιεικῆ τινὰ φέρει πάνυ τοῦτο, ἡμᾶς μὲν ὧδε ἑστηκότας ὁρμᾶν τὸν σὸν δοῦλον μαχόμενον τούτοις τοῖς Τούρκοις. ἐχρῆν γὰρ δὴ βασιλέα ὄντα ἡμῶν σὺν ἡμῖν τοῖς ἀμφὶ αὐτὸν οὖσιν D ἀποδείκνυσθαι ἔργα, οἷα ἐπαινέσαιντο καὶ αἱ γυναῖκες ἡμῶν καὶ οἱ ἐν ταῖς πόλεσιν ἡμῶν, τὴν μάχην πυνθανόμενοι ὡς ἐγένετο, καὶ οἱ πολέμιοι. ἀλλ' οὗτος μὲν τρεψάμενος τοσοῦτον στῖφος ἀνθρώπων ἀποφέρεται δόξαν ἀθάνατον· σοὶ δὲ ἑστηκότι μόνον ἐνταῦθα καὶ ἐφορῶντί θ' ἕκαστα ὄνειδος καταλείπεται ἐς τοὺς ἐπιγινομένους. μηδὲ γὰρ οἴου ὡς ἐπειδὰν τρέψηται τὰ στρατεύματα, αἱ τοῦ βασιλέως θύραι ἐπιμενοῦ-

12. δῃώσασθαι P   14. ὁρᾶν?

tam et in mucronem oblongum desinunt. vulnera infligunt, si quis iis utatur insidens equo, talia qualia hasta dari solet.

Pannonico gladio transfossus expiravit Carazies. nunc quid penes Vladislaum regem Pannonum acciderit dicetur. erant apud hunc regem viri complures, qui invidebant Ioanni Huniadi eiusque virtutem aegris ferebant animis. videntes igitur eum pulchre et decenter bellum administrare, et in fugam egisse Asiae exercitum universum, necnon generosissime dimicare contra Europae exercitum, cuius ducem Caraziem nomine peremerat, sic allocuti sunt regem. "o rex, quid hic consistimus et expectamus Ioannem, eique, quasi solus vir sit, permittimus hostes vincere et reliqua omnia perficere? infamiam maximam nobis importat, dum hic otiosi tempus terimus: servum vero tuum sinimus festinare et pugnare contra hostes. oportebat sane regem nobis adiunctum militaria facta edere, quae plurimum laudis mereantur apud uxores nostras et apud eos qui urbes nostras inhabitant, necnon apud Turcos. verum ille in fugam vertens tantam hominum multitudinem, gloria potitur immortali: tibi autem hic stanti et singula spectanti ignominia relinquitur; quam etiam ad posteros transmittes. nec enim est ut vereare, ianuarum milites nos

σιν ἡμᾶς ἐπιόντας, ἀλλὰ φεύξονται τὸ παραυτίκα ὅποι προ-
P. 178 χωρήσειεν. ἴθι οὖν ἐπὶ τὰς θύρας ἴωμεν τοῦ Ἀμουράτεω· βασιλεὺς γὰρ ὢν προσφέρεσθαι βασιλεῖ δίκαιος ἂν εἴης." ταῦτα ἀκούσαντα τὸν νεανίαν ἐπειδή τε ὁ λόγος ἔργων οἷα μεγάλων ὀρεγόμενος, καὶ ὡς εἶχε τάχους, ἐλαύνει ἐπὶ τὰς βασιλέως θύρας, ᾗ ἑστήκει συντεταγμένος ὡς ἐς μάχην, καὶ
V. 139 τάφρον πέριξ τε ὀρυξάμενος ἐν τῷ στρατοπέδῳ ἐπέμενεν ἰδεῖν ᾗ χωρήσει ἡ μάχη. ὡς δὲ ἐνέβαλεν ἐς τοὺς νεήλυδας, καὶ ἐμάχοντο κυκλωσάμενοι ἐντὸς οἱ νεήλυδες, καὶ ἀπολαβόντες ἐμάχοντο ἀξίως λόγου. ἐνταῦθα πελέκει ὁ ἵππος τοῦ βασιλέως Παιόνων τιτρώσκεται τοὺς πόδας καὶ πίπτει. πεσόντος δὲ οὔτε ᾔσθοντο οἱ ἀμφ' αὐτὸν οὔτε ἑωράκεισαν ὑπὸ τοῦ θορύβου τοῦ ἀμφ' αὐτοὺς γενομένου. ἐνταῦθα ἀφελόμενοι
B τὸ κράνος οἱ νεήλυδες καὶ ἀποτεμόμενοι τὴν κεφαλὴν ἀπήγαγον ἐς βασιλέα. Θερίζης δὲ ἦν τοὔνομα ὁ νέηλυς, ᾧ διὰ τοῦτο ἀνδρεῖόν τι νέον ἐπέτρεψε βασιλεὺς Ἀμουράτης ἔχειν καὶ μεγάλα ἐτίμα. Ἀμουράτης μὲν οὖν ἐνταῦθα λέγεται, ὡς ἑώρα ἐμβαλόντας τοὺς Παίονας καὶ μαχομένους ἀξίως λόγου, ὥρμητο ἐς φυγήν· πρὶν δὲ αὐτὸν ἐς φυγὴν τραπῆναι, τίς ἰδὼν αὐτὸν ἐβλασφήμησε, δεινὸν λογισάμενος εἰ ἐκφύγοι, κατέσχε τε αὐτόν, καὶ μετ' οὐ πολὺ τὴν κεφαλὴν τοῦ βασιλέως Παιόνων ἐς βασιλέα Μουσουλμάνων ἀπήγαγον.

1. προχωρήσαιεν P 4. ἐπειδή τε — ὀρεγόμενον?

pos accedentes fortiter suscepturos, cum ab Ioanne adeo facile Asianus exercitus fugatus sit: verum fugam, ne dubites, inibunt. age igitur, contra ianuas regis pergamus. cum enim sis rex, ut cum rege congrediaris honestum est." haec cum audivisset rex adolescens, (magna enim ista oratio pollicebatur) quam citatissimo agmine contendit ad ianuas, ubi Amurates stabat paratus ad praelium, et fossa munitus expectabat quis praelii eventus esset futurus. Pannones adorti sunt peregrinorum coronam, qui et ipsi fortiter inter castra praelium pro Amurate ciebant. ibi equus, quo vehebatur Pannonum rex, securi feritur, et pedes vulneratus corruit una cum sessore. at qui proxime steterant (tantus praelii tumultus erat) non senserunt casum regis. peregrini victoria potiuntur, caputque Pannonum regis rettulerunt ad Amuratem. nomen autem peregrini qui id facinus memorabile ediderat, erat Therizes; qui insigne virtutis praemium apud regem consecutus est, eumque in maximo honore habuit. ferunt Amuratem, cum Pannones irruerent et fortiter dimicarent, fugam inire statuisse. antequam fugam arriperet, visum esse a viro id moliri regem; qui regem conviciis lacerans, ut qui nequaquam honeste ageret, si fuga sibi consuleret, eum retinuit. nec multo post caput regis Pannonum abscissum allatum est in castra ad regem Musulmanorum.

Οἱ μὲν ἀμφὶ τὸν βασιλέα Παίονες ὡς ἀπήλαυνον, ἐζήτουν τὸν βασιλέα· μετὰ δὲ ταῦτα, ὡς ᾔσθοντο ἐνταῦθα πεσόντος καὶ ἀποθανόντος, ἐνέβαλον μὲν αὐτίκα, πειρώμενοι C ἀνελέσθαι τὸν νεκρόν, οὐ μέντοι περιεγένοντο· ἐπύρωσε γὰρ τοὖργον τοὺς νεήλυδας, καὶ ἐμάχοντο μεγάλως. μετὰ δέ, ὡς οὐκ ἠδύναντο ἀνελέσθαι τὸν νεκρόν, ἀπήλαυνον ἐπὶ τὸ στρατόπεδον. καὶ αὐτίκα ἡ φήμη ἀφικομένη ἐπὶ τὸν Χωνιάτην καὶ ἐς τοὺς ἄλλους τοὺς ἐν ταῖς συντάξεσιν ἔπαυσέ τε μάχης. καὶ ἀποχωροῦντος καὶ ἰόντος ἐν οὐδενὶ κόσμῳ, ἐπυνθάνετο ἕκαστα, οὐκέτι ἤλαυνεν ἐπὶ τὸ στρατόπεδον, ἀλλ' εὐθὺ τοῦ Ἴστρου ἐπορεύετο αὐτός τε καὶ οἱ Δᾶκες, καὶ ὡς εἶχον σπουδῆς, ἔφευγον ἐν οὐδενὶ κόσμῳ καὶ οἱ ἀμφὶ τὸν βασιλέα Παιόνων. ἐν ταύτῃ τῇ ἀποχωρήσει ἐτελεύτησεν ὑπὸ Τούρκων Ἰουλιανὸς καρδινάλιος, ἀνὴρ τὰ πάντα γενόμενος ἄριστος. καὶ ἄλλοι τε ἔπεσον ἐν τῇ ἀποχωρήσει ἄνδρες ἀγαθοὶ D οὐκ ὀλίγοι Δακῶν.

Ἰωάννης δὲ ὡς ἐπὶ τὸν Ἴστρον ἀφίκετο καὶ τά τε στρατεύματα διαβάντα διεσπάρη, ἐνταῦθα, ὡς ἐπορεύετο ὀλίγοις τοῖς ἀμφ' αὐτόν, ἑάλω ὑπὸ Δρακούλεω τοῦ Δακῶν ἡγεμόνος, πολεμίου τε ὄντος. καὶ πρότερον δὲ Ἰωάννης ἠναντιοῦτο αὐτῷ ἐν τοῖς Παίοσι παρὰ βασιλεῖ Λαδισλάῳ, ὅτε τὴν ἔλασιν ἐποιοῦντο ἀπὸ τῆς Δακίας τὸν Ἴστρον διαβαίνοντες, τάς τε κώμας αὐτοῦ ληϊζόμενος, καὶ διέβαλε πρὸς βασιλέα Παιόνων

Pannones cum cederent, regem suum quaeritabant. cum autem comperissent eum in acie cecidisse et obtruncatum esse, in praelium redeunt, volentes mortui corpus tollere; nec tamen Turcos vincere quiverunt. hic rumor ut devenit ad Choniatem et ad reliquos qui hunc comitabantur, excesserunt praelio. cum autem retro cederent et palantes nullo ornatu iter facerent, omnia exacte expiscabantur. rebus omnibus cognitis non ad castra properabant, verum recta ad Istrum contendebant Choniates et Daci. etiam Pannones qui regem secuti fuerant, fugam arripuere, cedentes nullo ordine. in hoc discessu interfectus est ab Turcis Iulianus cardinalis, vir optimus. ceciderunt ibidem et alii boni viri complures. Daci etiam aliquot desiderati sunt.

Ioannes Huniades cum ad Istrum venisset exercitusque traduxisset, dispersi sunt milites. cum ipse stipatus paucis incederet, captus est ab suo hoste Dracule Dacorum principe. nam Choniates antea huic inter Pannones adversatus erat, in conspectu regis Vladislai; et iter faciens ex Dacia et Istrum transiens cum copiis urbes eius diripiebat. praeterea detulit eum apud regem Vladislaum, quasi

ὡς φρονοίη τε τὰ τῶν Τούρκων καὶ Ἀμουράτεω, καὶ ὑποσημαίνοι ἐκείνοις ἅττα τυγχάνοιεν πράττοντες ἑκάστοτε. καὶ
P. 179 συνέλαβε μὲν ὡς ἀπολέσων, μετὰ δὲ διεπράξατο χρήμασι καὶ ἀπελύθη διὰ ταῦτα. πορευόμενον δὲ διὰ τῆς Δακίας εἷλέ τε αὐτόν, τίσασθαι ἐννοούμενος, καὶ καθείρξας εἶχεν ἐν φυλακῇ. οἱ μὲν οὖν Παίονες ὡς οἴκοι ἐγένοντο, πυνθανόμενοι συλληφθέντα τὸν Ἰωάννην, δεινόν τε ἐποιοῦντο καὶ ἀφόρητον ὑπὸ Δρακούλεω συλληφθῆναι ἄνδρα Παίονα καὶ ἐν ἀξιώματι ὄντα. ἔπεμπον δὲ κελεύοντες ἀφιέναι τὸν Ἰωάννην· εἰ δὲ μή, περιέψεσθαι ὡς πολέμιον ἐπιόντες ἐπ' αὐτὸν πανστρατιᾷ. ταύτῃ ὡς ἐπηγγέλλετο αὐτῷ ὑπὸ Παιόνων, δείσας περὶ τοῖς
B αὐτοῦ πράγμασι, μὴ νεώτερόν τι βουληθέντες περὶ τὸν ἄνδρα ἐξέλωσιν αὐτὸν ἐπιόντες οἱ Παίονες, ἀπέλυσέ τε αὐτόν, καὶ φιλοφρονησάμενος προέπεμψεν ἐς τοὺς Παίονας, διὰ τοῦ Πρασοβοῦ ἐς τὸ Ἀρδέλιον. τοῦτον μὲν οὖν οὐ πολλῷ ὕστε-
V. 140 ρον Χωνιάτης, κατάγων Δᾶνον ἡγεμόνα τῆς Δακίας ἐκπεπτωκότα, ἐπεξῆλθε, διαφθείρας αὐτόν τε ἅμα καὶ τὸν παῖδα αὐτοῦ. ὡς γὰρ στράτευμα συναγείρας, κατήγαγεν ἐς Δακίαν τὸν Δᾶνον τὸν Μασαραμπᾶ παῖδα (Ἐκτεπίου καὶ Ἀμύρξεω οὗτος παῖς) σὺν τῷ παιδὶ αὐτοῦ, καὶ παρετάσσετο ὡς ἐς μάχην. παραταττομένων δ' ἀμφοῖν καὶ μελλόντων ἤδη συμβα-

3. συνέβαλε P 10. περιόψεσθαι P ἐπιόντα P 12. βουληθέντα?

faveret Turcis et res Amuratis sedulo adiuvaret, subinde Pannonum consilia iis significando. verum Dracules in eum irruit ira percitus, quasi eum interfecturus. sed pecunia tantum effecit ut incolumis dimitteretur et inviolatus. cum autem iret per Daciam, captus est ab Dracule, a quo in carcerem coniectus est, eum ulcisci in animum cum induxisset. Pannones in patriam reversi cum accepissent Ioannem esse captum, id grave et intolerandum iudicabant: haud enim ferendum censebatur, ut vir Pannonius et in dignitate collocatus ab Dracule caperetur. quapropter miserunt legatos, qui iuberent ut dimitteret Ioannem. sin minus, sciat nos eum pro hoste habituros, et cum universis copiis nostris contra ipsum profecturos. haec cum nuntiarentur a Pannonibus, sibi suisque metuens Dracules, ne quid furiosius consultarent et hostiliter accedentes virum vi eriperent, Choniatem dimittere decrevit. benigneque eum tractans haud cessavit comitari per Prasobum, Ardelium usque ad Pannones. Draculem autem haud multo post Choniates, cum expeditionem pro Dano Daciae principe suscepit, una cum filio peremit. nam conscripto exercitu Danum Masarempis filium in Daciam reducere parabat. at Dracules una cum filio repugnare hostibus statuebat, et praeparabantur ambo ad praelium. et iam ille descenderat in aciem. cumque acies

λεῖν, οἱ Δᾶκες ἀπολελοιπότες ἐν τῇ παρατάξει τὸν Μύρξεω παῖδα ηὐτομόλουν παρὰ Δᾶνον. ὁρῶν δὲ ἐνταῦθα τοὺς Δᾶκας ὡρμημένους ἰέναι ξύμπαντας ἐς τὸν Δᾶνον, ὥρμητο ἐς φυγήν. καὶ ὁ μὲν ἔφευγε, Δᾶνος δὲ ἐδίωκεν ἀνὰ κράτος, καὶ συλλαβὼν ἄμφω ἀνεῖλεν αὐτίκα. C

Οὗτος μὲν οὖν ἐκομίζετο ἐπ' οἶκον, καὶ οὐ πολλῷ ὕστερον στρατηγόν τε εἵλοντο αὐτὸν καὶ ἐπιστάτην τῶν πραγμάτων σφίσιν, ἤδη ὑπό τε Γερμανῶν καὶ Βοέμων πολεμουμένοις, καὶ ἐπέτρεψαν αὐτῷ τὰ πράγματα διαθεῖναι ᾗ ἂν αὐτῷ φαίνοιτο. καὶ στρατόν τε συλλέξας ἐστρατεύετο ἐπὶ Βοέμους, καὶ ἐπολέμει δὴ τούτοις συχνόν τινα χρόνον. καὶ πρὸς Ἴσκραν δέ, ἄνδρα εὐδαιμονοῦντα ἐν στρατηγίαις ἁπανταχῇ, ἐπολέμει, καὶ συμβαλὼν ἡττήθη, καὶ ὕστερον αὖθις ἐπῄει τε συμβαλὼν καὶ περιεγένετο. D

Ἀμουράτης δὲ ὡς τοῦ βασιλέως Λαδισλάου τὴν κεφαλὴν ἀποτεμόμενος ἐπὶ δόρατος περιέπεμπέ τε καὶ ἐπεδείκνυ ἐς τὰ στρατεύματα, συσκευασάμενος ἐντεῦθεν ἐκομίζετο ἐπ' οἶκον. ἔπεσον δὲ ἐν ταύτῃ τῇ μάχῃ Τούρκων μέν, ὡς αὐτοὶ λέγουσιν, ἀμφὶ τοὺς ἑξακισχιλίους, Παιόνων δὲ καὶ πλείους τούτων. ἀπώλοντο δ' οἱ πλείους ἐν τῇ ἀποχωρήσει ὑπὸ Δακῶν.

Ταῦτα μὲν οὖν οὕτω ἐγένετο, καὶ τὰ πράγματα ἐπανῆτ

8. πολεμουμένους P

utrinque instructae constitissent et poscerent praelium, Daci relicto Myrxae filio ad Danum ex acie transfugerant. qui ubi vidit se relicto Dacos transire ad Danum, fugam inibat; quem fuga sibi consulentem Danus quam fortissime persecutus est, comprehendensque Draculem una cum filio utrumque trucidavit.

In hunc modum rebus gestis redibat domum. nec multo post eum ducem et rerum gubernatorem crearunt, cum bello peterentur a Germanis et Boemis, eique res administrare pro suo arbitrio permisere. comparato igitur exercitu profectus est contra Boemos, et longo tempore cum his bellum gessit. tandem collatis signis pugnans cum Iscra, viro in re militari conspicuo, victus est. verum cum denuo cum isto congrederetur, victoriam recepit.

Amurates caput regis Vladislai hastae praefixum cum hinc inde misisset et exercitibus suis ostentasset, collectis omnibus domum reversus est. in eo praelio Turcorum, quemadmodum ab his accepimus, ceciderunt sex millia. verum Pannones aliquanto caesi sunt plures. in discessu etiam plurimi Daci amissi sunt. hunc finem Turcica expeditio sortita est.

Rerum summa rediit ad Amuratem, cum eos qui in Europa erant,

κεν αὖθις τῷ Ἀμουράτῃ, εἰς ἐνδοιασμὸν τοῖς ἀνὰ τὴν Εὐρώ-
P. 180 πην ἀφικόμενα οὐκ ὀλίγον. Θερίζην μέντοι τὸν τὴν κεφαλὴν τοῦ βασιλέως ἀπενεγκάμενον χρήμασί τε πολλοῖς ἐδωρήσατο, καὶ χώραις τε ὕπαρχον ἀπέδειξε. τὸ μέντοι Καραΐζεω σῶμα ἐνεγκάμενος ἐς Ἀδριανούπολιν ἐξήνεγκέ τε αὐτὸς βασιλεὺς μεγάλως καὶ ἔθαψεν ἀξίως λόγου. καὶ Σκοῦραν ἀντ' αὐτοῦ ἐστήσατο στρατηγὸν τῆς Ἀσίας, ἄνδρα Ἀλβανὸν τὸ γένος, ὃν ἀνδραποδισάμενος ἀπὸ τῆς Ἀλβανῶν χώρας ἐξέθρεψέ τε αὐτὸς βασιλεὺς ἐν τῷ οἴκῳ οἱ, καὶ ἀπέδειξε πρῶτα μὲν ὕπαρχον, μετὰ δὲ στρατηγὸν τῆς Ἀσίας. Φατουμᾶν δὲ ἐκβαλὼν ἐκ τῆς τιμῆς (πρυτανεὺς γὰρ ἦν αὐτῷ οἴκου τοῦ βασιλέως)
B Σαραζέην παῖδα τὸ γένος Ἕλληνα ἐς τὴν ἐκείνου ἱδρύσατο χώραν. τὸ κράτος δ' εἶχε Χαλίλης ὁ Πραΐμεω, ἀνὴρ τὰ ἐς σύνεσιν τὰ πρῶτα φερόμενος ταῖς τοῦ βασιλέως θύραις. τὸν μὲν οὖν Φατουμᾶν οὐ πολλῷ ὕστερον συλλαβὼν τὴν οὐσίαν αὐτοῦ ἀφείλετο, ἐς πεντήκοντα καὶ ἑκατὸν μυριάδας, ἀργύρια δ' ἐς τετρακισχίλια τάλαντα.

Τῷ μέντοι Ἑλλήνων βασιλεῖ σπονδαί τε ἦσαν ὑπὸ βασιλέως καὶ οὐκέτι ἐλέλυντο, εἶχέ τε ἥσυχος ἐν τῷ παρόντι καὶ ἐθεράπευε τὸν βασιλέα δώροις, ὥστε μηδὲν αὐτῷ χαλεπὸν ἐπὶ νοῦν βαλέσθαι τὸν βασιλέα Ἀμουράτην. ἦν γὰρ δὴ αὐτῷ διαφορὰ πρὸς τὸν ἀδελφὸν αὐτοῦ Θεόδωρον τὸν νεωστὶ ἀφι-

2. ἀφικομένοις P 4. χώρας?

coeptorum admodum puderet. Therizen, qui Vladislaum obtruncaverat eiusque caput in castra attulerat, Amurates regionibus et opibus plurimis donavit, eumque praefectum constituit. corpus Caraizis ferens Adrianopolim magnifice sepeliri curavit, ipseque exequias honorifice duxit. in huius locum substituit Scuram virum Albanum, ut Asiae dux esset; quem captum abduxit ex Albanorum regione, eumque in sua domo educavit. primum declaravit eum praefectum; postea eum Asiae ducem designavit. Phatumam vero honore sive dignitate sua privans (erat enim regiae domus iudex) Saraxiem, virum Graecum genere, in eius locum subrogavit. potentiam autem maximam tenebat Chatites Priami filius, quo in ianuis regis vir prudentior non erat. nec multo post Amurates Phatumam comprehendi iussit, opesque omnes ei ademit, quarum numerus complectebatur circiter centum quinquaginta myriades auri, argenti autem circiter quadraginta milia librarum.

Graecorum rex in foedus rediit cum Amurate, idque nec amplius violatum est. nam quietem amplexus est, regemque Amuratem muneribus coluit, ut nihil mali contra ipsum amplius moliri instituerat. foeda autem contentio erat inter regem Graecorum et fratrem Theo-

γμένον ἐπὶ Βυζάντιον διαδεξόμενον τὴν ἀρχὴν παρὰ τοῦ ἀδελφοῦ. καὶ ἔπραττεν οὗτος τὰ πρὸς βασιλέα ἐναντιούμε- C νος τῷ ἀδελφῷ, καὶ ὕστερόν τε ἐξηνέχθη αὐτῷ ἐς εὐφανῆ διαφοράν, καὶ ἐστρατεύετο ἐπὶ Βυζαντίου βασιλέα Θεόδωρος ὁ ἀδελφός, τήν τε Σηλυβρίαν ἐπιτετραμμένος καὶ τὴν περίοικον ταύτης. αἰτούμενος γὰρ ἱκανὴν πρόσοδον αὐτῷ ἐς τὸ ἀποζῆν οὐκ ἐτύγχανεν, ὅθεν ἐς πόλεμόν τε καθίστατο τῷ ἀδελφῷ V. 141 καὶ ἐστρατεύετο. ὕστερον μέντοι, πρὶν ἢ ὁτιοῦν διαπράξασθαι αὐτῷ, ἐτελεύτησε νόσῳ λοιμώδει τὸν βίον ἀπολιπών. Κωνσταντῖνος μὲν δή, ὁ τῆς Πελοποννήσου ἡγεμών, τήν τε χώραν τοῦ βασιλέως καταστρεψάμενος, Πίνδον τε καὶ Βοιωτίαν καὶ τοὺς Λοκροὺς τοὺς Ὀζόλας καλουμένους, καὶ τήν τε χώραν ἐδῄου καὶ πολεμῶν οὐκ ἀνίει, ἀλλ' ἐπὶ τὴν Ἀττικὴν ἐστρατεύετο, ὡς καὶ πρότερόν μοι δεδήλωται. ἐνταῦθα πυ- D θόμενος ἕκαστα ὁ βασιλεὺς οὐκ ἠνέσχετο, ἀλλὰ περιαγγέλλων τὸν στρατὸν αὐτῷ παρεῖναι ἐς τὰς Φερρὰς τῆς τε Ἀσίας καὶ Εὐρώπης ἐξήλαυνεν ἀπὸ Ἀδριανουπόλεως. ἀνέγνω δ' αὐτὸν στρατεύεσθαι ἐπὶ Πελοπόννησον καὶ Νέρης ὁ τῶν Ἀθηνῶν τύραννος, οὐχ ἥκιστα δὲ Τουραχάνης ὁ Θετταλίας ὕπαρχος. ὁ μέντοι Κωνσταντῖνος ὡς ἐτείχισε τὸν Ἰσθμόν, ἐνταῦθα ἐκάθητο φυλακὰς ἔχων ἢ ἐγκαθιστὰς εἰς τὸν Ἰσθμόν, καὶ αὐτὸς αὐτοῦ τὰ πολλὰ διατρίβων ἐτύγχανεν. ἐπείτε δὴ ἐπύθετο Ἀμουράτη στρατεύεσθαι ἐπ' αὐτόν, μετεπέμπετο

5. Συληβρίαν P . 17. ἀνέγνωσε? . 21. ἢ?

dorum coorta, qui Byzantium venerat ut regnum a fratre susciperet. is se pro rege gerebat, fratrique resistebat. postremo ex aperto inter se hostiles inimicitias gessere. nam expeditionem sumpsit adversus Byzantii regem Theodorus frater, cui Selybria et regio finitima commissa erat. cum enim peteret reditus sufficientes, quibus vitam suam commode sustinere posset, repulsam passus est. hinc bellum inter ipsum et fratrem est exortum. prius tamen quam quicquam bellando profecisset, vitam suam aerumnosam relinquens mortuus est, duce interim Peloponnesi incursionem faciente in regionem regis, suaeque dicioni Pindum Boeotiam Locros, qui Ozolae dicuntur iungente, neque ab Attica etiam abstinente. ea ubi accepit Amurates, haud diutius cunctandum sibi ratus praecepit ut Asianus et Europaeus exercitus ad se Pherras, relicta Adrianopoli, venirent. incitavit autem eum Nerius Athenarum princeps, necnon Turachanes Thessaliae praefectus, ut exercitum recta ad Peloponnesum ductaret. Constantinus Isthmum muro includens, eundem etiam praesidiis emuniens, plerumque ibi versabatur. ubi intellexit Amuratem hostiliter cum exercitu accedere, omnes quotquot in Peloponneso erant accer-

P. 181 αὐτοῦ σύμπαντας τοὺς ἐν τῇ Πελοποννήσῳ, καὶ τόν τε ἀδελφὸν αὐτοῦ ἅμα, ὃς ἐτύγχανε γάμον ἔχων τῆς παιδὸς αὐτοῦ· ἡρμόσατο γὰρ ἤδη τῷ Τριβαλλῶν ἡγεμόνι παιδὶ Ἐλεαζάρῳ. οὗτοι μὲν οὖν ἐς τὸν Ἰσθμόν, ᾗ ἐπηγγέλλοντο, παρῆσαν, καὶ τὸ τεῖχος ἐκράτυνον, ᾗ ἐδόκει αὐτοῖς ἰσχυρῶς ἕξειν ἀμυνομένους. Ἀμουράτης δὲ ἐπελαύνων, συμπαραλαμβάνων καὶ τὰ στρατεύματα τῆς χώρας ὅποι γένοιτο, παρῆν ἐς τὰς Θήβας, ὅτε καὶ ὁ Νέρης αὐτῷ παρεγένετο, στρατὸν ἀγόμενος ἀπὸ Ἀθηνῶν. ἐλθὼν δὲ ἐπὶ τὰς Μιγγίας ἐστρατοπεδεύετο, καὶ τηλεβόλους τε καὶ πλοκάδια παρασκευαζόμενος ἐπὶ ἡμέρας
B τινάς. μετὰ δὲ ταῦτα ἐπικαταβὰς εἰς τὸν Ἰσθμὸν ἐστρατοπεδεύετο, ἀπὸ θαλάττης εἰς θάλατταν καθήκοντος τοῦ στρατοπέδου καὶ τῶν σκευῶν. ἐνταῦθα κατάσκοπος τῶν Πελοποννησίων, ὡς ὑποστρέψας ἀπήγγειλε τό τε πλῆθος τοῦ βασιλέως καὶ ὑποζύγια καὶ καμήλους, καὶ οὐκ ἠνέσχετο σιγῇ παρελθεῖν, ἀλλ' ἐπὶ τὸν ἡγεμόνα ἔλεξε τοιάδε. "ὦ δέσποτα, οἷα δὴ κακὰ εἰργάσω τὴν Πελοπόννησον πόλεμον τοιούτῳ βασιλεῖ ἀνελόμενος, ὃς τήν τε Ἀσίαν σύμπασαν καὶ Εὐρώπην ἄγων οὐδ' ὅποι στήσεται ἕξει, οὐδ' εἰ διπλοῦν σοι τεῖχος ἐς τὸν Ἰσθμὸν ἐληλαμένον εἴη. ἀλλὰ πρὸς θεοῦ πρέσβεις τε
C πέμπε ὅτι τάχιστα, καὶ ἐς διαλλαγὴν προκαλοῦ τὸν βασιλέα τοῦτον, ὡς ἂν μὴ ἡμᾶς κακοὺς κακῶς ἐπιτρίψῃ τὸ παράπαν."

sivit, necnon fratrem suum, qui eo tempore nuptias filiae suae concelebrabat. nam eam elocaverat Triballorum principis filio Eleazari. hi igitur accersiti in Isthmum adveniunt, murumque firmant, ut esset propugnaculum munitissimum ad propulsandos hostes. Amurates accedebat, et non cessabat copias suas augere, assumens ex omnibus regionibus, quas permeabat, milites. venit igitur Thebas, quo venerat cum exercitu Nerius Atheniensis, ut iuvaret eum adversus Peloponnesiacos. cum itaque pervenisset Mingias, castrametatus est; ibique aliquot diebus moratus est, ut bombardas et funes ad praesens bellum pararet. deinde movit in Isthmum, ubi et castra communivit, quae utrinque mare, tanta eorum magnitudo erat, attingebant. speculator Peloponnesiacus cum rediisset ad suos, regis copias, iumenta et camelos annuntiavit. nec silentium tenere potuit, verum sic allocutus est principem "o domine, quantum periculi concivisti Peloponneso bellum suscipiens cum tanto rege, qui Asiam universamque Europam contra nos ducens non satis spatii ad exercitum locandos invenire potest? neque hostem sustinere poteris, etiam si duplici muro Isthmum amplexus esses. sed quaeso te per deum immortalem, legatos mitte quamprimum, et ad pacem pangendam regem hortare, ne infestus accedens nos malos prorsus male comminuat."

ταῦτα εἰπόντος αὐτοῦ θυμωθῆναί τε τὸν ἡγεμόνα, καὶ θυμωθέντα κελεῦσαι ἐς εἱρκτὴν ἀγαγεῖν τὸν ἄνθρωπον, ὡς ἂν ταῦτα πύθοιτο οἷα ἀποβαίνοι. ἔτυχε δ' αὐτῷ πρέσβυς ἀπεσταλμένος παρὰ βασιλέα, οὐ μέντοι μέτρια ἐζήτει γενέσθαι αὐτῷ· ἠξίου τε γὰρ τόν τε Ἰσθμὸν ἑστηκέναι αὐτῷ, καὶ τὴν ἐκτὸς χώραν τοῦ βασιλέως, ὅσην ὑπηγάγετο, ἔχειν αὐτῶν. καὶ αὐτὸς μὲν διὰ ταῦτα τὴν δίκην ὑπέσχεν ὑπὸ βασιλέως, τόν τε πρέσβυν καθείρξας ἐν Φερραῖς εἶχεν ἐν φυλακῇ, αὐτὸς δὲ ἤλαυνεν ἐπὶ Πελοπόννησον μέσον χειμῶνος. ἦν δ' ὁ πρέσβυς D Χαλκοκονδύλης Ἀθηναῖος. τοῦτον ἐν Φερραῖς καθείρξας αὐτόν τε καὶ τοὺς θεράποντας ἐπήλαυνε. δοκεῖ δέ μοι Ἀμουράτης, ὡς ἐν Μιγγίαις ἐστρατοπεδεύετο, καὶ τοὺς ἀρίστους παραλαβὼν τοῦ στρατοῦ (εἴησαν δὲ οὗτοι ἀμφὶ τοὺς ἑξακισχιλίους), περιιὼν τὸν Ἰσθμὸν ἐθεᾶτο· ὡς ἔχει τε φυλακῆς τὸ τεῖχος καὶ παρασκευῆς ἐς τὸν πόλεμον. καὶ ἤχθετο μὲν V.142 τῷ Τουραχάνῃ, ὅτι θέρους στρατεύεσθαι πρὸς τὴν . . . . ἐν αὐτῷ, λέγων ὡς οὐχ ὑπομενοῦσιν ἐπιόντα αὐτόν, ἀλλ' οἰχήσονται φεύγοντες, ἐπειδὰν τὸ πρῶτον πύθωνται ἀφικέσθαι P.182 αὐτὸν ἐπὶ τὸν Ἰσθμόν. καὶ ἐπέμενέ τε ἡμέρας συχνὰς ὡς ἐνδώσοντος διὰ ταῦτα τοῦ Πελοποννησίων ἡγεμόνος. καὶ ἐπεί τε παρεληλύθασιν ἡμέραι, ἐπικαταβὰς ἐς τὸ τεῖχος ἐστρατοπεδεύετο. τῇ μὲν ὑστεραίᾳ τηλεβόλοις μακροῖς ἔτυπτε τὸ

6. αὐτόν?

his auditis princeps ira exarsit; iraque incensus speculatorem in carcerem duci iubet, ut tandem quid eventurum esset audiret. misit quoque legatum ad regem, qui nequaquam nomine principis satis moderata petebat. volebat namque princeps sibi tradi Isthmum, et regis regionem quae extra Isthmum erat, quam armis subegerat, universam habere avebat. verum propterea poenas regi dedit, legatumque capiens Pherris in vinculis habuit; ipseque, cum medium hiemis foret, contra Peloponnesum copias duxit. legatus ille Chalcocondyles Atheniensis fuit, quem cum in vincula una cum ministris dedisset, Pherris contra Peloponnesum perrexit. Amurates cum in Mingiis castra posuisset, optimates exercitus, qui numero erant sex mille, assumsit; et Isthmum circuivit, ut videret murum, numquid praesidii in eo situm esset ad resistendum. et quidem graviter succensebat Turachani, quia cum ipse censuisset aestate bellum inferendum esse, is hieme rem incipiendam suasisset, quasi Peloponnesiaci non essent vim hostilem expectaturi, verum continuo fugam ingressuri, ubi primum accepissent Amuratem hostiliter accedere. diebus etiam aliquot ea gratia cunctatus est Amurates, quasi princeps Peloponnesi illico deditionem esset facturus. verum cum haec spes fefellisset, descendens

στρατόπεδον τοῦ ἡγεμόνος· τῇ δ' ἐπιούσῃ ἀπεπειρῶντο τῶν ἐν τῷ τείχει, καὶ προσέφερον τὰς μηχανάς. τῇ δὲ τετάρτῃ ἑσπέρας πυρὰ ἀψάμενοι κατὰ τὸ στρατόπεδον, ὡς πλεῖστα ἕκαστος πρὸς τὴν ἑαυτοῦ σκηνήν, — εἰώθασι γὰρ οὕτω τὸ γένος τοῦτο τῶν Τούρκων, ἐπειδὰν ἐς μάχην μέλλωσιν ἰέναι· πρότριτα ἤδη τῆς ἡμέρας ᾗ ἐς τὴν μάχην καθίστανται, πυρά τε καίουσιν ἀνὰ τὸ στρατόπεδον ὅτι πλεῖστα ἕκαστος, B καὶ ὕμνον τινὰ ἀναφαίνουσι τῷ θεῷ καὶ τῷ ἥρωι, δῆλον ποιούμενοι ὡς ἂν μάχην τῇ ὑστεραίᾳ τῆς ἐπιούσης καθίστανται. καὶ τότε δὴ πυρὰ ποιησάμενοι παρεσκευάζοντο ἐς τειχομαχίαν. τῇ δὲ πέμπτῃ ἡμέρᾳ ἑσπέρας τάς τε μηχανὰς προσέφερον, καὶ ὑπὸ πλόκου οἱ σαραχόριδες καλούμενοι, ὁ ἀχρεῖος λοιπὸς ὅμιλος τοῦ λαοῦ. πάρεξ γὰρ τοῦ στρατοῦ ὃς ἑπόμενος τῷ βασιλεῖ τούτῳ στρατεύεται, ἐπάγονται ὅμιλον τά τε σιτία φέροντα ἀπὸ τῶν περιοίκων καὶ τῆς ἄλλης τοῦ βασιλέως χώρας. ἕτεροι ἄλλοι δ' αὖ οἱ Ἀσιανοὶ ἀγιάδες καλούμενοι, πεζός τε ὅμιλος ἐπί τε τὰς χρείας τοῦ στρατοῦ C χρώμενος διατελεῖ, καὶ ἐς τὴν τῶν ὁδῶν κάθαρσιν ἄγεται τούτους καὶ ἐς τὰ στρατόπεδα. δοκεῖ δὲ τὸ τοῦ βασιλέως τοῦτο στρατόπεδον κάλλιστα πάντων δὴ στρατοπέδων ὧν ἡμεῖς ἐθεασάμεθα καὶ ἀκοῇ ἐπυθόμεθα, τά τε περὶ τὰς σκηνὰς καὶ ἐς τὴν τῶν σιτίων ἀφθονίαν κράτιστα μηχανήσασθαι. πρῶ-

3. πυρὰν P 9. ἂν] ἐς? 10. πυρὰν P 15. φέρονται P

castra ad murum transtulit. die deinde postero princeps exercitum bombardis longis petivit. sequenti die eos qui murum defensabant, tentarunt machinas muro admoventes. quarto die tempore vespertino singuli iuxta tabernacula sua ignes fecerunt quam potuere maximos. nam Turcorum est consuetudo, ut ignes plurimos parent biduo ante eius diei in quem pugna collata est. hymnum quendam canunt in honorem dei et herois, significantes quod tertio abhinc die praelium committere velint. tunc igitur ignes excitantes quam potuere plurimos, accingebantur ad oppugnationem muri. quarto autem die Sarachorides, qui inter caeteros inutilis sunt turba, funibus machinas ad murum traxerunt. nam praeter exercitum qui regem sequuntur, adsunt et alii complures, qui frumentum a finitimis in castra subvehunt. sunt in castris et alii ex Asia oriundi pedites, qui Agiades nominantur, quorum opera rex utitur ad itinera purganda et ad castra communienda, necnon ad alia quibus in castris opus est. arbitror autem castra huius regis pulcherrime omnium, quae nos vidimus et audivimus, instrui, quantum attinet ad copiam frumenti necnon ad situm tabernaculorum. nam primum omnium mercatores plurimi comitantur regem istum, qui frumentum equos mancipiaque

τον μὲν γὰρ δὴ ἀγορασίαι ἕπονται τῷ βασιλεῖ μεγάλαι ἔς τε τὰ σιτία καὶ τοὺς ἵππους καὶ ἐς τὰ ἀνδράποδα καὶ ἐς τὴν τοῦ στρατοῦ χρείαν, ὅτου δ' ἄν τι ἐπιδέοιτο, ἐνταῦθα ἀφθόνως τε πολλῶν ἐς τοῦτο παραγινομένων. μετὰ δὲ ταῦτα οἱ τῶν μεγάλων ὅσοι ἕπονται τῷ βασιλεῖ, ὑποζύγιά τε πάμπολλα ἕκαστος περιάγει ἐς τὴν ἐξέλασιν, οἱ μέν τε καμήλους σιτίων καὶ ὅπλων καὶ κριθῆς τῆς ὑποζυγίων τροφῆς ἱκανὰς ἔχοντες, οἱ δὲ ἡμιόνους, οἱ δὲ συναμφότερα, οἱ δὲ καὶ ἵππους, ὥστε D διπλάσια γίνεσθαι τὰ ὑποζύγια τοῦ στρατοῦ. πάρεξ δὲ τούτων περιάγει ὅμιλον ἀπὸ τῆς χώρας αὐτοῦ σιτίων τε ἕνεκα, καὶ ἐπειδὰν ἐς ἀνάγκην καταστῇ τὸ στρατόπεδον, ἐπιδιελόμενος τοῖς ἀρίστοις τὴν τροφὴν οὕτω χωρεῖ ἐφ' ὅ τι ἂν γένοιτο. σκηνὰς δὲ ἔτι ἐν τῷ στρατοπέδῳ τοῦ βασιλέως ἴδοι ἂν τις ἐς μυρίας, καὶ πλείους καὶ ἐλάσσους τούτων, ὡς τυγχάνει στρατευόμενος.

Τότε μὲν δή, ὡς ἐτάχθησαν σαραχόριδες ἐς τοὺς Ἕλληνας, ἐπειρῶντό τε αὐτῶν καὶ ἐμάχοντο ὡς . . . τῆς ἐρεθίζοντες ἐπὶ μάχην καὶ ἐπαγρυπνοῦντες. ὡς δὲ ἠώς τε ἤδη 1446 ὑπέφαινε, κύμβαλά τε καὶ αὐλικὰ καὶ σάλπιγγες τοῦ βασι- d. 7 Dec. λέως (καταφανεῖς δέ εἰσι τῷ μεγέθει τῶν ἠχῶν) ἀναδηλῶν P. 183 ὡς μάχη τε ἤδη γίνεται. καὶ ἕκαστοι παρασκευασάμενοι ἐπῄεσαν ἐς τὸ τεῖχος, αὐτίκα τειχομαχοῦντες κατὰ τὸ ἰσχυρόν. βασιλεύς τε αὐτὸς καὶ οἱ νεήλυδες κατὰ τὸ μέσον τοῦ Ἰσθ-

4. πολλῷ P 20. ἀνεδήλουν?

emunt, necnon reliqua quibus indiget exercitus. hinc rerum omnium exercitui dives copia est. praeterea magnates qui comitantur regem, singuli plurima in expeditionem adducunt iumenta. quidam adducunt camelos, qui arma frumentum et hordeum, ut pabulum sit iumentis sufficiens, portant. quidam equos, quidam mulos, quidam tam equos quam mulos in expeditionem agunt. horum autem tantus est numerus ut duplo iumentorum numerus hominum numerum exsuperet. comitantur regem alii plurimi ab sua regione, quorum usus in frumentationem maximus est. si necessitas aliqua ingruerit exercitui, alimenta in optimates distribuit, et sic proficiscitur. tentoriorum quis cernat in castris regis plerumque decem milia, plus minusve respectu expeditionis.

Eo quidem tempore sarachorides oppositi Graecis eos pugnando tentabant * * * totamque noctem ducebant insomnem, ut ad praelium Graecos incitarent. ut aurora illuxit, signa canere iubet rex: cymbala cornua tubaeque pugnam iam fore maximo sono significabant. Turci instructi occipiebant murum oppugnare quam fortissime. rex et peregrini armati in acie instructa stabant in medio Isthmi, ubi

μοῦ, ᾗπερ ἐσκήνουν, καθίσταντο ἐς μάχην, καὶ κλίμακάς τε
προσέφερον, καὶ διορύσσοντες τὸ τεῖχος ἠγωνίζοντο ὡς ἐξαι-
ρήσοντες. καὶ τούς τε τηλεβολίσκους ταύτῃ ταξάμενος οὐκ
V. 143 εἴα τοὺς Πελοποννησίους προκύπτειν. δεινὸν γάρ τοι ὁ τη-
λεβολίσκος, καὶ οὐδὲν τῶν ὅπλων ἀντέχει ὥστε μὴ διαχωρεῖν
διὰ πάντων καθικνούμενος. δοκεῖ δὲ κἀπειδάν τι αὐτῷ ἀν-
τέχῃ, τότε δὴ μάλιστα καθικέσθαι ἐπὶ πλέον, ἐπεὶ ἔς τε βάμ-
B βακα καὶ κρόκην καὶ τὸ ἔριον οὐκ ἂν οὕτω καθίκοιτ' ἂν ἐπὶ
πολύ. ἐπεὶ δ' ἐν ἀδείᾳ τε ἐγένοντο οἱ νεήλυδες, καὶ τάς τε
κλίμακας ἐς τὸ τεῖχος ἐνεγκάμενοι ἀνέβαινον, καὶ ὑπερέβησαν
ταύτῃ ᾗ ἐθεᾶτο ἑστὼς ὁ βασιλεύς, ἀνέβη ἐπὶ τὸ τεῖχος νέηλυς
Χιτήρης, Τριβαλλὸς τὸ γένος, καὶ εἷλέ τε τὸ τεῖχος, καὶ τοὺς
ταύτῃ διωσάμενος ἐς φυγὴν ἐτρέψατο. οἱ δὲ ὡς ἀπολιπόντες
τὴν τάξιν κατέβαινον ἐνταῦθα, καὶ πλησίον ἐς δέος τε ὑπὸ
θεοῦ καθίσταντο καὶ ἀπειρίας, καὶ οὕτω ἐποίουν· φεύγοντες γὰρ
ᾤχοντο. καὶ οἱ παρὰ τούτους αὖθις τεταγμένοι, οὐκ εἰδότες
ὅ τι ξυμβαίνει χαλεπόν, ᾤχοντο φεύγοντες. καὶ οὕτω πάντες
ἀπολιπόντες τὸ τεῖχος ἔφευγον οὐδενὶ κόσμῳ. οὗτοι δ' οἱ
C Τοῦρκοι ἐπεισπεσόντες ταύτῃ τε ᾗ ἑάλω ὑπὸ τοῦ νεήλυδος,
καὶ τῇ ἄλλῃ ᾗ κατέβαλλον διορύσσοντες, καὶ διὰ τῶν πυλῶν
εἰσεχέοντο καὶ ἔτρεχον. καὶ οἱ μὲν ἐπὶ τὸ στρατόπεδον τῶν
Ἑλλήνων τραπόμενοι διήρπαζον τὰ τῶν Ἑλλήνων ἔπιπλα,
ἐσθῆτάς τε καὶ τὴν ἄλλην εὐδαιμονίαν· οἱ δὲ ἐπὶ τοὺς ἄν-

14. καὶ] καὶ οἱ? 18. οὕτω?

castra posuerant. scalas expediebant, murum suffodiebant, fortiterque praeliabantur, ut murum occuparent. huc etiam bombardarios consistere iusserat, qui bombardis prospectum Peloponnesiacis adimebant. bombarda namque res est admodum violenta, nec arma resistere bombardae impetui possunt, verum omnia penetrat. tum etiam magis permeat, quando corpus aliquod resistens fuerit nacta, si quidem crocum lanamque non pervadit. cum peregrini iam tuti ab periculo starent scalasque muro addidissent, murum scandebant eo loci ubi spectator oppugnationis aderat rex. primus itaque in murum evasit, eumque cepit peregrinorum de numero Chiteres, Triballus genere; eosque qui resistebant, in fugam coniecit. hi autem ordine relicto abibant, cum metus maximus ab deo et imperitia ipsis incuteretur: nam formidine agitati in fugam effundebantur. praeterea illi qui his proxime steterant, nescii quid mali suis accidisset, fugientes abibant. tandem omnes deserto muro sine ordine fugerunt. Turci irruentes, qua murus ab Chitere superatus erat, et alii qua murum suffodientes straverant, necnon per portas irrumpebant. quidam ad castra Graecorum ferebantur, Graecorumque sup-

δρας τραπόμενοι τοὺς μὲν αὐτῶν ἔφθειρον τοὺς δὲ καὶ ἐζώγρουν, ἐς ἀνδραπόδων μοῖραν τιθέμενοι. καὶ φόνος τε ἦν πολὺς τῶν φευγόντων.

Περὶ δὲ τοὺς τῶν Ἑλλήνων ἡγεμόνας τοιάδε ἐγένετο. ὡς γὰρ ἑώρων φεύγοντας τοὺς Ἕλληνας ἀνὰ κράτος καὶ οὐδενὶ κόσμῳ, ἐπειρῶντο μὲν πρώτιστα κατέχειν, ὡς δ' οὐκ ἠδύναντο, καὶ αὐτοὶ φεύγοντες ᾤχοντο, ἐπὶ μὲν Κόρινθον οὐκέτι (ᾔδεσαν γὰρ ὡς πολιορκησόμενοι ἁλώσοιντο ἐνταῦθα, τῆς τε D τροφῆς ἱκανῆς οὐκ οὔσης ἐν αὐτῇ καὶ ἄλλης παρασκευῆς), ἐπὶ δὲ τὴν μεσόγαιον ἐπειγόμενοι ἔφθασαν γενόμενοι ἐπὶ τὴν ἄκραν Λακωνικὴν τῆς Πελοποννήσου, καραδοκήσοντες ᾗ μέλλει χωρήσειν ὁ βασιλεύς. αὐτοί τε γὰρ ἐς τὴν θάλασσαν διενοοῦντο ἐς τὸ πρόσω πίπτειν, ὡς ἢν ἐπίῃ ἐλαύνων, ἐς τὴν θάλασσαν ἀφιξόμενοι καὶ ὑπεκστησόμενοι τῆς χώρας αὐτῷ. ᾔδεσαν γὰρ ὡς τῷ Ἰσθμῷ τὰ Πελοποννήσου πράγματα διεφθάρη ὑπὸ τοῦ βασιλέως, καὶ ὅπλα καὶ ἄνδρες καὶ οὐδὲν ὅ τι ἄξιον λόγου ὑπελείφθη ἐν ταῖς πόλεσιν ἢ ἀκροπόλεσι, καὶ οὐκέτι ἤλπιζον περιέσεσθαι σφίσι τὴν ἀρχὴν τοῦ λοιποῦ, ἀλλ' οἴχεσθαι σφίσι τὰ πράγματα ἀπολλύμενα. P. 184

Ἀμουράτης δὲ ὡς κατέσχε τὸν Ἰσθμόν, καὶ ἐπεὶ ἐγένετο ἐντὸς τῆς Πελοποννήσου, πρῶτα μὲν ἐς τριακοσίους τῶν αἰχμαλώτων, οὓς ἀποφυγόντας τῆς νυκτὸς ταύτης ἐς τὸ ὄρος τὸ

11. καραδοκήσαντες P

pellectilem et reliquam felicitatem diripiebant. quidam versi in hostes quosdam necarunt, quosdam vivos ceperunt, et ad mancipiorum condicionem redegere. caedes fugientium edebatur maxima.

Verum quid Graecorum ducibus contigerit, audiamus. hi ubi conspicati sunt Graecos fugam arripere, primo eos retinere conabantur. cum autem in fugam effusos inhibere non possent, aufugerunt et ipsi, non tamen Corinthum. certi enim erant, si obsiderentur Corinthi, se facile expugnatum iri, cum haud sufficiens eo comportatus esset commeatus, nec alius belli apparatus. celeri autem fuga contenderunt ad mediterraneam regionem; iamque praevenerant hostes, et in summa Laconia Peloponnesi expectabant quonam profecturus esset rex. decreverant namque in mare profugere et regione cedere, si Amurates cum exercitu adventaret. noverant namque Peloponnesiacorum res ab rege planissime contusas esse. nec arma nec viri, nec quicquam amplius memoratu dignum vel in urbibus vel in arcibus reliqui erat. nec sperabant in posterum Peloponnesi principatum sub se futurum, sed augurabantur se Peloponnesi res omnes amissuros.

Amurates ut Isthmum occupavit et in Peloponnesum venit, primum quidem circiter trecentos captivos, qui nocturna fuga in montem

ὑπὲρ τὰς Κεγχρέας, ὀξὺ δὲ καλούμενον, κυκλωσάμενοι εἷλον
ἀπάτῃ πάντας, εἰς ἕνα χῶρον ἀπαγαγὼν κατέσφαξε· μετὰ
δὲ ὠνησάμενος ἀνδράποδα ἐς ἑξακόσια θυσίαν ἀνῆγε τῷ
ἑαυτοῦ πατρί, ἐξιλεούμενος τῷ φόνῳ τῶν ἀνδρῶν τούτων.
ἐντεῦθεν δὲ ἐπιδιελόμενος τὸ στράτευμα, καὶ τὸ μὲν παρα-
B δοὺς Τουραχάνῃ τῷ Θετταλίας ὑπάρχῳ ὡς ἐμπείρῳ τε ὄντι
καὶ μάλιστα δὴ Τούρκων ὡμιληκότι τῇ Πελοποννήσῳ, καὶ τῶν
νεηλύδων ἀμφὶ τοὺς χιλίους, ὡς διὰ τὴν μεσόγαιον ἐλαύνειν,
αὐτὸς δὲ διὰ τῆς Σικυῶνος ἤλαυνεν εὐθὺ τῆς Ἀχαΐας. ἀφι-
κόμενος δὲ ἐς Σικυῶνα, τὴν μὲν πόλιν, ἐν ᾗ ἡμέρᾳ ὁ Ἰσθ-
μὸς ἑάλω, ἐπέδραμέ τε ὁ στρατὸς τοῦ βασιλέως, καὶ ἠνδρα-
ποδίσατο σύμπασαν ἄρδην τὴν πόλιν. ἀπόντων δὲ τῶν ἀν-
δρῶν ἐς τὸν Ἰσθμόν, καὶ οὐδὲ ἐν ὀχυρῷ ᾠκημένης τῆς πό-
λεως, ταύτην μὲν εὐθὺς τότε ἠνδραποδίσαντο, καὶ ἐπὶ πλεῖ-
στον ἤλασαν τῆς Πελοποννήσου, τούς τε ἡγεμόνας διώκοντες
C καὶ τοὺς ἄλλους Ἕλληνας, ὡς ἄλλος ἄλλῃ ᾤχετο φεύγων. τὴν
V. 144 μὲν πόλιν κενήν τε κατέλαβε, καὶ τὴν ἀκρόπολιν ἐπολιόρκει.
ἐνῆσαν δ' αὐτόθι Μουλγέριός τε Ἕλλην καὶ ἄλλοι μετ' αὐ-
τοῦ τινὲς Ἑλλήνων οὐ πολλοὶ σὺν γυναιξί τε ἅμα καὶ παι-
σίν. ἐπεὶ δ' ὑπορύξας ἔθει τὴν ἀκρόπολιν, ἐνταῦθα ἐς ὁμο-
λογίαν ἀφικόμενος ὁ τῆς ἀκροπόλεως φύλαξ παρέδωκέ τε
αὐτὸν καὶ τὴν ἄκραν. τούτους μὲν δὴ καὶ γυναῖκας καὶ παῖ-

supra Cenchreas situm, quem Oxi vocant, evaserant, quasi indagine circumdari iussit. omnes capti sunt; doloque in unum locum abducti, crudeliter occisi sunt. postea Amurates emit mancipia numero sexcenta, quae ad sacrificium duxit in honorem patris sui, volens eum expiare caede virorum occisorum. his ita peractis exercitum divisit. partem exercitus Turachani Thessaliae praefecto tradidit, qui rei militaris habebatur peritissimus et plurimum conversatus erat cum Turcis Peloponnesi. dedit eidem de numero peregrinorum mille milites, ut his instructus profectionem per mediterraneam regionem faceret. ipse quidem rex per Sicyonem iter faciens recta in Achaiam contendit. urbem eo die, quo Isthmus in potestatem venit, regius exercitus aggressus est; captamque diripuit universam. aberant enim oppidani, profecti in Isthmum. nec admodum in munito loco urbs sita erat. quapropter eam continuo diripuere: et maximam Peloponnesi partem peragrantes, persecuti sunt bello duces et reliquos Graecos. cum autem hostium alius alio, ubi se tutum putabat, palantes dilaberentur, urbem defensoribus vacuam in potestatem redigit, obsidioneque arcem premere statuit. erant in ea arce Mulgerius Graecus et alii quidam Graeci non multi cum liberis et uxoribus. Turci igitur suffodientes arcem, cum Mulgerius

δας ἐς Ἄγγιον πόλιν εὐδαίμονα ἀπέστελλε, τῆς δὲ πόλεως ἐνεπίμπρα τε τὰς οἰκίας. καὶ τοῦ πρόσω ἐχόμενος ἀφίκετο ἐπὶ Πάτρας τῆς Ἀχαΐας πόλιν εὐδαίμονα. ταύτην μὲν οὖν ἐξέλιπον οἱ ἄνδρες ἐς τὴν καταντικρὺ ἤπειρον τῶν Οὐενετῶν, D
καὶ πλὴν τῶν ἐν τῇ ἀκροπόλει καὶ ἐν τοῖς βασιλείοις, οἳ ἐναπελείφθησαν ἀφροσύνῃ χρησάμενοι, οἱ δ' ἄλλοι πάντες ᾤχοντο φεύγοντες. ἦσαν δ' οἱ ἐναπολειφθέντες ἐς τετρακισχιλίους. τοὺς μὲν οὖν τῶν βασιλείων ἄνδρας τε καὶ γυναῖκας παρεστήσαντο ὁμολογίᾳ, καὶ ἐς ἀνδράποδα διελόμενος τήν τε ἀκρόπολιν ἐπολιόρκει καὶ τούς τε νεήλυδας ἔπεμψεν ὡς ἑλοῦντας. καὶ οὗτοι προσέβαλλόν τε τῷ τείχει καὶ ὑπορυξάμενοι εἰσέπιπτον. οἱ δὲ Ἕλληνες ῥυτίνην καὶ πίσσαν πυρὶ ἁψάμενοι κατὰ ὀπὴν τούς τε νεήλυδας ἐξεκρούσαντο ἀμυνόμενοι καὶ P. 185
ἐκράτυνον τὴν ἀκρόπολιν. Ἀμουράτης μὲν δή, ὡς Τουραχάνης ἐντεῦθεν ἀφικόμενος καὶ ἀνδράποδα ὡς πλεῖστα ἀγόμενος παρεγένετο αὐτῷ, ἐνταῦθα ἐπαναζεύξας ἀπήλαυνε. μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕστερον σπονδάς τε ἐποιήσατο, καὶ ὑπόφορον ἔσχον τὴν Πελοπόννησον τὸ ἀπὸ τοῦδε οἱ Ἕλληνες μέχρι τούτου, τὸ πρὶν ἐλευθέραν οὖσαν. τὴν μὲν οὖν πόλιν τῶν Θηβῶν πειρώμενον ἐπιέναι βασιλέα ἐπὶ Πελοπόννησον ἐξέλιπόν τε, καὶ τοὺς ἄνδρας ἐξαναστάντες ᾤκησαν ἐν τῷ Ἰσθμῷ, οἵ τινες δὴ καὶ ἑάλωσαν ὑπὸ Τούρκων. ἡ δὲ ἐκτὸς

nullam salutis spem affulgere cerneret, se ipse et arcem Amurati tradidit. hos quidem cum liberis et uxoribus misit Angium, urbem opulentam. ipse vero aedificia urbis captae incendit. quo facto ulterius profectus venit Patras, Achaiae urbem opibus florentem. oppidani urbem istam deseruerant, abeuntes in continentem Venetorum, quae ex opposito erat. remansere tamen quidam in arce et in regia: stulti quidem, cum reliqui sibi fuga consulerent, ipsi se in grave discrimen praecipitarunt. erant autem numero quater mille. viros igitur et mulieres quae in regia erant, pactionibus Amurates in fidem accepit, omnesque in mancipiorum album rettulit. hinc arcis oppugnationem auspicatus est, peregrinosque misit, ut eam subito caperent. hi summa vi impetum in murum dantes eumque suffodientes in arcem irrupere. Graeci resinam et picem incensam per foramina iaculantes, peregrinos expulerunt acerrime repugnantes, arcemque et murum reficientes et optime munientes. Amurates, ubi advenit Turachanes vehens maximam hominum aliarumque rerum praedam, cum exercitu discessit, nec multo post pacem cum Graecis fecit. ex eo inde tempore Peloponnesus, quae prius libera erat, regi tributaria facta est. Thebas Thebani, cum hostiliter accederet rex, deseruere, et in Isthmum se contulere, quasi ibi habitaturi; qui tamen ab Tur-

B χώρα τοῦ βασιλέως αὐτίκα μετὰ τὴν τοῦ Ἰσθμοῦ ἅλωσιν προσεχώρησε τῷ βασιλεῖ, τό τε Πίνδον καὶ ἡ ἄλλη χώρα τοῦ βασιλέως.

Ταῦτα μὲν οὖν ἐν τῇ Πελοποννήσῳ ἐς τοσοῦτον ἐγένετο. 1447 καὶ βασιλεὺς τοῦ ἐπιγινομένου θέρους ἐστρατεύετο ἐπὶ Σκεντέρη τὸν Ἰβάνεω παῖδα, ὃς παῖς ὢν ἐς τὰς θύρας ἀφικόμενος τοῦ βασιλέως καὶ παιδικὰ αὐτοῦ γενόμενος ἀπέδρα ἐς τὴν πατρῴαν αὐτοῦ χώραν, καὶ ἀγόμενος γυναῖκα θυγατέρα τοῦ Ἀριανήτου, ἐκ τοῦ ἐμφανοῦς ἐπολέμουν τῷ βασιλεῖ, καὶ οὔτε φόρον ἀπήγαγον τῷ βασιλεῖ οὔτε αὐτοὶ ἐς τὰς θύρας ἵεντο οὔτε πείθεσθαι ἤθελον. διὰ ταῦτα συναγείρας ἅπαντα C τόν τε Ἀσίας καὶ Εὐρώπης αὐτῷ στρατὸν ἤλαυνεν ἐπὶ τὴν Ἰβάνεω χώραν· καὶ ἐπεί τε ἐσέβαλεν ἐς τὴν χώραν, ἐδῄου τε τὰ στρατεύματα διαπέμπων ὅποι παρείκοι, καὶ ἐνεπίμπρα τάς τε κώμας καὶ τοὺς ἀγρούς, καὶ τὰ λήια ἐκαίοντο ὑπὸ τοῦ στρατοῦ, καὶ περιεφθείροντο τὰ ἐκεῖσε πάντα. Σκενδέρης μὲν οὖν ἐπὶ τὴν ἐς τὸν Ἰόνιον παράλιον χώραν τῶν Οὐενετῶν ὑπεξέθετο, αὐτός τε καὶ οἱ Ἀλβανῶν πρῶτοι, τάς τε γυναῖκας καὶ παῖδας· αὐτοὶ δὲ περιιόντες ἄλλοτε ἄλλῃ τῆς χώρας διήρχοντο, εἴ του δέοιντο αἱ πόλεις αὐτῶν. καὶ οὗτοι μὲν ἀνὰ τὸ ὄρος τὸ ὑπὲρ τὴν χώραν αὐτῶν ἄχρι τοῦ Ἰονίου διατεῖνον διέτριβον, καραδοκοῦντες ὅποι σφίσι τὰ πράγματα ἀποβήσεται·

10. ἐπήγαγον P 14. παρήκοι P

cis capti sunt. exterior autem regio Pindus videlicet et reliqua regio, ut primum Isthmus captus est, in regis potestatem devenit.

Appetente iam aestate Amurates bellum movit contra Scenderem Ibanis filium (Alexandrum sive Scanderbegum appellatum), qui puer venit in ianuas regis eiusque concubinus factus est; tandem effugit in patriam suam regionem. ducta deinde uxore Arianetis filia, ex professo bellum cum rege gerebat. nam tributum haud amplius regi pendebat, nec in ianuas ibant, parere quoque regi detrectabant. quapropter Amurates convocans Asiae Europaeque exercitus universos, Ibanis regionem bello petere statuebat. veniens igitur in regionem, vastabat universam, vicos agrosque incendebat. frumentum omnemque commeatum comburebat. omnia quae in ea regione erant, populationibus dissipabantur. Scenderes igitur ipse necnon Albani omnes in maritimam versus Ionium Venetorum regionem uxores et liberos, quo ab impendenti periculo tuti forent, exposuerunt: ipsi autem undique per regionem obambulantes sedulo dispiciebant, sicubi urbes ipsorum auxilio indigerent. castra habuerunt in monte qui regioni eorum impendet et in Ionium usque porigitur; et ibi expectaverunt belli eventum. Amurates Sphetiam urbem exercitibus circumsedit;

Ἀμουράτης δὲ ἐπελαύνων πρῶτα μὲν τὴν Σφετίαν πόλιν D ἐπολιόρκει. καὶ λόγον μὲν προσέφερεν ὡς παραδοῖέν τε αὐ- V. 145 τὴν καὶ αὐτοὶ ἀπίοιεν ἐπὶ τὰ ἑαυτοῦ ἕκαστος· οἱ δὲ οὐκ ἐπείθοντο. μετὰ δὲ ταῦτα προσέβαλε σὺν τοῖς νεήλυσι, καὶ εἷλε τὴν πόλιν κατὰ κράτος καὶ ἐξηνδραποδίσατο, τούς τε ἄνδρας σύμπαντας διεχρήσατο. μετὰ δὲ ἐπιὼν ἐπὶ τὴν Γετίην ὁμολογίᾳ τε παρεστήσατο, καὶ τοὺς ἐν τῇ πόλει ἀνδραποδισάμενος ἐπῆγε τὸν στρατὸν ἐπὶ τὴν Κρούην, πόλιν προέχουσαν τῶν ἐν τῇ Ἀλβανῶν χώρᾳ· οἰκεῖται δὲ ἐν ὀχυρῷ πάνυ. ταύτην μὲν οὖν προσκαθεζόμενος ἐπολιόρκει, καὶ τηλεβόλοις τε ἔτυπτε τὸ τεῖχος, καὶ κατέβαλε μέρος οὐκ ὀλίγον. μετὰ δὲ ταῦτα προσέβαλε σὺν τοῖς νεήλυσιν ὡς ἐξαιρήσων τὴν πόλιν, καὶ ὡς οὐκ ἠδυνήθη ἑλεῖν, ἀπήγαγε τὸν P. 186 στρατόν· ἤδη γὰρ ὀψὲ ἦν τοῦ ἐνιαυτοῦ, καὶ χειμὼν ἐπιγενόμενος ἐπίεζε τὸν στρατόν.

Τὸν οὖν παῖδα αὐτοῦ ἄρτι ἡβάσκοντα Μεχμέτην περιῆγεν ἐν τῷ στρατῷ, ἐξ ὅτου ἀφείλετο αὐτὸν τὴν βασιλείαν. ἐγένετο δὲ οὕτως. ὡς ἐμάχετο τοῖς Παίοσιν ἐν τῇ Βάρνῃ καὶ τὰ στρατεύματα αὐτοῦ ἑώρα ἐν φυγῇ γενόμενα, ἐς δέος τε καθεστήκει μέγα πάνυ, οἰόμενος αὐτίκα πάντως ἀπολεῖσθαι, ὡς ἤδη ἀφίκετο ξυμφορᾶς, ηὔχετό τε ὡς ἦν αὐτῷ τὰ πράγματα μὴ διαφθαρῇ τότε ἐν τῷ θορύβῳ ἐκείνῳ, ἀπολιπεῖν τε τὴν ἀρχήν, καὶ τῷ

10. προκαθεζόμενος P

oppidanisque nuntiare iussit, si deditionem facerent, se singulos ad sua abire permissurum. at hi condicionem istam non admiserunt. quapropter cum peregrinorum cohorte murum subit; et cum impetu in urbem irrumpens, ea potitur, praedaeque totam exponit. viros omnes trucidari iussit. deinde copias duxit contra Getiam, quam pactionibus in dicionem accepit. captis autem oppidanis exercitum Cruam urbem Albanorum primariam movit. urbs haec sita est in loco munitissimo. hanc obsidione cinxit, murumque bombardis concussit, eiusque non modicam partem stravit. deinde per loca ruinis patentia cum peregrinis irrumpere quaerebat, quasi vi eam capturus. coepta autem omnia cum irrita caderent, exercitum abduxit omnem, quia aestatis iam extremum erat, et frigus hibernum graviter exercitum adfligebat.

Filium suum Mechmetem iam pubescentem per castra circumduxit regnoque praefecit. sic autem ista evenere. cum pugnaret adversus Pannones Varnae et exercitus suos ad fugam inclinare cerneret, valde timuit putans se mox cum suis periturum. in hac gravissima necessitate constitutus vovit, si incolumis evaderet praesens periculum et victoria potiretur, se cessurum regno et id commissurum

B παιδὶ ἐπιτρέψαντα αὐτὸν οἴχεσθαι ἐς τὴν Ἀσίαν, διατρίψοντα σὺν τοῖς ἱερεῦσι καὶ τοῖς παρ' αὐτοῖς καλουμένοις Ναζηραίοις, προσευχόμενον τῷ ἥρωι καὶ ἀνάγοντα θαμὰ τὴν θυσίαν. ὡς δὲ περιεγένετό τε Παιόνων καὶ τὸν Παιόνων βασιλέα ἐξελὼν ἐκομίζετο ἐπ' οἴκου, τόν τε παῖδα αὐτοῦ τὸν νεώτερον Μεχμέτην μετεπέμπετο ἐπὶ τὴν ἀρχήν· ὁ γὰρ πρεσβύτερος αὐτοῦ Ἀλαδίνης οὐκέτι περιῆν, ἀλλ' ἐτετελευτήκει ὑπὸ ἵππου ἐκτραχηλισθείς, κυνηγετοῦντος αὐτοῦ καὶ ἐπιθέοντος ἀνὰ κράτος ἐπὶ τὴν ἔλαφον. οὗτος μὲν οὖν οὕτως ἐτελεύτησε, Μεχμέτην δὲ τὸν νεώτερον παῖδα περιιόντα, ὡς
C ἐλέγετό μοι. τότε ἐπὶ τὴν ἀρχὴν μετεπέμπετο. ὡς δὲ ἀφίκετο, ἐπιτρέψας αὐτῷ τὴν ἀρχὴν καὶ τὰς θύρας καὶ τοὺς νεήλυδας αὐτὸς ᾤχετο διαβὰς ἐπὶ τὴν Ἀσίαν, ἐς Προῦσαν, ᾗ τὰ τῆς Ἀσίας βασίλεια ἦν. τὴν μὲν οὖν ἀρχὴν ἀποθέμενος μετὰ ζιχίδων τῶν παρ' αὐτῶν Ναζηραίων καὶ σειτίδων καὶ τῶν τοῦ γένους σοφῶν πολλὰ διέτριβεν· οὐ πολλῷ δὲ ὕστερον μετέμελέ τε αὐτῷ ἀπιόντι ἐκ τῆς ἀρχῆς καὶ ἰδιωτεύοντι. ὡς δὲ οὐκ ἠνέσχετο, ἔπρασσεν ὅπως ἐπανιὼν τὴν ἀρχὴν κατάσχοι καθ' ἡσυχίαν, ὡς δὲ μὴ ἐς διαφορὰν ἀφικνουμένου αὐτῷ τοῦ παιδὸς κινδυνεύοι αὐτῷ τὰ πράγματα, καὶ αἰτίαν ἔχοι πρὸς τοῦ γένους οἷα ποιεῖ. ἔπρασσε δὲ ὅπως ἐπανέλθοι μετὰ Χαλίλεω τοῦ Πραΐμεω, ἀνδρὸς συνήθους αὐτῷ

20. αὐτοῦ τοῦ παιδὸς κινδυνευομένῳ P

filio, et abiturum in Asiam, ut ibi vitam traduceret admixtus sacerdotibus et Nazaraeis, et culturum frequenter Heroem, eique immolaturum. cum igitur Pannonibus victoriam extorsisset, rege eorum perempto domum rediit, filiumque iuniorem accersivit ad regni gubernacula. nam filius eius Aladines natu maximus haud amplius superstes erat, sed naturae debitum exolverat, praecipitatus ex equo in venatione, cum persequeretur cervum. is quidem in hunc modum occubuit. Mechmetem autem iuniorem ad regni moderamen vocavit. cum autem venisset vocatus, regnum et ianuas necnon peregrinos pater eius fidei committens ipse profectus est Prusam, ubi Asiae sedes regia est. abdicato igitur regno cum Zichidis, qui Turcorum Nazaraei sive monachi sunt, et cum Seitidis necnon cum reliquis doctis conversatus est. nec multo post poenituit virum, quod regno relicto nunc privatam sequeretur vitam. cum autem praesentem vitae condicionem haud ferre posset, consilia agitavit, qua ratione citra tumultum regiam dignitatem reciperet. sedulo enim praecavebat ne, si filius sentiret quid ipse moliretur, bellum exoriretur, cuius ipse auctor ab Turcis haberetur. quae quidem facere instituit, ad finem deduxit, videlicet ut rediret ad regnum opera et industria Chatitis

ἐς τὰ μάλιστα καὶ οἱ ἐπιτηδείως ἔχοντος αἰεί. αὐτὸς μὲν D
οὖν ἔπεισε τὸν παῖδα ἐς ἄγρας φοιτῶντα γυμνάζεσθαι ὡς
κάλλιστα ἐφ' ἵππου· καὶ ἐπειδὴ ἔπειθε, κρύφα ἔπεμπε τῷ
πατρὶ αὐτοῦ, μηδὲν δεδιότα, ἄφνω ἐς τὴν ῥητὴν αὐτῷ
ἡμέραν ἀφικόμενον ἐς τὰ βασίλεια τῆς πόλεως χρηματίζειν
τοῖς ἐν τῇ πόλει ὡς βασιλέα. ὁ μὲν οὖν, ὡς ὑπετίθετο, ἐς
ἣν αὐτῷ συνέθετο ἡμέραν, παρεγένετό τε ἀπόντος αὐτῷ τοῦ
παιδὸς ἐς τὴν ἄγραν καὶ κυνηγετοῦντος, παραγενόμενός τε
κατέσχε τὴν βασιλείαν, χρηματίζων τοῖς ἐν τῇ πόλει τῶν θυ- V. 146
ρῶν ὡς βασιλεύς. ὁ μέντοι παῖς αὐτῷ ὡς ᾔσθετο ἐπανιόν-
τος τοῦ πατρὸς αὐτῷ ἄφνω, οὐκ ἔχων ὅ τι χρήσαιτο τῷ P. 187
πράγματι, προσῄει τε καὶ προσεκύνησε· καὶ τὸ ἀπὸ τοῦδε
παρῆγεν αὐτῷ ἐς ἣν ἂν στρατεύηται χώραν. τὸν μέντοι παῖ-
δα οὐκ ἐλάνθανεν ὡς αὐτῷ ταῦτα εἴη διαπεπραγμένος Χαλί-
λης ὁ Πραΐμεω, καὶ ἤχθετό τε ἀξίως, οὐ μέντοι γε ἀνεδήλου
αὐτῷ τὴν ὀργήν· ᾔδει γὰρ μέγα δυνάμενον παρὰ τῷ πατρί.

Τότε μὲν οὖν ἐς τὴν Ἀμουράτεω ἐπάνοδον ἐπὶ τὴν βα-
σιλείαν οὕτως ἐγένετο· ἐπεὶ δὲ ἀπήγαγε τὸν στρατὸν ἀπὸ
τῆς πρὸς τὸν Ἰόνιον Μακεδονίας τῆς τῶν Ἀλβανῶν χώρας,
τοῦτο μὲν τὸ ἔτος διέτριβεν ἐν τοῖς Εὐρώπης βασιλείοις ἡσυ-
χίαν ἄγων, τῷ δ' ἐπιόντι ἐνιαυτῷ αὖθις, ἐπεὶ περιαγγέλλει B
τῷ στρατεύματι ἕπεσθαι, ἐστρατεύετο αὖθις ἐπὶ Σκενδέρην

11. τῷ om P

filii Priami, quo familiariter utebatur et cum quo ei artissima intercesserat necessitudo. Chatites ergo ubi sententiam Amuratis satis intellexit, puerum Mechmetem venatum ire iubet, ut se quam pulcherrime ex equo exerceret. qui dicto audiens venatum abiit. interea Chatites nuntium mittit ad patrem, quem subito dicta die nihil veritum in urbis regiam venire et ius dicere ut regem civibus iubet. Amurates, quemadmodum iussus erat, filio venatione occupato ad praestitutam diem advenit. adveniens regnum invasit; civibus ianuisque ut decet, ius dixit. filius ut accepit patrem mutata voluntate regnum recepisse, nesciens quid ageret in praesenti negotio, tamen accessit patremque regem adoravit, eumque secutus est, quocunque militatum abiisset. nec latuit Mechmetem opera Chatitis patrem quam maxime adiutum ista egisse. et quamvis Chatiti merito irasceretur, iram tamen ostendere noluit, veritus viri potentiam, qua plurimum pollebat apud patrem Amuratem.

In hunc modum eo tempore propter patris in regnum reditum filius affectus erat. postquam autem exercitum abduxit ab Macedonia, quae versus Ionium patet, quae Albanorum regio est, per eum annum in Europae regia quietem agens mansit. ineunte deinde anno iterum expeditionem sumpsit contra Scenderem Ibanis filium et con-

τὸν Ἰβάνεω καὶ ἐπὶ τὴν ταύτῃ κατὰ τὸν Ἰόνιον Ἀλβανῶν χώραν, καὶ ἐπῄει πολλῷ θυμῷ ὡς ἐξελῶν τε τὴν Κρούην καὶ αὐτὸν Σκενδέρην ἐξαιτησόμενος τοὺς Οὐενετούς, καὶ ἢν μὴ ἀποδοῖεν αὐτόν, ὡς πολιορκήσων τὴν πόλιν ἐς ἣν αὐτὸς καταφυγὼν ἐσῄει. ἐπεὶ δὲ εἰσέβαλεν, ἐπορεύετο ἰθὺ ἐπὶ τὴν Κρούην, καὶ τήν τε χώραν, ὅση ὑπελείπετο τὴν ἀρχὴν αὐτῷ ἀσινής, ἐπέδραμέ τε αὐτοῦ τὰ στρατεύματα, καὶ ἐπέκαον πῦρ C ἐνιέντες, ὅτῳ ἂν αὐτοῖς περιτύχοιεν. ἐπέδραμε δὲ καὶ ἄχρι τοῦ ποταμοῦ τοῦ . . . . τὰ στρατεύματα· τὴν δὲ ἐπέκεινα τοῦ ποταμοῦ χώραν οὐχ οἷά τε ἦν ληΐζεσθαι διὰ τὸ ἄβατον εἶναι πάντῃ τοῖς βασιλέως ἱπποδρόμοις. καὶ οὗτοι μέν, τάς τε γυναῖκας καὶ παῖδας ὑπεκθέμενοι ἐς τὰ ἐχυρὰ τῶν Οὐενετῶν, συνελέγοντο ἐς τὸ ὄρος τὸ ὑπὲρ τὴν Κρούην πόλιν αὐτῶν. ἐνταῦθα δὲ ὑπεξαγαγὼν τὰς γυναῖκας καὶ τὰ παιδία κατέθετο ἐς τὰς τῶν Οὐενετῶν πόλεις, τοὺς δὲ ἄνδρας κατέλιπεν ἐν τῇ πόλει ἀμυνουμένους καὶ τὰ τείχη φυλάξοντας, καὶ τούτους ἐπιλεξάμενος τοὺς ἐθέλοντας αὐτοὺς ὑποστῆναι D τὸν ἀγῶνα. Ἀμουράτης μὲν οὖν τάς τε τηλεβόλους παρεσκευάζετο καθεζόμενος ὡς τὸ τεῖχος καθαιρήσων, καὶ παραμένων ἅμα σὺν τοῖς νεήλυσιν ἐς τὴν πόλιν· ἐπεὶ δὲ αὐτῷ τὰ πάντα παρεσκεύαστο, ἔτυπτε τὸ τεῖχος τηλεβόλοις καὶ κατέβαλε μέρος πολύ. Σκενδέρης δὲ ἀπὸ τοῦ ὄρους πυρά τε

tra eam quae isthic sita est Albanorum regionem, cum iussisset universos exercitus instructos et paratos praesto esse. plenus igitur irarum proficiscebatur versus Cruam, quasi eam vi expugnaturus. praeterea in animo habebat expostulare cum Venetis, ut Scenderem traderent: quod si facere omitterent, se obsessurum urbem quamcunque Scenderes fugiens intrasset. ut regionem hostilem est ingressus, recta contra Cruam properabat, et in eam regionis partem, quam antea intactam et inviolatam ab populationibus reliquerat, suos milites incursionem facere iubet. qui dicto audientes incendiis omnia, ignem iniicientes, miscuere. et hanc regionem misere vastarunt usque ad flumen * * verum regionem ultra flumen sitam populari nequivere, quia regiis equitibus haud erat pervia. Albani autem uxoribus et liberis in munita Venetorum loca ablegatis colligebantur in montem, qui Cruae urbi imminet. hinc Scenderes educens uxores et liberos, deponebat eos in urbes Venetorum. viri vero relinquebantur in urbe, ut resisterent hosti moeniaque defensarent. et hi potissimum huic negotio destinabantur, qui volentes, non coacti, praelium subire cupiebant. Amurates bombardas expediebat, assidens ut murum disiiceret, et deinde cum peregrinis irrumpens urbem sui iuris faceret. omnibus autem, quemadmodum oppugnatio requirebat, comparatis,

ἔκαυσεν, ἐπιδεικνύμενος τοῖς ἐν τῇ πόλει, καὶ ἐπειδὰν χρεία ᾖ παρεσόμενος καὶ αὐτὸς ἐπιβοηθήσων, καί τινων τῶν τοῦ βασιλέως ἀναβάντων ἐπὶ τὸ ὄρος προσέβαλέ τε καὶ ἐμάχετο, ἔργα ἀποδεικνύμενος ἄξια λόγου. ἐπεὶ δὲ τῷ βασιλεῖ ἤδη ἱκανῶς καταβέβλητο τὸ τεῖχος, ἐς μάχην καθῆστο πανστρατιᾷ, καὶ ἐπειρῶντο οἱ νεήλυδες ἑλεῖν ταύτῃ ᾗ ἔκειτο τὸ τεῖ- P. 188 χος ἐπὶ γῆς· οὐ μέντοι ὑπερεβάλοντο τοὺς ἐν τῇ πόλει, παρ' ἐλπίδα ἀγωνισαμένους.

Ἐνταῦθα ὡς ἐπενόει λιμῷ ἐκπολιορκήσειν, καὶ αὖθις τὸ δεύτερον προσβαλὼν κατὰ τὸ καρτερόν, ἀφικνεῖται ἀγγελίη παρὰ Γεωργίου τοῦ Τριβαλλῶν ἡγεμόνος ὡς Ἰωάννης συναθροίσας τοὺς Παίονας τόν τε Ἴστρον διαβαίνει καὶ συμπαραλαβὼν στρατεύοιτο ἐπ' αὐτόν. ταῦτα ὡς ἐπύθετο, τὴν ταχίστην συσκευασάμενος ἀπῄει ἐνταῦθα ᾗ ἐπιόντα ἐπυνθάνετο, καὶ κήρυκα ἔπεμπε πρὸς τὴν Εὐρώπην περιαγγέλλοντα παρεῖναι αὐτῷ ὡς ξύμπαντας τῶν Τούρκων. οὗτοι μὲν οὖν πα- V. 147 ρεγένοντο αὐτῷ, ὡς ἔτυχεν ἕκαστος ἐκποδὼν γενόμενος, ὡς B ἐν ὥρᾳ παραγένοιτο ἕκαστος καθιστὰς αὐτῷ ἐς μάχην. ἐλαύνων δὲ παντὶ τῷ στρατῷ πρός τινος τῆς Μυσίας αὐτοῦ χώρας κατὰ τὴν Τριβαλλῶν αὐτῶν χώραν (ἔστι δὲ αὕτη ἡ χώρα, παρ' ἣν ἀμείβει Μοράβας ποταμὸς καὶ ἐκδιδοῖ ἐς τὸν

1. καὶ] ὡς? 11. ὡς Ἰωάννης] cf. Hammer I p. 659 i.

murum bombardis feriebat, eiusque partem destruxit maximam. Scenderes ignes in monte fecit, eosque suis, qui intra urbem erant, ostendit, ut scirent, quandocunque necessitas postularet, se affuturum auxilio. cum regii quidam ascenderent montem, Scenderes eos aggressus est, praeliabaturque, opera memorabilia edens. cum autem regi videretur murum satis esse stratum, universis copiis oppugnationem occipit. peregrini eo loci urbem capere parabant, ubi murus disiectus erat.

Nec tamen superare potuerunt oppidanos, qui praeter spem fortissime pugnabant, cum desperatio animos fecisset. deinde cum fame urbem perdomare statuisset, denuo copias universas contra urbem in aciem eduxit. interea nuntius venit ab Georgio Triballorum duce, qui nuntiabat Ioannem Choniatem congregatis Pannonibus plurimis traiicere Istrum et contra ipsum hostili animo pergere. his auditis Amurates continuo, omnibus impedimentis et sarcinis collectis, urbe quam obsidebat digressus est, obviamque hosti processit, qua eum venturum cognoverat. misit quoque Amurates praeconem in Europam, qui ediceret ut Turci omnes ad regem convenirent. qui ubi primum regis voluntatem intellexere, citissime advenerunt, cum singuli conarentur in tempore adesse, ut pro rege certarent. hinc cum universo exercitu profectus est in quandam Mysiae regionem, per regionem Triballorum. ea autem regio

Ἴστρον· παρήκει δὲ ἡ χώρα τοῦ βασιλέως ἐντεῦθεν ἐπὶ σταδίους ὀκτακοσίους ἔστε ἐπὶ Νήσιον, πόλιν τοῦ βασιλέως, ἐπὶ δεξιᾷ ἰόντι, ἐς τὸ πρόσω Νοβόπυρον πόλιν ἐπὶ ὄρους μεγάλου τοῦ Τριβαλλῶν ἡγεμόνος οἰκεῖται) ἐν- C ταῦθα ἀφικόμενος Ἀμουράτης εὗρεν ἐπεξελαύνοντα Ἰωάννην τὸν Χωνιάτην σὺν τῷ Παιόνων στρατῷ. ἦσαν δὲ Παίονες καὶ Δακοὶ συναμφότεροι ἐς τετρακισμυρίους καὶ ἑπτακισχιλίους ἱππέας, καὶ ἁμάξαις ἐφέροντο, ἐν αἷς ἦν αὐτοῖς τὰ ἐπιτήδεια καὶ τὰ ὅπλα, ἀμφὶ τὰς δισχιλίας. ἐφ' ἑκάστης δὲ ἁμάξης δύο ἤστην ἄνδρε πεζώ, πελταστής τε ἅμα καὶ τηλεβολιστής. ἐφέροντο δὲ καὶ ἐπὶ τῶν ἁμαξῶν τηλεβόλους ζαροβοτάνας καλουμένας, πολὺ τὸ πλῆθος. οὗτοι μὲν οὖν παρασκευασάμενοι [ἐς] τὸν Ἴστρον διέβησαν. προυκαλοῦντο δὲ σφίσι καὶ τῶν Τριβαλλῶν ἡγεμόνα ἐς τὸν πόλεμον· ὁ δὲ D ἔφησεν οὐχ ὁρᾶν ἀξίαν τὴν παρασκευὴν τῆς κατὰ Ἀμουράτεω στρατιᾶς, ὥστε περιγενέσθαι αὐτοὺς τῆς βασιλέως δυνάμεως Ἀμουράτεω, καὶ δεδιέναι μᾶλλον ἐκεῖνον ἢ τοὺς Παίονας οὓς ἀλλοφύλους τε ὄντας καὶ μέγιστα κακῶν ἐργασαμένους αὐτόν, καὶ ἱμείρεσθαι μὲν τίσασθαι Ἀμουράτη τοὺς υἱοὺς αὐτοῦ ἐκτυφλώσαντα, ἀδύνατα δὲ ὁρῶντα τῇ παρούσῃ παρασκευῇ ὑπερβαλέσθαι τῆς τῶν πολεμίων δυνάμεως οὐκ ἄν ποτε ἑκόντα εἶναι χωρήσειν ἐς τόνδε τὸν πόλεμον. ταῦτα

16. στρατείας? 18. οὓς] τοὺς?

est, quam alluit Morabas fluvius et in Istrum effunditur. hinc se fundit regis regio ad octingenta stadia, usque ad Nesium urbem regis: ad dexteram procedenti Nobopyrum sive Bopyrum usque ad montem magnum Triballorum principis colitur. huc cum venisset Amurates, invenit Ioannem Choniatem cum Pannonum exercitu hostili animo adversum se pergere. in castris Choniatis erant quadraginta milia peditum, tam ab Pannonibus quam ab Dacis allecti. septem milia equitum erant, et curribus vehebantur alii, quorum numerus erat bis mille. in his arma et necessaria ad expeditionem subvehebantur. in singulis duo viri stabant, scutifer et bombardarius. in iisdem vehebantur bombardae plurimae, quas Zarobotanas nominant. in hunc modum armati et instructi Istrum transgressi sunt. at Triballorum dux cernens Pannonum exercitum non adeo esse validum ut copias regis vincere posset, magisque metuens Amuratem quam Pannones alienigenas, a quibus multa mala esset perpessus: et quamvis esset admodum cupidus ulciscendi Amuratem, qui filios eius oculis privarat, attamen haud volenti animo istam expeditionem adiunctus Pannonibus subibat, immo eam prorsus recusabat. haud enim Pannones satis firmi videbantur ad debellandas copias regis. haec

ἀποκριναμένου ἐπαπειλήσαντα τὸν Ἰωάννην ἐλαύνειν ἐς τὸ πρόσω, ἐσβαλόντα δὲ ἐς τὴν βασιλέως χώραν, ἄχρις Ἀριστίνου P. 189 ἀφικόμενον, στρατοπεδεύεσθαι αὐτοῦ ἐν Κοσόβῳ πεδίῳ, ἐν ᾧ Ἀμουράτης ὁ Ὀρχάνεω μαχεσάμενος πρὸς Ἐλεάζαρον μάχην αὐτός τε αὐτοῦ ταύτῃ ἐτελεύτησεν ὑπὸ Τριβαλλοῦ καὶ τόν γε Ἐλεάζαρον ἀνεῖλεν ἐν τῇ μάχῃ. ἐπεὶ δὲ ὥρμητο Ἰωάννης στρατεύεσθαι ἐπὶ Ἀμουράτη δι' αἰτίαν τήνδε. ὡς γὰρ ἐν τῇ Βάρνῃ μάχῃ ἑώρα τοὺς Τούρκους φεύγοντας καὶ ἑαυτῷ ἐς χεῖρας ἐλθόντας καὶ ἐνδιδόντας, αὐτίκα ἐνόμισεν εὐπετῆ μὲν καὶ τότε ὄντα τὰ πράγματα αὐτῷ χειρωθῆναι, εἰ μὴ διὰ τὴν βασιλέως Λαδισλάου ἀφροσύνην, καὶ ἐσαῦθις δὲ χαλεπὰ οὐκέτι ἔσεσθαι κατεργάσασθαι. ἔφερε δὲ αὐτοῦ ἡ γνώμη καὶ πλείονα στρατὸν συναγείραντα ἐξελαύνειν, ὥστε B καὶ τῷ πλείονι καταπληττόμενον αἱρήσειν τὸν Ἀμουράτη οὕτω δή τοι εὐπετῶς, ὥστε μηδ' ὁπωσοῦν ἐνδοιάζειν. πρεσβευσάμενος δὲ ἐπὶ Σκενδέρῃ τε καὶ Ἀριανίτην, ἐν τῷ ἔχων αὐτοὺς προϊόντας ἐς τὸ πρόσω τῆς Εὐρώπης συμμῖξαι· οὕτω γὰρ προείρητο καὶ τοῖσδε. ἐπεὶ δὲ ἐς Κόσοβον τὸ πεδίον Ἀμουράτης ὁ Μεχμέτεω ἀφίκετο, ὡς εὗρε τοὺς πολεμίους ἐλαύνοντας, ἐστρατοπεδεύετο. λέγεται δὲ γενέσθαι αὐτῷ τὸν 1448 στρατὸν ἐς πεντεκαίδεκα μυριάδας. καὶ τῇ ὑστεραίᾳ αὐτίκα d. 17 Oct

8. ἐν τῇ ἐν Βάρνῃ? 9. καὶ] ἀλλ' R, tanquam praecesserit καὶ ἑαυτῷ οὐδ' ἐς χεῖρας ἐλθόντας. 14. καταπληττομένων P τὸν] τῷ P

cum Pannonibus respondisset, Ioannes eo responso irritatus graves minas in Triballorum ducem iactavit. nec tamen omittens coeptam expeditionem, copias in regis regionem infestas induxit: progressusque Aristinum usque, castra in Cosobo campo communivit, ubi olim Amurates Orchanis filius, cum Eleazaro Serviae Despota manus conserens, eumque interficiens, ipse quoque occubuit, interfectus a viro Tryballo. caussa quae Ioannem ad istud bellum traxerat, haec erat. quum vidisset in eo certamine, quod Varnae commissum erat, Turcos, ubi primum ad manus venissent, cessisse, et fugam arripuisse: putavit Turcos facile vinci potuisse, ni obstitisset Vladislai regis imprudentia. ne nunc quidem difficile et laboriosum dicebat Turcos bello domare. animo igitur agitabat maiorem comparare exercitum, ut Amuratem copiis perterritum vinceret. haec adeo proclivia et facilia factu putabat, ut ne dubitaret quidem quin, quemadmodum animo concepisset, omnia essent eventura. missis legatis ad Scenderem et Arianitem, utrumque in Europam progredi et sibi coniungi iubebat. his sic praeceptum est. Amurates ut in campum Cosobum venit, ibi castrametatos esse cognovit Pannones. proinde et ipse castra munit. Amurates autem in armis dicitur habuisse quindecim myriades hominum.

παρετάσσετο ὡς ἐς μάχην. παρετάσσετο δὲ καὶ τὰ τάγματα. καὶ ἐς μὲν τὸ δεξιὸν αὐτοῦ κέρας τὸ τῆς Ἀσίας ἐτάσ- C σετο στράτευμα, στρατηγὸν ἔχων Σκούραν, ἐς δὲ τὸ εὐώνυ- V. 148 μον ὁ τῆς Εὐρώπης στρατηγὸς Καραζίης, ἔχων τὸ τῆς Εὐρώπης στράτευμα. τοὺς μέντοι ἱπποδρόμους ἕκαστος τῶν ὑπάρχων ἔχων παρετάσσετο. ἐν μέσῳ δὲ τούτοις ἵδρυτο αὐτὸς βασιλεύς, ἔνθα αὐτῷ νομίζεται στρατοπεδεύεσθαι, χάρακα προβαλόμενον, μετὰ δὲ ταῦτα τὰς καμήλους στησάμενον αὐτοῦ ταύτῃ, μετὰ δὲ ταῦτα τοὺς θυρεοὺς πηξάμενον. ἐπὶ τούτοις τοὺς νεήλυδας ἐτάξατο σὺν τοῖς τηλεβόλοις τε ἅμα καὶ τηλεβολίσκοις καὶ τοῖς ἄλλοις. ἐπεὶ δὲ ἐτάξατο, ἀντεπῄει καὶ Ἰωάννης ὁ Χωνιάτης, συνταξάμενος ὧδε. τὸ μὲν δεξιὸν αὐτοῦ εἶχον οἱ Παιόνων ἄρχοντες καὶ ἀδελφιδοῦς αὐτοῦ (Σεκούλης δὲ ἦν τοὔνομα αὐτῷ) καὶ Εἰλόκης καὶ Μεγαλού- D σης, ἐν μέσῳ δ' αὐτὸς ἐτάσσετο Χωνιάτης, ἔχων τούς τε βιτέζιδας καλουμένους καὶ τὸν Ἀρδελίου στρατόν. τὸ δὲ εὐώνυμον Δᾶνος εἶχεν αὐτῷ ἐπιτήδειος ὤν, ὃν καταγαγὼν ἐς τὴν Δακίαν χώραν διὰ τὸ πρὸς τὸν Δρακούλη αὐτοῦ ἔχθος ἐκεῖνόν τε τῆς ἀρχῆς ἐξήλασε, καὶ τὴν χώραν ὑφ' αὐτῷ ποιησάμενος τόν γε Δᾶνον ἐπέστησεν ἄρχειν αὐτῆς· ἦσαν δ' αὐτῷ Δᾶκες ἀμφὶ τοὺς ὀκτακισχιλίους παραγενόμενοι ἐς τόνδε τὸν πόλεμον.'

Ἐπεὶ δὲ ἄμφω συνταξάμενοι προῄεσαν ὡς συμβολὴν

postero die confestim accingebatur ad praelium. iuxta eum instruebatur acies. in dextrum cornu aptabatur exercitus Asianus, cui praeerat dux nomine Scuras. sinistrum cornu tenebat exercitus ab Europa conscriptus, quem regebat dux Carazies. iuxta utrosque ponebantur equites cum suis ducibus. mediam aciem occupabat rex. quando autem Amurates castrametatur, primo castra vallo firmat, deinde camelos locat, dein scuta defigit, deinceps peregrinos cum bombardariis necnon reliquis collocat. rex ubi aciem exornaverat, etiam Choniates suos in aciem educit, eamque hoc pacto instruit. dextrum cornu tenuere Pannonum praefecti, necnon patrueles Choniatis, Secules et Eiloces Megalusesque. mediam aciem curabat Choniates cum Bitezidis militibus et Ardelii exercitu. sinistro cornu praefuit Danus Choniatis amicus, quem in Daciae principatum produxit odio Draculis; quem Daciae principatu deturbavit, et in eius locum substituit Danum, cui Dacos parere iussit. hunc in id bellum secuta erant octo milia Dacorum.

Cum autem utrinque acies instructae stetissent, iamque praelium poscere viderentur, ibi bitezes, unus e numero Choniatis militum, in medium procursans et equo insedens provocabat ad singulare certa-

ποιησόμενοι, ἐνταῦθα βιτέζης, τῶν τοῦ Χωνιάτου στρατιωτῶν εἷς, ἐν μέσῳ ἀμφοῖν προελαύνων τῷ ἵππῳ προυκαλεῖτο αὐτοῦ τὸν ἀπὸ τῶν Τούρκων μονομαχήσοντά τινα, πρὶν ἢ τὰ P. 190 στρατεύματα συνιέναι ἐς ταὐτό. ὡς δὲ ἔγνωσαν οἱ Τοῦρκοι αὐτὸν μονομαχήσοντά τινι προεληλυθέναι, ἑστήκεσαν καὶ αὐτοί. καὶ ἐνταῦθα ἐξελαύνει ἀπὸ τοῦ στρατοῦ τοῦ ἑτέρου Ἐλιέζης ὁ Βαρησάταγα παῖς, τῶν ἐν τῇ Ἀσίᾳ ὑπάρχων ἑνός, ἀνδρὸς ἀγαθοῦ γενομένου τὰ πολέμια καὶ πρότερον τῶν νεηλύδων ἄρχοντος ἐν ταῖς βασιλέως θύραις. οὗτος δὴ ἐπεὶ ἐς τὸ μέσον προήει, ὁμίσε τῷ Παίονι ἴετο. καὶ τοῖς δόρασιν αὐτίκα ἐπιόντες ἀλλήλοις τά τε δόρατα κατέαξαν, καὶ ὁ μὲν βιτέζης ἔπεσεν αὐτοῦ σὺν τῷ ἵππῳ ἐς τὴν γῆν, Ἐλιέζης δὲ ἐκκοπέντος τοῦ ἐπιστήθου καὶ ζώνης σὺν τῷ ἐφιππίῳ ἐπὶ τοῖς ἐσχάτοις τοῦ ἵππου ἐγεγόνει ἱππεύων· ὁ γὰρ ἵππος B ἀμείνων τούτου πολλῷ ἦν. καὶ οὐκ εἶχε μὲν ὅπως τὸν Παίονα διαχρήσαιτο πεσόντα σὺν τῷ ἵππῳ, ἅτε καὶ αὐτὸς χαλεπῶς καὶ μόγις ἱππεύων· πεσόντος μέντοι τοῦ Παίονος ἀλάλαξαν μέγα τὸ τῶν Τούρκων στράτευμα, οἰωνὸν ποιησάμενοι. ἐπεὶ δ' ἀμφότεροι ἤλασαν ἐς τὸ ἑαυτῶν ἑκάτερος στρατόπεδον, ἐνταῦθα Ἀμουράτης ὁ βασιλεὺς μεταπεμψάμενος Ἐλιέζην εἰς ὄψιν τὴν ἑαυτοῦ ἔλεγε τοιάδε. "ὦ παῖ, πόθεν δὴ οὕτω ἐγένου ἀγαθὸς τὰ πολέμια, οὔπω πρότερον ἄλλῃ πῃ μαχεσάμενος, οὕτω παραγενόμενος στρατῷ μαχο-

1. ποιησάμενοι P. 2. προσελαύνων P 8. γενόμενος P 22. οὕτω] οὐδὲ?

men unum e Turcis, antequam acies concurrerent. Turci ubi explorarunt virum istum processisse, ut certamen singulare committeretur, constitere et ipsi. hinc continuo ab Turcorum exercitu proficiscebatur Eliezes filius Barizae, de numero praefectorum Asiae, viri illustris et in re militari excellentis, qui quondam dux extiterat peregrinorum in ianuis regis. hic ubi in medium processit, obviam pergebat Pannoni. et cum hastis infestis concurrerent, hastae fractae sunt. et Bitezes una cum equo in terram corruit. Eliezes conscisso pectorali, et zona cum ephippio soluta, postremae equi parti insidens vehebatur: huius enim equus longe melior erat altero. nec tamen lapsum Pannonem perimere quivit, quia ipse quoque aegre et difficulter equo portabatur. Pannone in terram ex equo effuso clamorem maximum sustulit Amuratis exercitus, cum bonum id quasi omen rei gerendae ducerent. cum uterque ad suum exercitum esset digressus, ibi tum Amurates Eliezem ad se vocatum in hunc modum allocutus est. "o puer, ex quibus initiis tantam rei militaris nactus es scientiam, cum certo constet te antehac nulla fecisse stipendia? nunc autem rerum bel-

C μένῳ, ὥστε ἐκμαθεῖν πῶς δέοι συμβαλεῖν;" τοῦ δὲ εἰπόντος
"ὦ βασιλεῦ, ἀπὸ λαγὼ ταύτην ἔμαθον τὴν ἀνδραγαθίαν" ἐν
θαύματι ποιησάμενον τὸν βασιλέα ἐρέσθαι αὐτὸν λέγεται "καὶ
πῶς ἂν δή, ὦ νεανίσκε, ἀπὸ λαγὼ γένοιτο ἄν τις ἀγαθὸς τὰ
πολέμια;" τὸν δὲ φάναι "ἐγὼ τοίνυν, ὦ βασιλεῦ, ἐν τῇ Ἀσίᾳ
διατρίβων, καθ' ἣν ἡμᾶς ἐπέστησας χώραν καὶ τόν γε πα-
τέρα ἐμὸν ὕπαρχον ἀπέδειξας, ἐφοίτων ἐς ἄγραν, καί ποτε
λαγὼν ἐν κοίτῃ εὑράμενος ᾠήθην ἀσφαλέστερον εἶναί μοι,
ὥστε τὸν λαγὼν μὴ διαφυγεῖν, ὀϊστῷ βαλόντα ἀνελέσθαι·
κράτιστοι γὰρ πάντων ὧν ἡμεῖς ἴσμεν λαγωῶν οἱ ἐν τῇ Ἀτ-
ταλίᾳ θεῖν εἰσί, καὶ οἱ κράτιστοι τῆς Εὐρώπης αἱροῖεν. ἐπῆν
D δέ μοι ταῦτα ἐπιλεγομένῳ φαρέτρη καὶ ὀϊστοὶ τετταράκοντα.
ὡς δὲ ἐπιβάλλων τῷ τόξῳ τὸν ὀϊστὸν οὐκ ἐτύγχανον, δεύτε-
V. 149 ρον ἐπὶ τοῦτον ἐτόξευον. ὡς δὲ καὶ οὕτω λαγὼς μὲν ἐκά-
θευδε, καὶ δεινὸν ἐποιούμην εἰ οὐκ ἐπιτυγχάνοιμι, ἐνταῦθα
δὲ πάντας τοὺς ὀϊστοὺς ἐξετόξευον. ἐπεὶ δὲ τὰ βέλη πάντα
ἠφίετο καὶ λοιπὸν ἦν βέλος ἐμοὶ οὐδέν, αὐτίκα ἐπεγειρόμε-
νος ἀφ' ὕπνου ὁ λαγὼς ᾤχετο φεύγων, ὡς ᾔσθετο τοῦ θορύ-
βου. καὶ οἱ κύνες μὲν ἐς βραχὺ ἐπεδίωξαν, οὐ μέντοι εἷλον.
τότε δὴ ἐπέγνων ὡς τὰ βέλη μοι κενὰ ἐγεγόνει, ὅτι εἱμαρμέ-
P. 191 νον ἔτι ἦν τῷ λαγῷ ἐκείνῳ ἐπιζῆσαι. καὶ τὸ ἐντεῦθεν ἐπι-
λεξάμενος ψῆφον ἐμαυτῷ, ὦ βασιλεῦ, ἐθέμην μήτε ξίφος

licarum imperitus cum huc accesseris, ita pugnasti in hostem quasi fastigium rei militaris attigeris." ibi tum adolescens respondit "o rex, lepus me hanc docuit fortitudinem." rex rei novitate ictus interrogavit "et quo tandem, quaeso, pacto, o adolescens, quis ab lepore fortitudinem discat?" adolescens respondit "ego quidem in Asia eram, et in ea regione morabar cui patrem meum praefectum praeposueras, ibamque venatum. forte in nido suo leporem reperi: putabam igitur satis esse, ne lepus manus meas evaderet, eum sagitta traiectum interficere. lepores enim Attalia habet cursu celerrimos, verum Europa optimos. haec mihi cogitanti in promptu erat pharetra quadraginta sagittis onusta. primam itaque sagittam mittens aberravi. secundam vero sagittam expedivi, quam similiter in leporem iaculatus sum. et haec errore abducta leporem nihil laesit: verum adhuc maxime stertebat. iniquo igitur ferens animo quod leporem non vulnerassem, illico sagittas omnes in leporem torqueo. cum autem nulla amplius superesset, lepus ex somno experrectus, ut primum sensit tumultum, aufugit. canes modicum fugientem persecuti, assequi non potuere. experientia igitur didici, cum tot sagittae irritae cecidissent, quod fatum vitam lepori prorogasset. et exinde ea sententia in animo fixa mansit, o rex, ut censerem neque gladium neque hastam

μήτ' αὖ δόρυ μήτε οἰστὸν δεδιέναι, ὡς ἢν ἐμοὶ πεπρωμένον εἴη ἐπιζῆσαι, οὐδ' ἂν τὸ δόρυ ἀφέλοιτο τὴν ζωήν. διὰ τοῦτο δὴ ᾔα θαρρῶν ὦ βασιλεῦ ἐπὶ τὸν Παίονα, ἐπιστάμενος ὡς εἰ πεπρωμένον μοι εἴη ἐπιβιῶναι, οὐδέν μοι χαλεπὸν ἔσοιτο ὑπὸ τοῦ Παίονος." ἀκούσαντα δὲ τὸν βασιλέα, καὶ ἀγασθέντα τὸν νεανίαν τοῦ λογισμοῦ, ἐσθῆτι μὲν αὐτίκα τότε ἐδωρήσατο Σηρικῷ χρυσοπάστῳ, μετὰ δὲ ταῦτα ἐπιστῆσαι ἄρχοντα τῆς πατρῴας αὐτοῦ χώρας· ἐπετελεύτησε γὰρ ἤδη ὁ πατὴρ αὐτοῦ, καὶ τὴν χώραν ἄλλος ἐπετρόπευεν ὑπὸ βασιλέως ταχθείς. δαιμονίως δὲ τὸ γένος τοῦτο τίθεται τῇ δόξῃ τῆς B
εἱμαρμένης, σχεδὸν καὶ οἱ ἄλλοι ὅσοι πρὸς τὴν τοῦ Μεχμέτεω θρησκείαν εἰσὶ τετραμμένοι.

Ταῦτα μὲν οὖν ἐς τὴν μονομαχίαν ἐγένετο· ἐπεὶ δὲ τοῦ βασιλέως ἱδρυμένου κατὰ χώραν τὰ στρατεύματα συνιόντα ἐμάχετο, τὸ μὲν Ἀσιανὸν στράτευμα ἡσυχίαν ἦγε, δεδιότος τοῦ βασιλέως μὴ πρῶτα συμβολὴν ποιησαμένου ἐς τροπὴν γένοιτο, καὶ κινδυνεύσῃ αὐτῷ τὰ στρατεύματα διαφθαρῆναι αὐτίκα, καὶ ὑπερδειλιάσαντα οἴχηται. ἀλλὰ τὸ μὲν Ἀσιανὸν στράτευμα εἱστήκει, τὸ δὲ Εὐρώπης διελόμενος ἐς μοίρας ὅσας δὴ ἑώρα τοὺς Παίονας παραταξαμένους ἐλαύνειν, καθίστατο ἐς τὴν μάχην. καὶ οὕτω δὴ συμβάλλοντα τὰ τῆς C
Εὐρώπης στρατεύματα ἐμάχετο. πολὺ δὲ παρ' ἐλπίδα ἀγω-

6. ἐσθῆτα P 7. συρικῷ P 8. ἐπιτελευτῆσαι R, ἐπεὶ τελευτῆσαι P 20. ὅσα P

neque sagittas amplius mihi formidandas esse, quasi si fato sit ordinatum ut diutius vivam, hasta mihi vitam eripere non possit. quapropter pectore forti, nihil trepidans, contra Pannonem istum processi, sciens, si fato sit decretum ut diutius vivam, nihil periculi posse mihi ab eo ingruere." haec audiens mirum in modum rex delectatus est, et adolescentem propter ratiocinationem istam plurimum dilexit, eumque donavit veste Syrio opere, auro illito contexta. praeterea patriae regionis eum principem declaravit: pater namque adolescentis mortuus erat, aliusque regionem eam administrabat ex imperio regis. Turci quidem et omnes quotquot Turcicae superstitioni inhaerent, plurimum admodum fato tribuunt.

Atque haec in ea monomachia contigere. cum vero regii exercitus in campo collocati signis collatis praeliarentur, Asianus exercitus quietem duxit. rex enim verebatur, si Asiani primam coitionem fecissent, ne in fugam verterentur eorumque fuga etiam caeteros traheret. quapropter maluit exercitum Asianum otiosum et spectatorem potius praelii assistere. exercitum Europaeum in cohortes distribuit; et cum Pannones praelii cupidos accedere conspicaretur, ne ipse qui-

νισάμενοι ἐμάχοντο ἀξίως λόγου. γενόμενοι γὰρ κατ' ὀλίγα ὡς οἱ Παίονες ἐπελαύνοιεν, ἔφευγον ἀνὰ κράτος, ὡς τοὺς Παιόνων ἵππους ἐπιδιώκοντας κάμνειν τε ἰσχυρῶς καὶ ἀπαγορεύειν. καὶ ἐνταῦθα δή, ὡς οἱ Τοῦρκοι αὐτάρκως ἔχοιεν τῆς φυγῆς, διαστάντες τούς τε ἵππους ἐτόξευον καὶ ὄπισθεν ἐπιόντες κατέκαινον τοὺς Παίονας· ἅτε γὰρ οἱ πλείους καὶ ἐφ' ἵππων πολὺ βελτιόνων φερόμενοι, καὶ τέχνῃ τὰ πολλὰ τὴν μάχην συνδιαχειρίζοντες, ἄμεινον ἐφέροντο τῶν Παιό-
D νων. καὶ τὴν μὲν πρώτην ἡμέραν πολλοὶ μὲν Παιόνων ἔπιπτον ἐν τῇ μάχῃ, πολλοὶ δὲ Τούρκων ἀπώλλυντο ὑπὸ Παιόνων. καὶ ταύτην μὲν τὴν ἡμέραν ὅλην ἐμαχέσαντο ἀμφότεροι καὶ ἰσοπαλεῖς ἐγένοντο· ἐπεὶ δὲ ὀψὲ ἦν, διέστησάν τε ἀπ' ἀλλήλων, καὶ ἐπὶ τῶν στρατοπέδων ἀναχωρήσαντες ἑκάτεροι ἀνεπαύοντο.

Παίονες μὲν οὖν οἰόμενοι τοὺς Τούρκους νυκτὸς οἰχήσεσθαι ἀπιόντας καὶ οὐ μενοῦντας ἐν τῇ τάξει. καὶ ἱπποδρόμων μὲν οὐκ ὀλίγοι ἀπῄεσαν· ἐπεὶ δὲ τοὺς Τριβαλλοὺς εὕρισκον ἐν τοῖς στενοῖς ἐπιμένοντας, αὖθις ἐπανῄεσαν ἐπὶ τὸ στρατόπεδον. καὶ Παίονες μὲν οὕτω ἐνόμιζον τῇ ὑστεραίᾳ
P. 192 βραχεῖ τινὶ μορίῳ τοῦ στρατοῦ ἀντιτάξεσθαι ὡς τῶν ἄλλων οἰχησομένων καὶ οὐ μενούντων, καὶ οὕτω δὴ περιγενομένους αἱρήσειν αὐτίκα τὰς βασιλέως θύρας· βασιλεὺς δὲ καὶ οἱ

1. ὀλίγους? 2. ἐπελαύνειν P 3. ἐπιδιώκοντες P 6. οἱ] ὄντες? 20. ἀντιτάξασθαι P

dem praelium recusavit. in hunc modum congressi, Europae exercitus in cohortes secretus, praeter spem, egregie et memorabiliter pugnabat. proinde cum Pannones Turcis appropinquare non auderent, summa vi fugiebant. Turci Pannonum equos persequebantur, et graviter admodum ea in persecutione laborabant. lassi igitur tandem et fatigati insequendo, hostium equos sagittis feriunt; Pannonesque a tergo adorientes graviter urgebant. nam Turci numero et equorum generositate superabant. praeterea plerumque non impetu verum arte in praeliis utuntur. quapropter ea tempestate Turcorum res meliore statu quam Pannonum erant. et quidem primo die multi Pannones in pugna cadebant, necnon plurimi Turci trucidabantur a Pannonibus. per totum istum diem aequo utrinque Marte pugnatum est. vespera autem appetente relinquentes praelium, uterque exercitus in sua castra colligebatur quietique se dabant.

Pannones putabant Turcos noctu abituros nec amplius in castris mansuros. et equites quidem non pauci iam discesserant. ubi autem Triballos invenere expectantes in angustiis hostem abeuntem, in castra redierunt. Pannones quidem arbitrabantur se die crastino cum

Τοῦρκοι ἀναθαρσήσαντες οὐκ ἐν ὁμοίῳ ἔτι δέει ἐγίνοντο ἀμ- V. 150 φὶ τοὺς Παίονας, θαρσαλεώτεροι δ' ὄντες παρεσκευάζοντο ὡς ἐς τὴν ὑστεραίαν μαχόμενοι τρέψασθαι τοὺς Παίονας.

Τὴν μὲν οὖν ἡμέραν ταύτην ἐς τοσοῦτον ἐγένετο· τῇ δὲ νυκτὶ ταύτῃ Παίονες βουλευόμενοι ὅπως τῇ ὑστραίᾳ τὴν μάχην ποιήσωνται, γνώμην ἀπεφαίνετο ἕκαστος ὡς ἐδόκει αὐτῷ τὴν μάχην ποιεῖσθαι, καὶ λόγος ἐγίγνετο πολύς. ἐνταῦθα B βουλευομένων αὐτῶν, Ταούτης ὁ Σαούζεω, υἱιδοῦς τοῦ Ἀμουράτεω, γένος ὢν τῶν Ὀτουμανίδων, παρελθὼν ἐς μέσον ἔλεξε τοιάδε. "ἡμῖν μὲν ἱκανὰ συμβέβληται ἔστε τὴν Ἀσίαν καὶ ἐς τὴν Εὐρώπην, οὐδὲ δεῖ ταῦτα προσέχοντας ἐς τὰ Ἀμουράτεω πράγματα τὴν μάχην ποιεῖσθαι, ἀνήνυτα ἐργαζομένους· οὐ γὰρ ἂν παρεχομένων σφᾶς κτείνειν τῶν ἀνδρῶν τούτων δυναίμεθ' ἂν οὕτω γε εὐπετῶς χειρώσασθαι. ἀλλ' ἐμοὶ δοκεῖ ὁ μαχόμενος τῷ πολέμῳ, ἢν μὲν βάλλῃ καιρίαν πληγήν, κατέβαλέ τε τὸν πολέμιον καὶ ἔχει καλῶς χρῆσθαι τῷ στρατεύματι. ποῦ δ' ἂν βάλοι καιριωτέραν ἢ ἐν τῇ κε- C φαλῇ; τό τε γὰρ σῶμα ἄγει πᾶν, καὶ ἐν τούτῳ ἡ ἀκρόπολις. ἢν δὲ μὴ καιρίαν βάλῃ, ἐπίπονα ἔσται καὶ χαλεπὰ κατεργασθῆναι τὰ τῶν πολεμίων. καὶ νῦν δὲ οὕτω δοκεῖ. ὁρᾶτε γὰρ ὡς αἱ θύραι τοῦ βασιλέως ἑστήκεισαν οὐδαμῇ ὡρμημέναι ἐπὶ τὴν μάχην, οὔτε ἀνακινδυνεύειν ἐθέλουσιν, ὡς τὸ πᾶν

11. δεῖ] δὴ P 18. ἄγειν P

parva hostilis exercitus manu congressuros, quasi caeteri diffugissent, non expectantes hostem; et sic victoria facile potituros, regisque ianuas debellaturos. rex vero Amurates et Turci se ipsi confirmantes haud amplius metuebant Pannones.

Animis igitur receptis, et plurimum exhilarati, accingebantur ad praelium, quasi eo die qui sequeretur, praeliaturi cum hostibus eosque in fugam coniecturi. eo die quae modo memoravimus, contigere. istam noctem Pannones deliberando consumpsere; et cum consultarent, singuli suam sententiam, quemadmodum sibi consultum videretur auspicari praelium, in medium adducebant. varii multique habebantur sermones. ibi tum consultantibus Pannonibus Tautes Sauzis filius, natus ex genere Otomanidarum, qui tum castra Ungarorum sequebatur, Amuratis primi ex Sauze filio nepos, progressus in medium huiusmodi orationem exorsus est. "nobis iam satis superque in Asia et Europa pugnatum est. necdum animum advertimus ut pugnandum sit contra Amuratem, ut res eius contundamus. nisi enim peremerimus viros istos, non facile poterimus Amuratem vincere. at mihi videtur, si quis certamen subeat cum hoste eique infligat letalem ictum, hostem deiecit, et reliquo exercitu pro arbitrio uti pote-

φέρουσαι αὐτὰ τοῦ βασιλέως ὑγιῆ τε εἶναι, καὶ ἐς ἀνάγκην ἐπειδὰν περιστῇ, μάχεσθαι. φέρε οὖν, ταύτην κινήσωμεν τὴν βασιλέως σύνταξιν, καὶ οἰχομένης ταύτης ἡμῖν οὐδεὶς τῶν D ἄλλων μένειν ἐθέλῃ. δοκεῖ οὖν ἐμοὶ κινῆσαι τὸ στρατόπεδον ἡμῖν ἅπαν, καὶ ταῖς ἁμάξαις, ἐφ' αἷς οἱ τηλεβόλοι καὶ τηλεβολίσκοι ἡμῖν τυγχάνουσιν ὄντες, ὑπὸ ταύτην τὴν νύκτα ἰέναι ὁμόσε ἐπὶ τὰς θύρας αὐτίκα, καὶ μὴ διαμέλλειν. καὶ ἢν ἐπίωμεν τηλεβόλοις τε καὶ τοῖς ἄλλοις βέλεσι βάλλοντες τὰς βασιλέως θύρας καὶ δεδιττόμενοι, οἴομαι μὴ ἐπιμένειν ἕως ἡμέρας, ἀλλ' ὡς ἔχει ἡ νύξ, οὕτως αὐτοὺς ἰόντας ἀπαλλάττεσθαι ἀσμένως. καὶ τούτων ἀπωσάμενοι τὰ πράγματα ἔχοιμεν τὰ ἐκείνων." ταῦτα λέγων ὁ Ταούτης ἔπειθέ τε, καὶ ἐποίουν οὕτω. καὶ αὐτίκα P. 193 σὺν ταῖς ἁμάξαις ἐπῄεσαν ἐς τὸ βασιλέως στρατόπεδον, περὶ πρώτην φυλακὴν τῆς νυκτός. ὡς δὲ ἀγχοῦ ἐγένοντο τῶν βασιλέως θυρῶν, ἐνταῦθα ἐδεδίττοντο τηλεβόλοις τε καὶ τηλεβολίσκοις τοὺς νεήλυδας, καὶ ἔβαλον τὸ τοῦ βασιλέως στρατόπεδον· καὶ ἐμάχοντο μεγάλως πρὸς τὸ μέρος, ὥστε διέφαινεν. οἵτε γὰρ νεήλυδες τούς τε τηλεβόλους παρασκευασάμενοι καὶ τηλεβολίσκους ἀφίεσαν ἐπὶ τοὺς Παίονας. καὶ ἐπι-

11. τούτους? 19. ὑφίεσαν P

rit. ubi autem magis quis letale infligat vulnus, quam si caput feriat? tum enim corpus totum dolet. in capite enim quasi urbs et regimen totius humani corporis situm est. sin autem haud dederis letale vulnus, difficile admodum et laboriosum erit superare hostem. et ut meam sententiam capiatis, sic audite. vidistis ut ianuae regis steterint neutro inclinatae ad pugnam. nec periclitari volunt, quasi salus regis atque adeo totius exercitus in ipsis sita sit; nec prius quam necessitas postularit, pugnam capessunt. agite igitur, hunc regis exercitum invadamus; qui si in fugam abierit, nullus nos expectare sustinebit. censeo autem ut regem aggrediamur cum universo exercitu, cum curribus quoque, in quibus bombardae et bombardarii sunt; et ut pergamus adhuc hac noctu confestim contra ianuas, nec cunctemur. et accedentes bombardarum globis sagittisque petamus ianuae milites, iisque terrorem maximum inferamus. satis certo scio eos non mansuros usque dum illucescat dies: sed hac adhuc nocte lubenti et cupido animo fugam arripient. quod si fuerit factum, facile nos rerum potiemur." his dictis omnes consensum praestitere, et uno ore sic faciendum esse pronuntiarunt. continuo igitur curribus in regis exercitum invecti sunt, sub prima adhuc noctis vigilia. cum appropinquassent ianuae militibus, terrorem fecere maximum, bombardarum globis et iaculis ferientes peregrinos. et quidem vim faciebant castris Amuratis. verum peregrini ubi rem cognorunt, magno animo Pannonibus restitere. nam bombardas expediebant bombardariosque

πτον ἀμφοτέρων οὐκ ὀλίγοι τῇ νυκτὶ ταύτῃ, ὑπὸ τηλεβόλων τὰ πλείω φθειρόμενοι. ἐπεὶ δὲ ἡμέρα ἀγχοῦ ἐγένετο καὶ ἑώρων τὸ βασιλέως στρατόπεδον ἱδρυμένον κατὰ χώραν ἀγωνίζεσθαι ἀξίως λόγου, ἐδόκει ἀναζεύξαντας ἀπελαύνειν ἐς τὸν B χῶρον ἐκεῖνον ἐν ᾧ ἐστρατοπεδεύοντο, καὶ μὴ ἀναμένειν συλλεγομένους κυκλοῦσθαι σφᾶς ἐγγὺς τῶν θυρῶν γενομένους. ὡς δὲ ἐδόκει, καὶ ἐποίουν ταῦτα. ἀνεχώρουν ἐς τὴν χώραν αὐτῶν, καθ' ἣν ἵδρυντο πρότερον.

Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, παρετάσσετο δεύτερα ἐς τὴν V. 151 μάχην, πειρασόμενος ᾗ ἂν ἀποβαίη αὐτῷ τὰ πράγματα. καθιστὰς δὲ ἐν μάχῃ, ἐμβαλὼν ἐς τὸ τῆς Ἀσίας στράτευμα συμβολὴν ἐποιεῖτο. ἐνταῦθα ὡς συνέβαλε, πέμπει ὁ τῆς Εὐρώπης στρατηγὸς Τουραχάνη τὸν Θετταλίας ὕπαρχον σὺν τῷ αὐτοῦ στρατεύματι κατὰ νώτου γενόμενον τοῖς Παίοσι C συμβαλεῖν ὡς δύναιτο ἰσχυρότατα. ἐνταῦθα Τουραχάνης κατὰ νώτου γενόμενος τοῖς Παίοσι πολλοὺς αὐτῶν κατέβαλεν ἐν τῇ μάχῃ ταύτῃ. οἱ μὲν γὰρ ἐδίωκον τοὺς Ἀλβανούς, καὶ ὡς ἐπικέοιντο διώκοντες, οἱ μὲν ἔφευγον ἀνὰ κράτος. πλὴν δὴ τῶν ὑπάρχων θεράποντες Εὐρώπιοι ὄντες, καὶ διαστάντες ὡς φεύγοιεν, ἐμάχοντο οἷα τοῖς Τούρκοις νομίζεται πρὸς τοὺς Παίονας. πρὸς δὲ τοὺς ἀπὸ τῆς Εὐρώπης κατὰ νώτου σφίσιν ἐπικειμένους συστραφέντες συστάδην ἐμάχοντο, ἄλλοτε

evocabant, et non cessabant iaculari Pannones. plurimi in ea nocte utrinque cadebant, icti bombardarum globis. postquam dies advenit, et Pannones videbant regis castra in ea regione locata fortiter pugnare, consilium cepere redeundi, unde egressi erant, in castra; nec expectandum esse, donec circumducerentur ab regis militibus stantes prope ianuas. haec sententia ubi placuisset, cedebant festinantes in eum locum ubi castrametati erant.

Die exorto iterum ad praelium praeparabatur Choniates, periculum facturus si felicem rerum sortiretur eventum. pugnans itaque impetum dabat in Asianum exercitum, et fortiter congrediebatur cum hostibus. Europae dux cum accepisset Pannones congressos esse cum Asiano exercitu, Turachanem Thessaliae praefectum mittit cum suo exercitu, ut a tergo adoriretur Pannones et quam fortissime contra eos praeliaretur. Turachanes imperata impigre faciens, Pannonum plurimos, cum in terga eorum irruisset, in eo praelio stravit. quidam enim persequebantur Albanos, a quorum vestigiis, quamvis celerrime fugerant, nusquam abstitere. ministri tamen praefectorum qui ex Europa venerant, haud fugam inierant. cum autem a suis essent destituti, qui fuga sibi consulebant, pugnabant haud secus ac Turci contra Pannones. praeterea contra eos acerrime praelium inibant qui erant ex Europa, et a tergo vim faciebant. nam conversi collato

ἄλλῃ τοῦ πεδίου, ὡς περιτύχοιεν ἑκάτεροι ἀλλήλοις ἐπικείμενοι.

D Δᾶκες δὲ ὡς ἑώρων τοὺς Τούρκους πολὺ παρ' ἐλπίδα ἀγωνιζομένους, καὶ σφίσι τὰ χαλεπώτατα ἐπηρτῆσθαι, ἀπαλλαγὴν δὲ μόλις ἔσεσθαι τοῦ κακοῦ, καὶ ἢν σῶες ἀφίκοιντο, ἐπὶ ὅρκου μηδεμίαν εἶναι μηχανὴν μὴ οὐ δίδοσθαι αὐτοὺς δίκας τῷ βασιλεῖ ὧν εἰργάσαντο αὐτῷ πολεμοῦντες καὶ ὅτι τοῖς Παίοσι συνεμάχουν, ἐδόκει αὐτοῖς ἐν τῷ μεγάλῳ τούτῳ θορύβῳ ἄγγελον πέμψαντας παρὰ βασιλέα Ἀμουράτην διαλλάττεσθαι, καὶ τὰ ὅπλα παραδιδόντας ξένους τε καὶ φίλους
P. 194 εἶναι τῷ βασιλεῖ. ὡς δὲ ἐδόκει, καὶ ἐποίουν ταῦτα. ὁ δὲ ἄγγελος ἀφικόμενος ἐπὶ τὰς θύρας ἔλεγε τοιάδε. "ὦ βασιλεῦ, ἐμὲ Δᾶκες ἔπεμψαν ἐς ὄψιν ἀφικέσθαι τὴν σὴν καὶ σπονδὰς αἰτεῖσθαι αὐτοῖς συγγνώμην παραιτουμένοις ἐφ' οἷς πεπλημμελημένα ἐστὶν ἐς τὴν σὴν ἀρχὴν καὶ ἐς τὰ σὰ πράγματα. καὶ διαμαρτυροῦνται σφᾶς ἀφ' ἑαυτῶν μηδὲν νεώτερον βουλεῦσαι περὶ τὰ σὰ πράγματα, ἂν μὴ οἱ Παίονες ἀνάγκην ἐπιθέντες, κελεύοντες σφίσιν ἕπεσθαι, προσβιάζοιντο ἡμᾶς. νῦν οὖν δέονταί σε πείθεσθαι καὶ αὐτοῖς σπονδὰς ποιεῖσθαι,
B καὶ αὐτόν σοι τὸν πόλεμον παραστήσασθαι τοῦ λοιποῦ, ὥστε σοι ἐπιτήδειον εἶναι." ταῦτα εἰπόντος τοῦ ἀγγέλου, Χαλίλης

16. διαμαρτυρῶνται P   20. αὐτοὶ?

pede nunc hic nunc alibi, ubi alteri alteros indipiscebantur, in eo campo manus conserebant.

Daci cum vidissent Turcos impigre praeter spem rem gerere, et sibi hinc plurimum periculi imminere, huiusmodi consilium ceperunt. nam nullam mali liberationem cernebant, etiamsi incolumes ex eo praelio evasissent. nec etiam in iurisiurandi religione spem aliquam ponebant, quo minus regi poenas luerent iniuriarum quibus ipsum affecissent, quod in ea expeditione socia arma iunxissent Pannonibus. videbatur igitur in praesenti tumultu consultissimum fore, nuntium mittere ad regem Amuratem et cum eo in gratiam redire. traditis namque armis testabantur se in posterum regi hospites et amicos fore. In hanc sententiam cum omnes concessissent, nuntius ad regem missus est. hic cum venisset ad ianuas, huiuscemodi orationem habuit. "o rex, Daci miserunt me in conspectum tuum, ut pacem veniamque delictorum, quae in te et in regnum tuum commisere, orem. testantur quoque se nunquam quid novarum rerum sua sponte molitos fuisse in te et regnum tuum, nisi Pannones eam necessitatem iniecissent, iubentes, imo cogentes, ut coniunctis copiis expeditionem istam susciperent. nunc igitur supplices petunt, velis eos exaudire et pacem dare. promittunt se tibi bellum praesens ex animi tui sententia confecturos; et profecturos tecum in militiam deinceps,

ὁ πρύτανις τοῦ οἴκου τοῦ βασιλέως ὑπολαβὼν ἔλεγε τοιάδε. "ἀλλ' ὑμεῖς, ὦ ἄνδρες Δᾶκες, ἐπίστασθέ που ὡς βασιλεὺς ἐπιτήδειός τε ἦν δυνάμει καὶ πρόξενος ἐξ ἀρχῆς, καὶ νῦν ἐπεὶ ἐν δέοντι παραγίγνεσθε, σπονδάς τε ποιεῖτε ὑμεῖς ἄνευ τε δόλου καὶ ἀπάτης, φίλοι τε εἶναι ὑμεῖς τοῦ λοιποῦ. καὶ ἤν τι, ὧν ὑμεῖς λέγετε, ἐξειργασμένον τῷ βασιλεῖ χάριν θείητε, ἴστε ὡς οὐχ ὑπερβαλούμενοι αὐτὸν εὐεργετοῦντες. τὰ μέντοι ὅπλα ἴτε δεῦρο ὅτι τάχιστα παραδώσοντες." ταῦτα Χαλίλης ὁ Πραΐμεω φάμενος γνώμῃ τοῦ βασιλέως λέγειν ἀπέπεμψε. C καὶ οἱ Δᾶκες, ὡς ἐπανῆκεν αὐτοῖς ὁ ἄγγελος λέγων ἃ ἐνετέλλετο αὐτῷ Χαλίλης ὁ Πραΐμεω γνώμῃ τοῦ βασιλέως, αὐτίκα διέστησάν τε ἀπὸ Παιόνων χωρὶς γενόμενοι, καὶ προϊόντες ἀφίκοντο ἀγχοῦ τῶν θυρῶν τοῦ βασιλέως, καὶ ταύτῃ ἑστηκότες ἐνόμιζον αὐτῷ τοιάνδε χάριν καταθέσθαι τῷ βασιλεῖ, ὑπουργοῦντες αὐτῷ ἐς τὴν παροῦσαν ἀνάγκην, οἴσεσθαι V. 152 δῶρά τε καὶ ἐσθῆτας πρὸς τοῦ βασιλέως. βασιλεὺς δὲ ὡς παρ' αὐτῷ εἱστήκεισαν, νομίσας μή τινι δόλῳ ταῦτα [συνθέμενοι] προϊσχόμενοι αὐτῷ κακόν τι διανοοῖντο ἐργάζεσθαι, συνθέμενοι τοῖς Παίοσι, μεταπέμπεται τὸν τῆς Εὐρώπης στρατηγὸν ἔχοντα ἀμφὶ τοὺς δισμυρίους, καὶ ὡς παρῆν αὐτῷ D ᾗ ἐνετέλλετο, ἐκέλευε περιστάντας τοὺς Δᾶκας κατακαίνειν

2. ἐπίστασθαι P: corr H

ubicunque tibi usui esse poterunt." haec cum exposuisset nuntius, Chatites regiae domus princeps in hunc modum respondit "sed vos, o Daci, scitis profecto quanta sit fueritque iam ab initio potentia regis: et quoniam nunc in necessitatis articulo adestis, foedusque nobiscum initis citra dolum et fraudem, amici eritis in posterum. si quid eorum quae promittitis feceritis, gratiam referentes regi, scitote quod eum beneficiis nunquam vincere poteritis. arma autem ite et confestim huc tradite." Chatites haec locutus est, dicens se ea dicere ex sententia regis, eumque dimisit. Daci, cum reversus esset nuntius, et quae mandata accepisset a Chatite ex mandato regis enarrasset, continuo defecerunt a Pannonibus, et ab iis separati venerunt quam proxime ad ianuas regis. hic cum otiosi starent, putabant se gratiam hanc referre regi, quod eum in praesenti necessitate adiuvarent. sperabant quoque se munera et vestes ab rege accepturos propter id beneficium. rex autem, cum in proximo consisterent Daci, putans ne id facerent ex composito, pacti prius cum Pannonibus ut sibi aliquid mali inferrent, accersit Europae ducem (quem Bassam Romaniae vocant) habentem milites circiter viginti millia. qui ut advenit quemadmodum praeceptum erat, iussus est circumdare corona Dacos omnesque trucidare, nulli parcens. Daci arma tenentes ad resistendum accingebantur. nolebat enim rex ut traditis armis iner-

ἅπαντας, μηδενὸς φειδόμενον. καὶ οὕτω πρὸς ἀλκὴν ἐτράποντο τὰ ὅπλα ἔχοντες· οὐ γὰρ ἠξίου ὁ βασιλεὺς παραδόντας τὰ ὅπλα κατακαίνειν, ἀλλὰ ταῦτα ἔχοντας δίκην διδόναι ὧν ἐποίουν ἐς αὐτόν. καὶ οὕτω μὲν δὴ ταύτῃ ἐν οὐδενὶ λόγῳ ἀπώλοντο.

Παίονες μὲν δὴ πρῶτα τοὺς Δᾶκας διισταμένους ἰδόντες ἐθαύμαζον ὅ τι βούλοιντο· ὡς δὲ ἔγνωσαν διαλλαττομένους τῷ βασιλεῖ, ἐχαλέπαινόν τε αὐτοῖς καὶ ἤχθοντο καταP. 195 προδεδωκόσι τοὺς φίλους. ἐπεὶ δ' ὀλίγον ὕστερον κατεῖδον αὐτοὺς ξύμπαντας πρὸς τοῦ βασιλέως οὐδενὶ λόγῳ ἀπολλυμένους, ἐν θαύματι εἴχοντο, τήν τε γνώμην ἐννοοῦντες τοῦ βασιλέως, ὡς οὐδέν τι συμμάχων τοιούτων ἐδεῖτο, μέγα τε ἐποιοῦντο ἀπαλλάττεσθαι τὴν ταχίστην. Ἰωάννης μὲν οὖν ὡς ἀπὸ τῆς μάχης ἐγένετο ἐπὶ τῶν ἁμαξῶν, διελέγετο τοῖς ἡγεμόσιν ἡγεμόσιν ὡς αὐτὸς μὲν σὺν τοῖς ἀμφ' αὐτὸν ἴοι ἀπὸ τοῦ λόχου, ᾗ ἑστήκει αὐτὸς βασιλεύς, ὡς ἐς τὰς θύρας ἐμβαλῶν, αὐτοὺς δέ, ἐπειδὰν ἄγγελον πέμψας διασημήνῃ, ἐλαύνειν ὁμοῦ πάντας ὁμόσε ἐπὶ τὰς θύρας. καὶ ταῦτα λέγων (ἦν δὲ ἀμφὶ τὴν ἐσχάτην φυλακὴν) ἐπιλεξάμενος τούς τε ἄμεινον ἐς
B τὸν πόλεμον παρεσκευασμένους καὶ οὓς ὡς ἐπιτηδείως ἔχοντας ἠπίστατο, τοῖς δὲ ἐν ταῖς ἁμάξαις παραγγείλας, ἐπειδὰν σημήνῃ, κατὰ ταῦτα προϊέναι ἐπὶ τὰς θύρας, αὐτός τε μὲν ἵετο συντεταγμένῳ τῷ στρατεύματι τὰ ἔμπαλιν γενόμενος ἐπὶ

mes interficerentur, verum armatos poenas delictorum dare eos volebat. in hunc modum miserabiliter, ut quorum nulla ratio haberetur, peribant.

Pannones cum conspicati essent Dacorum transitionem, primo mirabantur quid haec sibi vellent. ut compererunt Dacos in hunc modum reconciliatos esse regi, graviter succensuere, quod turpiter admodum destituissent amicos suos. verum haud multo post, ubi animadverterunt universos, nullo eorum respectu habito, crudeliter interire, admiratione figebantur, cogitantes regis sententiam, videlicet quod non desiderarre huiusmodi socios et auxiliares. proinde plurimi faciebant, si quamprimum abscedere possent. Ioannes igitur excedens praelio pergeeat ad currus, et colloquebatur cum ducibos, qui erant, dicens se venire cum suis ab ea hostium turma in qua steterit rex. itaque ubi in ianuas irruperit et id per nuntium significarit, ut uno impetu omnes adveniant atque in ianuas irruant. haec cum dixisset Choniates, circa extremam noctis vigiliam elegit eos qui optime ad bellum erant instructi, et quos sibi familiarissimos ducebat; et illis qui curribus vehebantur, imperat ut ubi primum signum dederit, summa vi in ianuas ferantur. ipse vero mutata voluntate, ad Istrum instructo agmine quam celerrime properabat. cum autem

τὸν Ἴστρον καὶ ἐλαύνων. ὡς δὲ ἡμέρα τάχιστα ἐγεγόνει, οὗτος μὲν οὐκέτι ἑωρᾶτο οὔτε πρὸς τῶν ἐναπολειφθέντων ἐν ταῖς ἁμάξαις Παιόνων οὔτε πρὸς τοῦ βασιλέως. ὡς δὲ οἱ ἀμφὶ βασιλέα ὁρῶντες τὸ στρατόπεδον τῶν Παιόνων κενόν τε εἶναι καὶ ὀλίγους ἐντὸς τῶν ἁμαξῶν ἐναπολειφθῆναι, ἐν θαύματι μὲν ἐποιοῦντο, ἀγγέλλει δέ τις αὐτῷ δρόμῳ ἀφικόμενος ὡς Παίονες πεφευγότες εἶεν ἐπὶ τὸν Ἴστρον ἀμφὶ τὴν δεκάτην φυλακήν. ἐνταῦθα οἱ νεήλυδες ἀναλαβόντες τὰ ὅπλα δρόμῳ ἔθεον ἐπὶ τοὺς ἐν ταῖς ἁμάξαις Παίονας. οὗτοι μὲν C οὖν ὡς ᾔσθοντο ὑπὸ τῶν σφετέρων προδεδομένοι, ἐμάχοντο πρὸς τοὺς νεήλυδας ἀξίως λόγου. μετ' οὐ πολὺ δ' οἱ νεήλυδες ἀνέβησαν ἐπὶ τὰς ἁμάξας, ὑπερέβησαν δὲ τοὺς Παίονας πάντας ὁμοῦ κατακαίνοντες. οὗτοι δὲ ἕωθεν μαχόμενοι, περὶ πλήθουσαν ἀγορὰν ἄνδρες γενόμενοι ἀγαθοὶ ἐτελεύτησαν. βασιλεὺς δὲ ὥρμητο μὲν διώκειν τοὺς Παίονας, προσφερόντων αὐτῷ λόγους τῶν στρατηγῶν· οὐ μέντοι προσίετο τοὺς λόγους, ἀναμιμνησκόμενος οἷα ἐπεπόνθει πρὸς τοῦ Χωνιάτου Χασίμης ὁ Μαζαράκεω ἐν τῇ διώξει, ἠγάπα τε τῇ παρούσῃ τύχῃ αὐτῷ ἐς τὸ βέλτιον καταστῆσαι. ἀπέθανον δὲ ἐν τῇ D μάχῃ ταύτῃ, ὡς ἐπυθόμην (ἠριθμήθη γὰρ ὕστερον ἀμφοτέρων ὑπὸ τοῦ Τριβαλλῶν ἡγεμόνος), Παιόνων μὲν καὶ Δακῶν συναμφοτέρων ἑπτακισχίλιοι καὶ μύριοι, Τούρκων δὲ ἐς τοὺς τετρακισχιλίους. τὴν γὰρ διάγνωσιν ῥᾳδίως ποιοῦνται, καὶ

2. οὔτε — οὔτε] οὕτω — οὕτω P

dies illuxisset, non amplius apparebat iis Pannonibus, qui relicti erant cum curribus, non procul ab rege submoti. Turci videntes castra hostium esse vacua et paucos admodum cum curribus esse relictos, admirabantur quid hoc sibi vellet. deinde quidam occurrebat, nuntians Pannones circa decimam noctis vigiliam fugisse trans Istrum. his auditis peregrini armà capiunt, et cursu ferebantur contra Pannones ad currus relictos. hi cum cernerent se a suis desertos et proditos, fortiter praeliabantur, cum desperatio virtutem accenderet adversus peregrinos. nec multo post peregrini currus conscendunt, et per Pannones vecti omnes trucidarunt. at Pannones per totum diem in conferta hostium turba pugnantes, cum forent viri optimi et fortissimi, tandem occubuere. regem quidem ad persequendos Pannones adhortabantur duces: verum is eorum consilia reppulit, cum animo secum reputans quaenam passus esset a Choniate Chasines filius Mazaracis, cum persequeretur Pannones. volebat itaque praesenti fortuna melius uti. caesi sunt in isto praelio, ut accepi (utrinque enim occisi a Triballorum duce postea dinumerati sunt) Pannonum et Dacorum decem et septem millia, Turcorum quattuor millia.

τὰ αἰτήματα αὐτῶν, ἀπό τε τῶν αἰδοίων, περιτεμνομένων τῶν
Τούρκων, καὶ τὸ μὲν τοὺς Παίονας κομᾶν ἐπιεικῶς πάνυ·
V. 153 οἱ δὲ Τοῦρκοι ξυρῶνται τὰς κεφαλὰς σὺν τρίχαις τισὶ τῶν
ἐν τοῖς κροτάφοις. βασιλεὺς δὲ ὡς ἀπὸ τῆς μάχης ἐγένετο,
τά τε σώματα ἀνελόμενος ἐκέλευσε θάπτειν τοὺς Τούρκους,
ἐς τὸν ποταμὸν τὸν Μοράβαν καλούμενον, παρὰ τὸ χεῖλος,
καὶ αὐτὸς συσκευασάμενος ἀπήλαυνεν ἐπ' οἴκου.

P. 196 Ὁ δὲ Ἰωάννης ὡς φεύγων ἀπεχώρει ἐπὶ τὸν Ἴστρον, καὶ
ἑσπέρα ἦν ἀφικομένῳ ἐπὶ τὸ Σβετζάνιον τοῦ βασιλέως πό-
λιν, διηπόρει ὡς ἀσφαλέστερον κομιζόμενος πρός τε τῶν Μυ-
σῶν μὴ κατάδηλος γένοιτο, καὶ κινδυνεύσῃ πρὸς τοῦ Τριβαλ-
λῶν ἡγεμόνος ἁλῶναι· εἶδε γὰρ τὸν Γεώργιον, ὡς περιποιή-
σαιτο ἑλεῖν αὐτὸν πολέμιον ὄντα καὶ διάφορον ἐς τὰ μάλιστα.
ἐπεὶ δὲ διασκοπούμενος ἐλογίζετο, ἐδόκει αὐτῷ χωρισθέντα
τοῦ στρατοῦ ἐλαύνειν σὺν ὀλίγοις τοῖς περὶ αὐτὸν εὐθὺ ἐπὶ
Βελογράδην. ὡς δὲ ἐδόκει αὐτῷ, περὶ δευτέραν φυλακὴν
τῆς νυκτὸς ἐπιλεξάμενος τοὺς ἰδίους αὐτῷ ἐπορεύετο ἄλλην
B ὁδόν. πορευομένῳ δὲ αὖθις ἐδόκει οἱ καὶ ταύτῃ ἔτι μᾶλλον
κατάδηλος ἔσεσθαι. πρὶν δὴ ἡμέραν γενέσθαι, νόῳ λαβὼν
ὡς μόνος αὐτῶν ἄμεινον σώζοιτο ἐς τὸν Ἴστρον, χωρὶς γενό-
μενος περὶ αὐτὸν ἰδίᾳ ἐπορεύετο αὐτὸς πορείαν. ὡς δὲ ἡμέρα

1. κατὰ τὰ διαιτήματα? 2. καὶ τῷ τοὺς μὲν Π.? 12. ᾔδει? et περὶ πολλοῦ ἂν ποιήσαιτο?

nam facile dignoscuntur a reliquis Turci, cum omnes sint circumcisi. praeterea Pannones admodum decenter capillos nutriunt, Turci vero raduntur, relictis quibusdam circa tempora capillis. rex cum excessisset praelio, tollere iussit cadavera occisorum. Turcos sepulturae mandari curavit, iuxta flumen Morabam prope ripam.

Ioannes autem fugiens festinabat ad Istrum. vesperi advenit Sbetzanium urbem regis. in ambiguo autem erat quomodo tutius profectionem facere posset, ne cognosceretur a Mysiis, et in periculum deinde veniret ut caperetur a Triballorum duce. haud enim Choniatem fugiebat, Georgium, cum quo sibi inimicitiae erant gravissimae, id parare ut ipsum caperet. secum autem omnia diligentius reputanti et expendenti visum est ut segregatus ab reliquo exercitu cum paucis recta pergeret Belgradum. hoc cum statuisset Choniates, secunda noctis vigilia, amicissimos suos et familiarissimos assumens, alia gradiebatur via. cum in hunc modum profectionem facerent, putabat se magis cognosci posse. antequam igitur dies adveniret, omnia secum in animo volvens deliberabat. tandem decrevit consultissimum esse, si incolumis praesens discrimen evitare velit, ut solus a suis separatus iter ingrederetur. exorto iam die, cum solus

ἐγένετο, καταβαίνει τε ἀπὸ τοῦ ἵππου, καὶ πεζῇ πορευόμενος
ἀφικνεῖται ἐπὶ λόφον τινά, καὶ θεασάμενος Τοῦρκον ταύτῃ
που ἐξελαύνοντα καταφεύγει ἐπὶ τὸ ἕλος ὕδατος πλῆρες καὶ
ἐπὶ πολὺ διῆκον. ἐπεὶ δὲ προῆλθεν, ἀφικνεῖται πρὸς τὴν τοῦ
Γεωργίου χώραν, καὶ περιτυχὼν Τριβαλλοῖς ἐζήτει γενέσθαι
οἱ τῆς ὁδοῦ ὁδηγούς, καὶ μισθὸν αὐτοῖς τῆς ὁδοῦ παρέχε-
σθαι. οἱ δέ, ὡς ὑπέσχοντο ἐξηγεῖσθαι αὐτῷ τὴν ὁδόν, ἐπε- C
βούλευον ἀνελεῖν. ἐνταῦθα, ὡς ἐδόκει αὐτοῖς, συλλαμβάνουσι
τε αὐτὸν ὡς ἀποκτενοῦντες. ὁ δὲ ὡς ᾔσθετο, σπασάμενος τὸ
ξίφος τοῦ Τριβαλλοῦ, ὥς οἱ ἐν καιρῷ ἦν, παίει μὲν τὸν ἕνα
κατὰ τὸν ὦμον καὶ καταβάλλει· ὁ δὲ ἕτερος φεύγων ᾤχετο.
ἐν δὲ τούτῳ πυνθανόμενος ὁ Τριβαλλῶν ἡγεμὼν ὡς ὁ Χω-
νιάτης ἡττηθεὶς πρὸς τοῦ βασιλέως ἀπελαύνει, ἔπεμπε κήρυκα
περιαγγέλλοντα τοῖς ἑαυτοῦ ὡς μηδενὶ Παιόνων ἐπιτρέποιεν
διαβαίνειν τὴν χώραν, πρὶν δὴ πυνθάνοιτο [καὶ ἐς ὄψιν ἄγειν
αὐτὸν] καὶ ὅστις τε εἴη καὶ ποῖ πορεύοιτο, καὶ τοὺς μὲν ἄλ-
λους ἐᾶν διιέναι, τὸν δὲ Χωνιάτην συλλαβόντας ἄγειν παρ' D
ἑαυτόν. οὗτος μὲν ταῦτα περιήγγελλεν, οἱ δὲ ἄρχοντες τοῖς
ἐν τῇ χώρᾳ προαγορεύοντες, ὅντινα ἂν λάβοιεν τῶν Παιόνων,
ἄγειν παρ' ἑαυτοὺς ἐπιδεικνύντας, καὶ ὅστις ἄλλῃ ποιῶν
ἁλώσοιτο, ὡς κακίστῳ θανάτῳ ἀπολούμενος. ἐνταῦθα ὁ Χω-
νιάτης, ὡς ἀπὸ λιμοῦ ἀπαγορεύων διηπόρει ὅποι τραπόμενος

iter faceret, ex equo descendens pedes pervenit ad collem quendam. videns autem Turcum hostiliter oberrantem, confugit in paludem aqua plenam, quae in longum extendebatur. deinde cum ex palude processisset, pervenit in Georgii regionem. incidens autem in Triballos quosdam, eos sibi itineris duces parare volebat, promittens se ipsis mercedem daturum. illi autem, quemadmodum promiserat Choniates, itineris duces facti, eum in itinere per insidias truncare nitebantur. eum igitur quasi interfecturi comprehendunt. qui ut rem sensit, stringens gladium, Triballum illico stravit, cum eum in humerum vulnerasset. alter autem fuga sibi consulens evasit. interea Triballorum princeps cum comperisset Choniatem ab Amurate victum fugam arripuisse, misit praeconem, qui suis nuntiaret ut nulli Pannoni regionem transire concederent prius quam interrogassent quisnam esset et quo abiret. reliquos quidem paterentur incolumes et inviolatos abire: verum si invenissent Choniatem, eum capere et ad se adducere iubebantur. principes itaque regionis suis edicunt, quemcunque Pannonem nacti fuerint, ad magistratus perducant, ut videant quisnam sit. qui aliter fecerit et huic edicto non paruerit, eum ignominiosissima morte periturum. Choniates igitur fame deficiens, quonam se verteret nesciebat. venit igitur in quendam Triballorum lo-

γένοιτο, ἀφικνεῖται ἐπί τινα χώραν τῶν Τριβαλλῶν. καὶ ἐνταῦθα ὡς ἑωράκει Τριβαλλοὺς τὴν γῆν ἐργαζομένους, ᾔιεν ἐπὶ τούτους δεησόμενος ἐπιδοθῆναί οἱ ἄρτον. ὡς δὲ εἶδον
P. 197 ἄνδρα Παίονα ἐπιστάντα σφίσι ζητεῖν ἄρτον, ἔφασαν "ἀλλ' ὦ ξένε, ἄρτος μέντοι ὅδε σοι ἕτοιμος, χρεὼν δέ ἐστιν ἐπὶ τὸν τῆς πόλεως ἄρχοντα ἄγοντας δὴ ἡμᾶς ἐπιδεικνύναι, καὶ ἐπειδὰν θεάσηται, ἀποπέμψει δὴ πάλιν οὗτος ἐπὶ τὴν σαυτοῦ χώραν. οὐ γὰρ κακόν τι πρὸς αὐτοῦ πείσῃ ἂν οὐδ' ὁτιοῦν, ἀλλὰ Ἰωάννην τὸν τοῦ Χωνιάτου ζήτησις, οἶμαι, γίγνεται· τοὺς δ' ἄλλους τῶν Παιόνων ὅσοι διεξελαύνουσιν ἐντεῦθεν, ἐν
V. 154 οὐδενὶ λόγῳ ποιοῦνται." ταῦτα λέγοντες ὡς οὐ μεθίοντο αὐτοῦ ἀλλ' ἰσχυρῶς τε ἥπτοντο, ἀναγκάζεται τῷ πρεσβυτέρῳ μηνῦσαί τε ἑαυτὸν ὡς εἴη ὁ Χωνιάτης. καὶ ἐπηγγέλλετο μεγάλα δοῦ-
B ναι αὐτῷ ξένιά τε καὶ χρήματα καὶ χώραν, εἰ ἐπὶ Βελογράδην ἀγάγοι σῶον, ὑπὸ μηδενὸς τῶν Τριβαλλῶν ὀφθέντα. ὁ μὲν οὖν πρεσβύτερος ὡς ἔγνω τε αὐτόν, ὑπεδέξατο ἀσινῆ ἐς τὴν χώραν ἀπάξειν, τοῖς τε ἀδελφοῖς αὐτοῦ ἐξειπὼν ὅστις εἴη, προηγόρευε μηδαμῇ ἰόντας ὁμολογῆσαι τὸν ἄνδρα. ἑσπέρας δὲ γενομένης ἀπήγαγον ἐς τὸ οἴκημα, ἐν ᾧ ἄχυρά τε ἦν σφίσι καὶ ὑποζύγια, καὶ ἐνέμενον τῇ ὑστεραίᾳ συσκευασάμενοι ἀπάγειν ἐπὶ Μπελογράδην. τῇ δὲ ἡμέρᾳ ταύτῃ ἐν διαφορᾷ γενομένων τῶν ἀδελφῶν ἐξαγορεύει τις τούτων τῷ τῆς

9. Ἰωάννην τὸν] Ἰωάννου?

cum. ibi cum videret quosdam Triballos terram colere, ad eos iter flectebat, petens sibi panem dari. ut conspicati sunt agricolae virum Pannonem adesse et panem quaerere, dixerunt "at, o hospes, panis quidam tibi in promptu est: verum necessitas postulat ut te perducamus ad magistratum urbis, qui quis sis excutiat. magistratus ubi te viderit, continuo ad regionem tuam te abire sinet; nec quicquam mali ab eo patieris. nam (opinor) Choniatem quaerunt. reliquos Pannones qui huc pergunt, dimittunt, nullum eorum respectum agentes." agricolae cum haec dicerent, eum haud dimittebant. verum eum fortius comprehendentes efficiunt ut confiteretur seniori, necessitate subactus, se esse Ioannem Choniatem. pollicebaturque magna hospitalitatis munera, opesque et agros se daturum dicebat, si ductus fuisset inviolatus et ab nullo Triballo visus Belgradum. senior quidem virum agnovit, eumque suscepit traducendum in regionem suam illaesum. fratribus autem suis quisnam esset vir ille indicavit, praecipiens ne quoquam abirent et quis vir ille esset enuntiarent. vespere facto virum deduxerunt in eam domum in qua paleas et iumenta asservabant, et diem crastinum expectabant, ut Choniatem omnibus apparatis abducerent Belgradum. eo autem die dissensio exorta est in-

πόλεως ἄρχοντι, καὶ λαβὼν τοὺς θεράποντας ἄγει ἐπὶ τὸ οἴκημα, ἐν ᾧ ἦν ὁ Χωνιάτης ἐν τοῖς τῶν ἀχύρων οἰκήμασι. καὶ λαβόντες ἀπήγαγον παρὰ τὸν τῆς πόλεως ἄρχοντα. ὁ δὲ C ἔπεμπε δέσμιον ἀγόμενον παρὰ τὸν ἡγεμόνα, καὶ ἤγγειλεν ὡς ἑάλω ἐν χόρτῳ κεκρυμμένος. ὁ μὲν οὖν ἡγεμὼν, ὡς ἤχθη παρ' ἑαυτὸν ὁ Ἰωάννης, εἰς φυλακὴν ποιησάμενος ἀντεῖχεν ἐπί τινα χρόνον ἐν τῇ ἀκροπόλει. ὁ δὲ πείθει τόν τε ἄρχοντα τῆς ἀκροπόλεως καὶ τὴν φρουρὰν ἐπιθέσθαι ἅμα αὐτῷ τῷ ἡγεμόνι καὶ καταλαβεῖν τὴν πόλιν. ἐξενεγκόντος δέ τινος τῶν συνειδότων τὴν ἐπιβουλὴν, καταφανῆ ἐγένετο τὰ τῶν ἐν τῇ φρουρᾷ, καὶ οἱ μὲν ἀπώλοντο, Ἰωάννης δὲ ἐπιγαμίαν αὐτῷ ποιησάμενος, καὶ ἁρμοσάμενος τὸν παῖδα αὐτοῦ, ἀπέπεμψεν ἐπὶ τὴν ἀρχὴν αὐτοῦ ἐς Βούδην. D

Καὶ περὶ μὲν τὴν τῶν Παιόνων ἐκστρατείαν ἡγουμένου τοῦ Χωνιάτου τοσαῦτα ἐγένετο καὶ ἐν τέλει τούτῳ ἔσχετο· Ἀμουράτης δὲ ὡς ἐπανήκει ἐς τὰ βασίλεια, οὐ πολλῷ ὕστερον ὥρμητο μὲν ἐπὶ Βυζάντιον στρατεύεσθαι, τελευτήσαντος δὲ τοῦ Ἑλλήνων βασιλέως Ἰωάννου, καὶ ἐπὶ Κωνσταντῖνον τὸν ἀδελφὸν αὐτοῦ ὡς ἐχώρησεν ἡ βασιλεία. ἐπεί τε γὰρ ἐτελεύτησεν, ὥρμητο μὲν ὁ ἀδελφὸς αὐτοῦ Δημήτριος ἐπὶ τὴν βασιλείαν, διεκωλύθη δὲ ὑπὸ τῶν ἐν τῇ πόλει καὶ τῆς

6. κατεῖχεν?

ter fratres. hinc unus de numero fratrum commotus indicavit urbis magistratui ubinam esset Choniates. assumptis itaque ministris pergebant ad domum, in qua erat Choniates latitans in palearum receptaculis, eumque captum abduxerunt ad urbis magistratum. magistratus autem eum vinctum deduci curavit ad praesidem, significavitque eum esse deprehensum latitantem in foeno. praeses, cum adductus esset Choniates, eum in carcerem coniectum ad tempus aliquod in arce detinuit. at Choniates persuasit principi arcis et custodibus, ut simul cum ipso insurgant hostiliter contra praesidem et urbem occupent. cum quidam rei quae parabatur conscius insidias patefecisset, etiam quid custodes sive praesidiarii milites molirentur cognitum est. verum hi occisi sunt omnes. Ioannes autem affinitatem iungens cum illo, filiam suam filio eius in matrimonium collocando, remissus est Budam in regnum suum.

Et quidem haec contigere in expeditione quam Pannones sumpserunt adversus Turcos, duce Choniate; eaque expeditio quem diximus finem consecuta est. Amurates reversus in regni sui sedem non multo post bellum Byzantio inferebat. Graecorum rege Ioanne defuncto, in Constantinum, defuncti fratrem, regni successio devenit. nam Ioanne mortuo frater eius Demetrius in regni successionem festinabat. verum prohibitus est ab oppidanis, matre, arbitris, et ab

P. 198 μητρὸς καὶ μεσιτῶν καὶ τοῦ δήμου καὶ τῶν μεσαζόντων, Καντακουζηνοῦ τε καὶ Νοταρᾶ, δεδιότων μὴ ἀφικομένου ἐπὶ τὴν βασιλείαν τούτου ἐπαγάγῃ ὁ Κωνσταντῖνος στρατὸν ἐπήλυδα, καὶ σφίσιν ἀπόλοιτο ἥ ἀρχή τε καὶ τὰ πράγματα. ἀνέμενον δὴ διὰ ταῦτα ἐλθεῖν τὸν Κωνσταντῖνον, καὶ οὐκ ἐπέτρεπον τῷ Δημητρίῳ παριέναι ἐς τὴν βασιλείαν. ἔτυχε δὲ τότε προπαραγενόμενος ἐς Βυζάντιον καὶ Θωμᾶς ὁ νεώτερος ἀδελφός, περιόντα ἔτι οἰόμενος καταλήψεσθαι τὸν βασιλέα, καὶ χρηματίσων περὶ ἐνίων ὧν προσεδεῖτο τοῦ βασιλέως. οὗτος μὲν οὖν ἐτελεύτα, καὶ οὐκέτι ζῶντα κατέλαβεν, εὗρε δὲ τὰ πράγματα καταστάντα ἐς διαφορὰν καὶ αὐτός τε κατέστη ἐς B διαφορὰν Δημητρίῳ τῷ ἀδελφῷ περὶ τῆς βασιλείας. ἀφικομένου δὲ αὐτοῦ ἐς Βυζάντιον οὐ πολλῷ ὕστερον τοῦ Κωνσταντίνου, διείλοντο σφίσι τὴν Πελοπόννησον, καὶ ὅρκια ἐπὶ τῇ νομῇ ταύτῃ πρὸς ἀλλήλους ἐτάμοντο, ἐμπεδοῦντες τὴν διανομήν. ὁ μέντοι νεώτερος ἀδελφὸς πρότερος ἀφικόμενος νηὶ ἐπὶ Πελοπόννησον ἀφίστα τε τὰς ἐν Πελοποννήσῳ πόλεις πρὸς ἑαυτὸν παρὰ τοὺς ὅρκους, καὶ προσλαβόμενος τοὺς Πελοποννησίους τοὺς συναφεστῶτας ἐπολέμει πρὸς Δημήτριον τὸν V. 155 ἀδελφόν. ὁ δὲ ἐπαγόμενος τοῦ βασιλέως στρατόν, ἐπιδιαπραξαμένου τοῦ τῆς γυναικὸς ἀδελφοῦ Ἀσάνεω, τόν τε ἀδελφὸν ἠνάγκασεν ἐς ὁμολογίαν αὐτῷ γενέσθαι, καὶ ἐπετράποντο δι-

8. περιϊόντα P 9. οὕτως P.

Cantacuzeno Notaraque, qui arbitrorum partibus fungebantur. timebant enim, si is assequeretur regnum, fore ut Constantinus exercitum peregrinum adducat, et sic regnum regnique res interituras. expectarunt itaque Constantini adventum, nec permiserunt Demetrio ut regnum susciperet. ea tempestate Byzantium venerat et Thomas frater iunior, putans se regem adhuc superstitem inventurum. volebat enim quaedam cum eo, in quibus eius opera indigebat, colloqui. verum rex mortuus erat, nec eum adhuc viventem invenire potuit. repperit tamen maximam discordiam, quae exorta erat propter Demetrium regnum Byzantium affectantem. Constantino haud multo post Byzantium adveniente Peloponnesum inter se diviserunt, et iurisiurandi religio interposita est ne postmodum divisionem illam violarent. verum frater iunior prior navi in Peloponnesum vectus urbes Peloponnesiacas contra divisionis iusiurandum ad defectionem sollicitabat; et adhibitis Peloponnesiacis, qui ad ipsum confluxerant, bellum gerebat cum fratre suo Demetrio. qui adducto exercitu regis Turcorum, cum ad eam rem operam suam locaret uxoris frater Asanes, fratrem coëgit secum pacem pangere, cum utrinque rem totam per-

αιτητῇ σφῶν τῷ ἀδελφῷ Βυζαντίου βασιλεῖ, περί τε τῆς χώρας C ὁμήρους δόντες ἀλλήλοις καὶ πιστά.

Ἐν ᾧ δὴ ταῦτα ἐγένετο, Ἀμουράτης ὁ Μεχμέτεω παῖς 1451 τελευτᾷ ἐν συμποσίῳ, ὑπὸ οἴνου γενόμενος ἀπόπληκτος. ἐβασίλευε d. 2. Febr. δὲ ἔτη δύο καὶ τριάκοντα. κατέλιπε δὲ βασιλέα Μεχμέτη τὸν παῖδα αὐτοῦ, καὶ παῖδα ἕτερον ἐκ τῆς γυναικὸς αὐτοῦ, τῆς Σπενδέρεω θυγατρός, ἀνὴρ ἐπιεικής τε γενόμενος καὶ τὴν τύχην οὐκ ἀδόκιμος. ἀμυνόμενος δὲ ἐπολέμει, οὐχ ὑπάρχων ἀδικίας, ἀλλ' ἐς τὸν ὑπάρξαντα αὐτίκα ἐπιὼν ἐστρατεύετο, καὶ ὁπότε μή τις αὐτὸν προυκαλεῖτο ἐπὶ πόλεμον, οὐ πάνυ τι προυθυμεῖτο στρατεύεσθαι, οὐκ ἐς τοῦτο ὄκνου ἥκων, ἀλλ' ἀμυνόμενος μὲν ἐδικαίου καὶ χειμῶνος καὶ ἐς τὰ χαλεπώτατα D προϊέναι καὶ μηδένα ὑπολογίζεσθαι μήτε πόνον μήτε αὖ κίνδυνον.

Ἐπεὶ δὲ ἐτελεύτησε, κατέστη ἐς τὴν βασιλείαν Μεχμέτης. καὶ αὐτίκα μὲν ἐν τῇ Ἀμουράτεω τελευτῇ οἱ ἐν τῇ Ἀδριανοῦ πόλει νεήλυδες συνίσταντο ἀλλήλοις ὡς τῇ πόλει ἐπιθησόμενοι, καὶ ἐκτός τε τῆς πόλεως συναθροισθέντες ἐβουλεύοντο ὅποι τῆς πόλεως ἐπιθοῖντο καὶ σφίσι χρήματα πορίσαιντο ἀπὸ τούτου. ἐνταῦθα δὴ Χαλίλης ὁ Πραΐμεω τῶν θυρῶν τοὺς λοιποὺς ἐξοπλισάμενος, καὶ ἀπειλήσας, ἂν μὴ τὰ ὅπλα κατάθοιντο, μέγα τι κακὸν αὐτοῖς ἔσεσθαι ἀπὸ τούτου,

mitterent arbitrio fratris regis Cpolitani transigendam, obsides fidemque invicem propter regionem dantes.

Sub idem tempus quo haec gesta sunt, Amurates Mechmetis filius mortem obiit, in convivio ictus apoplexia, quam nimia vini conciverat copia. regnavit autem annis triginta duobus. regni successorem reliquit Mechmetem filium suum. habuit et alterum filium, quem tulit ex uxore sua Spenderae filia Amurates, vir iusti aequique eximius cultor. usus est fortunae aura non admodum adversa. provocatus, ut se defenderet, bella occipiebat. lacessitus confestim in armis erat: non autem iniuriis irritatus bellum aegre suscipiebat. nec id ignaviae adscripseris. nam si vis hostilis propulsanda erat, nec hieme cunctatur per loca asperrima incedere, nec pensi quicquam facere vel labores vel pericula.

Hoc autem defuncto regni moderamen nactus est Mechmetes. at quamprimum mortem Amuratis acceperunt peregrini qui Adrianopoli erant, inter se coniurarunt ut urbem eam caperent. in unum autem locum extra urbem collecti deliberabant ubi vel quomodo urbem aggrederentur, ut hinc opes plurimas colligerent. verum Chatites Priami filius reliquos ianuarum milites arma capere iubet; et illis minatur, ni con-

P. 199 ἐπειδὴ δὲ κατέθεντο τὰ ὅπλα, καὶ διέλυσε τὸν σύλλογον, ἐπ' οὐδενὶ ἀγαθῷ φάμενος ταῦτα ποιεῖν τούτους. μετ' οὐ πολὺ δὲ ἀφικόμενος ἀπὸ τῆς Ἀσίας Μεχμέτης ὁ Ἀμουράτεω ἐπὶ τὴν βασιλείαν καθίστη τε τὰ ἐν τῇ ἀρχῇ ᾗ αὐτῷ ἐδόκει πρὸς τὰ παρόντα ξύμφορα ἔσεσθαι, καὶ τοῖς τε Ἕλλησι σπονδὰς ἐποιεῖτο καὶ δέδοκε τὴν τῆς Ἀσίας παράλιον. καὶ δὴ καὶ τῷ Τριβαλλῶν ἡγεμόνι εἰρήνην ἐποιεῖτο, καὶ τὴν θυγατέρα αὐτοῦ, γυναῖκα τοῦ Ἀμουράτεω μητρυιὰν δὲ αὐτοῦ, αὐτίκα ἔπεμπε τῷ πατρὶ χαριζόμενος, καὶ χώραν ἐπεδίδου ὅσην ἐκτήσατο. τὸν δὲ ἀδελφὸν αὐτοῦ ἐπὶ τὴν βασιλείαν παριὼν
B ἀνεῖλεν, ὕδατι ἐπιστομώσας αὐτοῦ τὴν ἐμπνοήν. ἀνεῖλε δὲ τοῦτον οἰνοχόος αὐτοῦ· Σαραπτάρης ὄνομα ἦν τούτῳ, ὃς οὐ πολλῷ ὕστερον ἐτελεύτησε. τοῦτον μὲν οὖν τὸν ἀδελφὸν αὐτοῦ ταύτῃ διεχρήσατο· τὴν δὲ ἑτέραν τοῦ Ἀμουράτεω γυναῖκα, Σπενδέρεω θυγατέρα, ἡρμόσατο ἀνδρὶ μέγιστον δυναμένῳ ἐν ταῖς θύραις, τοὔνομα Ἰσάκῳ, ὃν στρατηγὸν ἀπέδειξε τῆς Ἀσίας καὶ ἐφιλοφρονεῖτο αὐτὸν ἐς τὰ μάλιστα. καὶ τοῖς τε ἀπὸ Πελοποννήσου πρέσβεσι σπονδὰς ἐποιήσατο.

Τελευτήσαντος δὲ δὴ Ἀμουράτεω Καραμᾶνος ὁ Ἀλιζούριος καὶ πρότερον μὲν εἴη ταράσσων, ὅπως τὰ ἐν τῇ Ἀσίᾳ
C ἀφιστάμενα συσταίη τε ἐπὶ τοὺς Ὀτουμανίδας καὶ αὐτὸς διὰ τοῦτο ἐπὶ μέγα χωρήσει δυνάμεως, ἐταράσσετο μεγάλως τὰ

9. ἠτήσατο R 12. Σαραπτάρης] hoc nomen ante οἰνοχόος P
20. ἤει? an ἀεί?

tinuo arma ponerent, exitium. cum autem arma deposuissent, concionem dimisit, dicens eos nequaquam ex bona causa istud moliri. nec multo post ex Asia adveniens Mechmetes Amuratis filius ad regni gubernacula, rebus eam formam induxit quam in praesentiarum utilissimam fore rebatur. cum Graecis foedera sanxit, iisque maritimam Asiae regionem concessit. etiam cum Triballorum principe pacem fecit, cui filiam, Amuratis uxorem, ipsius vero novercam, remisit, putans se ei rem gratam facere. regionem eidem quantam antea contribuit. fratrem suum, cum regni moderamen suscepisset, peremit, cum aqua infusa spiritum eius interclusisset. hunc autem interfecit regis pincerna nomine Saraptares, qui haud multo post fato functus est. fratrem suum in hunc modum e medio sustulit. Amuratis alteram uxorem, Spenderae filiam, in matrimonium collocavit viro in ianuis potentissimo, quem Isaacum nominabant. hunc plurimum diligebat, eumque Asiae ducem declaravit. foedus percussit quoque cum legatis, qui ab Peloponneso advenerant.

Mortuo Amurate Caramanus Halisurius, qui iam antea non cessabat Asianos incitare ut deficerent ab Turcis et contra Otomanidas bellum susciperent, sperans eo modo se maximam potentiam nacturum,

ἐν τῇ Ἀσίᾳ πράγματα. καὶ στρατὸν ἀγόμενος ἐπὶ τὴν βασιλέως χώραν ἐληΐζετο τὴν χώραν καὶ ὑποζύγια. Μεχμέτης δὲ ὡς ἐπύθετο Καραμᾶνον ληΐζεσθαι τὴν χώραν αὐτοῦ, οὐκ ἠνέσχετο καὶ εὐθὺς ἐστρατεύετο. καταλιπὼν δὲ Σαραζίην τῶν θυρῶν πρυτανέα, ἐπιτήδειόν τε αὐτῷ ὄντα, καὶ ἐς τὴν Ἀσίαν διαβὰς ἤλαυνεν ἐπὶ Καραμᾶνον καὶ ἐπὶ τὴν χώραν αὐτοῦ. ὁ δὲ ἐξέλιπε μὲν τὴν χώραν ἐπὶ τὰ ἄκρα τῶν ὀρέων, V.156 ὡς καὶ πρότερον εἰώθει ἀπιέναι, ἐπρεσβεύσατο δὲ συμβουλεύσαντος Χαλίλεω τοῦ Πραΐμεω, καὶ ἐς ὁμολογίαν ἀφικόμενος ὑπουργεῖν αὐτῷ ὧν ἂν δέοιτο καὶ τὸ Κανδελόρον ἀπο- D διδόναι ἔφη ἕτοιμος εἶναι. ὁ δὲ ἐπύθετό τε καὶ ἐποιεῖτο τὰς σπονδάς.

Καὶ ὑποστρέφων, ὡς ἐν τῇ Καλλιουπόλει ἐγένετο, ἀριθμὸν ἐπεζήτει τῶν νεηλύδων, ὅσοι ἀπῆσαν καὶ οὐ παρεγένοντο ἐς τὴν ἐξέλευσιν ταύτην, καὶ τὸν μὲν ἄρχοντα αὐτῶν Ἀγιάπασαν καλούμενον λυμηνάμενος μάστιξιν ἐξέβαλεν ἐκ τῆς τιμῆς, τοὺς δὲ δεκαδάρχας καὶ εὐνούχους καὶ πεντηκοντάρχας, ὧν ἀπῆσαν οἱ νεήλυδες, πρῶτον μὲν μαστιγώσας ἐξέβαλεν ἐκ τῆς τιμῆς. ταῦτα δὲ ἐποίει, ὅτι αὐτῷ οὐκ ἐδήλωσαν στρατευομένῳ ἐπὶ τοὺς πολεμίους ὅστις τε παρείη καὶ ὅστις τε ἀπὼν τυγχάνει. ἱερακοφόρους μὲν τοῦ πατρὸς ἑπτακισχιλίους ἔπαυσεν P.200 αὐτοὺς ἐκ τῆς τάξεως, καὶ προσετίθει ἐς τὸν στρατὸν παρα-

16. ἐξέλαβεν P 17. ὧν] ὡς P

etiam eo tempore Asianos plurimum ad defectionem accendebat. ingressus itaque cum exercitu regis regionem eam populabatur et iumentorum praedas agebat. Mechmetes ut audivit Caramanum suam vastare regionem, rei indignitatem non ferens illico arma cepit et relinquens Saraziem ianuarum principem, cum quo sibi artissima intervenerat familiaritas; transgressus est in Asiam, bellumque Caramano indixit, eiusque regionem evastavit. Caramanus regionem deserens in montium cacumina, quemadmodum antea consueverat, se recepit. verum postea legatos misit ad regem, suadente Chatite filio Priami, dicens, si pacem daret, se, ubicunque usui esse possit, ipsi ministraturum. praeterea se paratum esse confitebatur restituere Candelorum. quae ubi intellexit rex, eum in foedus admisit.

Reversus deinde, cum venisset Calliopolim, peregrinorum numerum, qui in eam expeditionem non venerant, inquirebat. ducem autem eorum, cui nomen erat Hagiapases, flagris caedens munere suo abire iussit: eunuchos autem, et eos qui decem quique quinquaginta militibus praeerant, quorum peregrini aberant, prius verberibus caesos munere suo removit. poenas autem istas propterea dederunt, quod regi contra Caramanum pergenti non indicassent quinam adessent quive abessent. septem milia virorum erant, qui curabant accipitres regios; quos

γίγνεσθαι αὐτῷ ἐξελαύνοντι. καὶ τούς τε αὖ κυνῶν ἐπιστάτας καὶ τούτους ἐξήλασεν ἐκ τῆς τάξεως, φάμενος πλὴν ἑκατὸν τοιούτων καὶ ἱερακοφόρων πεντακοσίων μὴ προσδεῖσθαι αὐτὸν ἐπὶ πλέον, οὐδὲ ἐς τοῦτο ἀφροσύνης ἥκειν ὥστε ἀργοὺς τούτους τρέφειν ἐπὶ ματαίῳ καὶ καινοπρεπεῖ πράγματι.

Τῷ μὲν οὖν Πελοποννησίων ἡγεμόνι τῷ Δημητρίῳ συνεμάχει πρὸς τὸν ἀδελφὸν ἔτι διαφερόμενον, καὶ οὐκ ἐπέτρεπε τὴν χώραν τῷ ἀδελφῷ. καὶ τόν γε Τουραχάνη ἔπεμπε B συμμαχοῦντά τε αὐτῷ καὶ τὸν Ἰσθμὸν τέλεον καθαιρήσοντα. Θῶμας μὲν οὖν ξυνέβη τῷ ἀδελφῷ, ἐφ' ᾧ τοῦ λοιποῦ ξένους τε καὶ φίλους εἶναι ἀλλήλοις, καὶ Καλαμάταν πόλιν παρεχόμενος ἀντὶ τῆς τῶν Σκορτῶν χώρας, ἣν τὸν ἀδελφὸν αὐτοῦ ἀφελόμενος εἶχε.

Ταῦτα μὲν ἐς τοσοῦτον ἐγένετο, καὶ Τζαγνισᾶ τῷ Καραισούφεω παιδὶ πρεσβείαν ἐς αὐτὸν πέμψαντι, καὶ αἰτουμένῳ ὥστε μὴ τὴν περὶ Σεβάστειαν χώραν ληίζεσθαι, ... βουτύρου τε χιλίας καμήλους, καὶ ἐμέλησε μὲν πόλεμον αὐτῷ C προειπόντα ἐλαύνειν. Τζαγνισᾶς δὲ οὗτος, ὡς καὶ πρότερόν μοι ἐδηλοῦτο, τελῶν ἐς τοὺς μέλανας Μαυροπροβατάντας οὕτω καλουμένους, τοὺς Καραισούφεω παῖδας τήν τε Δαβριζίην ἀφελόμενος συνήλασέ τε αὐτοὺς ἐπὶ Σαματίην πόλιν. ὥρμητο δὲ ἀπὸ Παγδατίης τῆς Βαβυλῶνος, καὶ ἐπολιόρκει, καὶ τὴν Ἀρμενίων χώραν ὑφ' ἑαυτῷ ποιησάμενος, ἐς τὴν Ἐρζι-

11. ἀλλήλους P

isto ex ordine deturbavit et milites esse iussit. etiam canum curatores ab isto officio movit, inquiens sibi sufficere centum viros, qui canes, et quingentos, qui accipitres curent. nec se eo stultitiae processurum ut velit alere hominum tantam multitudinem propter rem quandam vanam et novam.

Adiuvit Demetrium Peloponnesiacum principem in eo bello quod cum fratre gessit, cui regione cedere recusabat. misit ei auxilio Turachanem, ut Isthmum penitus destrueret. Thomas quidem in gratiam rediit cum fratre, ut in posterum inter se amici et hospites forent. urbem Calamatam ei dedit pro Scortorum regione, quam fratri ademptam possidebat.

Haec quidem hactenus. Tzanises Cariasuphis filius legationem misit ad regem, petens ne regionem Sebastiae finitimam popularetur. * * * * * butyri et mille camelos. caeterum omisit bello eum petere, quamvis prior bellum indixisset hostis. Tzanizes autem ille pertinet, ut supra memoravimus, ad nigros Mauroprobatantes dictos, qui Cariasuphis filios privatos Dabriza compulit in Samatiam urbem; quos profectus a Pagdacia Babylone obsidione premebat. deinde subiugans Armeniam, exercitum movit contra Erzeganam Armenorum re-

γανὴ τὰ τῶν Ἀρμενίων βασίλεια ἐπελαύνων παρεστήσατο, ἔχων στρατὸν ἀμφὶ τὰς ὀκτὼ μυριάδας ἱππέας. καὶ ἐπελαύνων οὗτος ἐς τὴν κατὰ τὴν Ἀσίαν χώραν τοῦ Μεχμέτεω ἐληίζετο. οἱ μὲν οὖν περὶ Σεβάστειαν, ὥστε σφῶν τὴν χώραν μὴ φέρειν αὐτόν, βουτύρου τε ἱκανὰ φορτία ἐφέροντο καὶ ἀσινῆ τὴν χώραν ἐνέμοντο. [ὑπὸ] τούτου μὲν οὖν τὴν χώραν τοῦ Καραισούφεω παιδὸς Τζοκίης τῶν Τεμήρεω ἀπογόνων, ὡρμημένος ἀπὸ Σεμαρχάνδης κατεστρέφετο, καὶ τήν τε Παγδατίην πόλιν τῆς Βαβυλῶνος ἐπολιόρκει, ὡς ἐν τοῖς ἔμπροσθέν μοι ἐλέγετο, καὶ Χασάνην τὸν μακρὸν καλούμενον ἐς τήνδε τὴν κάτω Ἀσίαν καὶ ἐπὶ Ἀρμενίαν πέμπων τὰ ἐς τὴν χώραν ὑποχείρια ἐποιεῖτο. ταῦτα μὲν οὖν ἐς τοσοῦτον ἐγένετο.

giam sedem, eamque occupavit, habens in suo exercitu circiter octo myriades hominum. hiuc movens ingressus est in Asiam, et Mechmetis regionem vastare aggressus est. qui circa Sebastiam colebant, ne ipsorum regio vastaretur, butyri magna onera portabant, et suam regionem a populationibus illaesam retinebant. Tzokies unus de numero Temiris nepotum, profectus ad Semarchanda, eam Cariasuphis filii regionem subegit. praeterea Pagdaciam Babylonis urbem, ut supra edocuimus, obsidione cinxit. Chasanem cognomento Longum in inferiorem Asiam et Armeniam mittens, omnia quae ad istam regionem pertinebant in potestatem accepit. haec quidem hactenus

ΛΑΟΝΙΚΟΥ ΧΑΛΚΟΚΟΝΔΥΛΟΥ
ΑΘΗΝΑΙΟΥ
ΑΠΟΔΕΙΞΙΣ ΙΣΤΟΡΙΩΝ ΟΓΔΟΗ.

LAONICI CHALCOCONDYLAE
ATHENIENSIS
HISTORIARUM
DE ORIGINE AC REBUS GESTIS TURCORUM
LIBER OCTAVUS.

1452 P. 201 V. 157 Τοῦ δὲ ἐπιγινομένου θέρους Μεχμέτης ὁ Ἀμουράτεω, παρασκευασάμενος ἄσβεστον ἐν τῇ Ἀσίᾳ ὡς πλεῖστον, ᾠκοδόμει τὴν ἐν τῇ Εὐρώπῃ κατὰ τὴν Προποντίδα ἐν τῷ Βοσπόρῳ, ᾗ στενώτατόν ἐστι διαβῆναι ἀπὸ Ἀσίας, πολίχνην Λαιμοκοπίην καλουμένην. καὶ σύμπαντας μὲν συνήθροιζεν ἐνταῦθα τούς τε ἐν τῇ Ἀσίᾳ καὶ ἐν τῇ Εὐρώπῃ, καὶ ἐπιδιελόμενος ἐς μοίρας τὴν πολίχνην ταύτην τοῖς τε στρατηγοῖς καὶ ὑπάρχοις ᾠκοδόμει. τοῦτο δὲ ἐποίει ὥστε ἀσφαλῆ αὐτῷ εἶναι τὴν ἐς

Appetente iam aestate Mechmetes Amuratis filius, praeparans in Asia plurimum calcis, condere instituebat in Europa, iuxta Propontidem in Bosporo, qua via ad transfretandum ex Asia artissima est, urbem Laemocopiam nuncupatam. universos qui in Europa et Asia erant, ad id opus percipiendum evocabat. qui cum impigre advenissent, aedificare auspicati sunt, cum prius in singulos duces et praefectos opus universum fuisset distributum. causa quae regem ad eam ur-

τὴν Ἀσίαν διάβασιν, καὶ μὴ τοὺς ἑσπερίους δύνασθαι ἐπιόντας τριήρεσι διακωλύειν αὐτῷ τὴν διάβασιν καὶ καινοτομεῖσθαι τὰ ἐν τῇ Ἀσίᾳ αὐτῷ πράγματα. μέγα δὲ προφέρειν P. 202 αὐτῷ ἔμελλε καὶ ἐς τὴν Βυζαντίου πολιορκίαν. ᾠκοδόμει δὲ πύργους τρεῖς μεγίστους πάντων ὧν ἴσμεν, δύο μὲν κατὰ τὴν ἤπειρον, ὥστε ὡρμημένοι ἀπὸ τούτων ἀμύνειν τῷ ἐπὶ τῇ θαλάττῃ ἐρχομένῳ, τοῦτον δὲ μέγιστον ἐπῳκοδόμει, καὶ μολίβδῳ τοὺς πύργους ἐστέγετο. τὸ δὲ πλάτος τοῦ τείχους πόδας δύο καὶ εἴκοσι, τῶν δὲ πύργων καὶ πλέον τούτων, τριάκοντα. ὡς δὲ ἐπιτετείχιστο ἐς τρεῖς μῆνας, ἐπέδραμέ τε αὐτίκα τὴν Βυζαντίου χώραν, πόλεμον αὐτῷ ἐξενεγκών.

Τοῦ δ' ἐπιγινομένου χειμῶνος Τουραχάνην ἔπεμπεν ἐπὶ Πελοπόννησον, πολεμῶν ἅμα καὶ τοῖς βασιλέως Ἑλλήνων ἀδελ- B φοῖς. οὗτος μὲν οὖν λαβὼν τὸ Θετταλίας τε καὶ Εὐρώπης στράτευμα, ὅσον ἐπὶ Φερῶν ἐς τὴν τοῦ Εὐρώπης στρατηγοῦ τάττεσθαι μοῖραν, ἐστρατεύετο ἐπὶ Πελοπόννησον, τούς τε παῖδας αὐτοῦ ἅμα ἀγόμενος καὶ ἄρχοντας τῶν Θετταλίας καὶ Μακεδονίας πόλεων. καὶ ἐσβαλὼν ἐπορεύετο τὴν μεσόγαιον, Ἀρκαδίαν τὸ παλαιὸν καλουμένην, καὶ διὰ Τεγέης καὶ Μαντινείας ἐλαύνων κατῄει ἐπὶ τὴν Ἰθώμην καὶ Μεσηνίαν χώραν, καὶ ληισάμενος ἐπὶ ἡμέρας συχνὰς τὰ τῇδε ὑποζύγια Νεοπολίχνην παρεστήσατο. καὶ Σιδηροπολίχνην πολιορ- C

7. τρίτον?

bem extruendam impulerat, haec erat, videlicet ut transitus in Asiam sibi facilis esset, et ne Occidentales venirent, navibusque traiectum impedirent, novasque res in Asia molirentur. eam urbem plurimum quoque conferre iudicabat ad Byzantii oppugnationem. turres etiam tres, quas maximas novimus, posuit. duas extruxit iuxta continentem, ut ab his progressi irruere possent in naves quae mare legerent. harum alteram fecit maximam. turres praeterea plumbo intexit. latitudo muri erat pedem viginti duorum: at turrium latitudo erat maior, continens triginta pedes. cum muri iam starent, quos operae intra tres menses absolverant, impetum dedit in Byzantii regionem, ex professo cum Byzantiis bellum gerens.

Hieme iam instante Turachanem in Peloponnesum misit, ut ibi bello lacesseret Graecorum regis fratres. hic assumpto Thessaliae et Europae exercitu, quantus Pherris erat et Europaeo duci parebat, profectus est contra Peloponnesum, adhibitis etiam suis filiis. additi sunt huic et Thessaliae Macedoniaeque urbium principes. omnibus igitur paratis per mediterraneam, quam olim Arcadiam dixere, et per Tegeam Mantineamque exercitum ducens, venit in Ithomae et Mesenae regionem. cum autem diebus multis iumentorum praedas ex ea egisset, tandem etiam Neopolichnem cepit. obsidione deinde Side-

κῶν, ὡς οὐκ ἠδύνατο ἑλεῖν, ἀπήγαγε τὸν στρατόν, ἐξελαύνων διὰ τῆς ὁδοῦ. ἐνταῦθα ἐξελαύνοντος αὐτοῦ ὁ νεώτερος Ἀχμάτης ἑάλω ὑπὸ Ἀσάνεω τοῦ ἡγεμόνος γυναικὸς ἀδελφοῦ,
V.158 *ἐνεδρεύσαντος ταύτῃ περὶ Μυκήνης χώρας, ᾗ ἔμελλεν ἐξελαύνων διὰ τῆς ὁδοῦ διεξιέναι. τοῦτον μὲν οὖν ἀπαγαγόντες ἐς Σπάρτην παρὰ τὸν ἡγεμόνα εἶχον ἐν φυλακῇ, ἐς ὃ δὴ ἀπέδωκαν.*

Τοῦ δὲ ἐπιγινομένου θέρους ἅμα ἦρι εὐθὺς καθισταμένῳ ἐστρατεύετο ὁ Μεχμέτης ὁ Ἀμουράτεω ἐπὶ τὴν Βυζαντίου πόλιν, καὶ πρότερον μὲν εὐθὺς διανοούμενος, ἐπεί τε ἐτετεί-
D *χιστο αὐτῷ τὴν ἐν τῇ Προποντίδι Λαιμοκοπίην καλουμένην πόλιν. καὶ χειμῶνος τὸ τῆδε εὐθὺς ἔτι ἐπηρτημένου περιαγγέλλων ἁπανταχῇ τῆς τε Ἀσίας καὶ Εὐρώπης ἐς τὴν πάραλον ναυπηγεῖσθαι, πλοῖά τε καὶ τριήρεις παρεσκευάζετο, τηλεβόλους ποιούμενος μεγίστους δὴ ὧν ἡμεῖς ἐς ἐκεῖνον ἴσμεν τὸν χρόνον ἄλλῃ πῃ γεγονέναι. ὡς δὲ ἐδόκει αὐτῷ ἤδη ὥρα εἶναι ἐξελαύνειν, ἔπεμπε μὲν πρῶτα τὸν τῆς Εὐρώπης στρατηγὸν Σαρατζίαν παραλαβόντα τε τὸν τῆς Εὐρώπης στρατόν, τούς τε τηλεβόλους ἄγειν ἐς Βυζάντιον ἄλλας τε μηχανὰς καὶ δὴ καὶ τηλεβόλον μέγαν. εἶναι δὲ τοῦτον τὸν τηλεβόλον ὡς ζεύγη βοῶν ἕλκειν ἑβδομήκοντα καὶ ἄνδρας ἐς δισχιλίους.*
P.203 *ἀφικόμενος μὲν οὖν οὗτος καὶ πρότερον τοὺς ἐν τῇ Βυζαν-*

16. *ποι* P

ropolichnem circumvenit; quam cum suae ditionis facere non posset, exercitum abduxit. cum autem cum exercitu proficisceretur, Achmates iunior Turachanis filius captus est ab Asane, qui erat frater uxoris quam duxerat Peloponnesi princeps. hic enim ei insidias struxit circa Mycenarum regionem, qua erat iter facturus hostis. Achmatem captum deduxerunt in Spartam ad principem, eumque donec suis restitueretur, in vinculis habuere.

Aestate deinde sequente, ubi primo ver apparuit, Mechmetes Amuratis filius expeditionem contra Byzantium sumebat. iam antea istam expeditionem mente conceperat, verum prius in Propontide urbem Laemocopiam aedificare volebat. cum autem hiems adhuc saeviret, edicit ut omnes qui in Asia quique in Europa agerent, ad maritima loca convenirent ad classem fabricandam. naves et triremes fabricabantur. bombardas fieri curavit maximas, quantas novimus ea tempestate nunquam extitisse. cum iam tempus postulare videret ut ipse bello se immisceret, Europae ducem Saratziam iubet cum exercitu Europae praecedere; bombardas et reliquas belli machinas, necnon bombardam maximam Byzantium subvehere. tanta huius bombardae magnitudo extitit, ut a septuaginta iugis boum et a viris bis

τίου χώρα πύργους, ἐς οὓς διεσώζοντο οἱ περὶ τὰ ἔργα ἀγροῖκοι ἄνδρες, τοὺς μὲν ἐξεπολιόρκησε λιμῷ, τοὺς δὲ καὶ ἑλὼν κατὰ κράτος τοὺς ἄνδρας ἀπαγαγὼν κατέσφαξε. καὶ τότε δὴ ὡς ἀφίκετο ἐπιών, ἐπέδραμε τὴν Βυζαντίου χώραν. οὐ πολλῷ δὲ ὕστερον ἐπελαύνων καὶ αὐτὸς βασιλεὺς ἐστρατοπεδεύετο ἀπὸ θαλάττης εἰς θάλατταν. καὶ τὸν μὲν ἐπὶ δεξιᾷ χῶρον τοῦ βασιλέως ἐς τὰς χρυσέας καλουμένας πύλας ἐστρατοπεδεύετο τὸ τῆς Ἀσίας ἅπαν στράτευμα, ἐς δὲ τὸ εὐώνυμον χωρίον κατὰ τὴν ξυλίνην καλουμένην πύλην ὁ τῆς Εὐρώπης στρατός· ἐν μέσῳ δ' αὐτὸς ἵδρυτο βασιλεύς, ἔχων τε τοὺς νεήλυδας καὶ τῶν θυρῶν ὅσοι εἰώθασι περὶ βασιλέα σκηνοῦν. Ζάγανος δὲ ὁ τοῦ βασιλέως κηδεστὴς ἐστρατοπεδεύετο B ἐς τὸν καταντικρὺ χῶρον ὑπὲρ τὴν Γαλατίαν πόλιν. λέγεται δὲ γενέσθαι ξύμπαντα τὸν στρατὸν ἀμφὶ τὰς τεσσαράκοντα μυριάδας. τῶν δὲ ὑποζυγίων διαπλασίω ἂν τούτων ἀριθμὸν ξυμβαίνει γενέσθαι ἐς τὸ τοῦ βασιλέως στρατόπεδον· ὑποζύγια γὰρ νομίζεται ἐς τὸ στρατόπεδον περιάγεσθαι πολλαπλάσια τῶν ἀνθρώπων, ὥστε σιτία ἐπιφέρεσθαι ἱκανὰ σφίσι τε αὐτοῖς καὶ τοῖς ἄλλοις ἵπποις τε καὶ ἀνδράσι. μόνοι δὲ οὗτοι ἀνθρώπων ὧν ἡμεῖς ἴσμεν, ἀσφαλιζόμενοι σφίσι τὰ ἐπιτήδεια, ὅποι ἂν στρατεύωνται, ὥστε αὐτάρκη εἶναι αὐτοῖς, καὶ καμήλους καὶ ἡμιόνους ὡς πλείστας περιάγονται ἐς τὰ ἐπιτήδεια καὶ ἡμιόνους ἐς τὴν ἄλλην αὐτῶν εὐδαιμονίαν, C

mille trahenda fuerit. Saratzias ubi advenit Byzantium, turres, in quas agricolae se recipiebant fugientes hostem, quasdam fame expugnavit, quasdam vi cepit; viros inde abductos necavit. etiam Byzantii regionem gravissime populationibus afflixit. nec multo post secutus est rex ipse, et castra posuit quae ab una maris parte in altera porrigebantur. in eo loco qui a dextris regi erat, usque ad eum locum qui Aureae portae dicitur, castrametatus est Asianus exercitus. in sinistra parte iuxta locum qui Lignea porta appellatur, Europae exercitus tendebat. in medio regia castra sita erant cum peregrinis et ianuae militibus, qui castra circa regem ponere consuevere. Zaganus regis affinis e regione supra Galatiam urbem castra communierat. quadraginta myriades hominum dicuntur tum temporis in exercitu regis fuisse. numerum autem iumentorum apud omnes constat duplo maiorem fieri, ut satis alimenti pabulique equis hominibusque esset. soli etenim Turci, quod sciam, sibi necessaria semper apportant, quocunque tandem bellandi gratia proficiscantur. praeterea, ut commeatuum copia abundent, camelos et mulos quamplurimos, ut in necessariis serviant, secum ducunt. mulos quidem habent propter aliam ipsorum felicitatem. singuli vero equos camelos mulosque pulchrio-

αὐτός τις ἕκαστος ἵππους τε καὶ καμήλους καὶ ἡμιόνους τοὺς καλλίους ἑαυτῷ ἐπειγόμενος ἐνδείκνυσθαι. παραγενομένῳ δὲ βασιλεῖ οὐ πολλῷ ὕστερον παρῆν καὶ ὁ στόλος αὐτῷ διὰ θαλάσσης, τριήρεις μὲν ὡς τριάκοντα, πλοῖα δὲ μικρὰ ἀμφὶ τὰ διακόσια.

Ἕλληνες μὲν οὖν ὡς ἐπύθοντο ἐπιέναι σφίσι τὸν βασιλέως στόλον, διὰ θαλάσσης πέδας σιδηρᾶς διατείνοντες ἀπὸ τῆς καταντικρὺ πόλεως ἐς τὸ τεῖχος τοῦ Βυζαντίου, παρὰ τὴν ἀκρόπολιν καλουμένην, καὶ τάς τε ναῦς, ὅσαι ἔτυχον παραγενόμεναι αὐτοῦ, αἱ μὲν μετὰ ξυμμαχιῶν αἱ δὲ καὶ ἐμπορίας χάριν, φέροντες καθίστασαν ἐς τὰς πέδας. καὶ οὕτω διενοοῦντο διακωλύειν τὸν βασιλέως στόλον μὴ παριέναι εἴσω
D ἐς τὸν Βυζαντίου λιμένα. διήκει γὰρ ἐντὸς ἐπὶ σταδίους κατὰ μὲν τὴν πόλιν ὀγδοήκοντα, ἐπὶ δὲ τὴν ἄλλην ἤπειρον τῆς χώρας ἐπὶ ἑκατὸν καὶ πεντήκοντα. τὸ μὲν οὖν τεῖχος ταύτης τῆς πόλεως οὐ πάνυ τι ὀχυρὸν ὂν οὔτε ῥεύματα ἔχει μεγάλα, ὥστε τὰ πλοῖα παραπλέοντα πράγματα ἔχειν. κατ' ἤπειρον δὲ ἐστὸν δύω τείχεε τῆς πόλεως, τὸ μὲν μέγα τε καὶ ἄξιον λόγου, τὸ δὲ ἔλαττον, ἐκτὸς ἐς τὴν τάφρον ὑπερκείμενον. τάφρος δὲ ἔπεστιν ᾠκοδομημένος λίθοις, τὸ εὖρος πλεθριαία. τῷ μὲν οὖν βασιλεῖ καὶ τοῖς Ἕλλησι βουλευομένοις ἐδέδοκτο παρατασσομένοις ἐς τὸ ἐκτὸς τεῖχος ἀμύνεσθαι, οἷα τῷ τάφρῳ ὑπερκείμενον, κατὰ τὰ πρὶν δεδογμένα σφίσιν ἐπὶ
P. 204 Ἀμουράτεω, ὅτε ἐπολιόρκει τὴν πόλιν.

res ostentandi gratia adducunt. rex cum venisset Byzantium, haud multo post secuta est classis regia, in qua erant triremes triginta, naves minores ducentae.

Graeci ubi intellexere adversum se adventare classem regiam, catenas ferreas ab urbe quae ex adverso erat, extenderunt in Byzantii murum prope arcem. naves praeterea quotquot aderant, quarum quaedam auxilii ferendi gratia quaedam mercium appulerant, intra catenas sistunt, ut aditu regiam classem excluderent, ne intra portum veniret. is enim ad urbem patet stadiis octuaginta, et in continentem se porrigit stadiis centum et quinquaginta. urbis quidem illius moenia haud admodum firma sunt, nec admodum magna flumina habet, ut naves advenientes periclitentur. qua vero urbs spectat continentem, muros habet duos firmissimos. unus magnus et memorabilis est, alter extra situs est, verum praecedenti minor, fossam subiectam habens latitudine iugeri, lapidibus extructam. rex cum Graecis deliberabat ubinam resistendum esset hosti. tandem visum est ut irent in exteriorem murum, qui fossa munitus erat, et repugnarent hosti, quemadmodum fecerant, cum Amurates Byzantium oppugnaverat.

Βασιλεὺς μὲν οὖν αὐτίκα τάς τε μηχανὰς καὶ ἄλλας ἄλλῃ τῆς πόλεως προσέφερε, καὶ τούς τε τηλεβόλους δύο ἱδρυσάμενος ἔτυπτε τὸ τεῖχος. ἵδρυτο δὲ ὁ μὲν τῶν τηλεβόλων κατὰ τὰ ἐκείνων βασίλεια, ὁ δὲ κατὰ τὴν τοῦ Ῥωμανοῦ καλουμένην πύλην, ᾗ δὴ καὶ αὐτὸς ἐστρατοπεδεύετο βασιλεύς. ἵδρυντο μὲν καὶ ἄλλῃ πολλαχῇ τοῦ στρατοπέδου τηλέβολοι, βάλλοντες ἐς τοὺς Ἕλληνας· οὗτοι δὲ δύο μέγιστοι λίθον ἕκαστος ἠφίεσαν διτάλαντον καὶ ἐπέκεινα. τοὺς δὲ λίθους μέλανας ὄντας λέγεται ἐνεγκεῖν, οἷς ἐπέτακτο, ἀπὸ Εὐξείνου πόντου ἐς τὸ βασιλέως στρατόπεδον. τηλεβολιστὴς δ' ἦν τοῦ B *βασιλέως τοὔνομα Ὀρβανός, Δὰξ τὸ γένος, καὶ πρότερον παρ' Ἕλλησι διατρίβων, καὶ τούς τε Ἕλληνας ἀπολιπὼν δεόμενος βίου, ἀφίκετο παρὰ τὰς θύρας τοῦ βασιλέως· ὃς τότε δὴ μεμισθωμένος πολλοῦ παρεσκευάσατο τοὺς τηλεβόλους. ἠφίεντο δὲ οὕτω. πρῶτα μὲν ἐλάττους τηλεβόλους δύο παρὰ τὰ πλάγια τοῦ μεγάλου ὄντες ἠφίεντο, λίθον ἐπαφιέντες ἡμιτάλαντον. καὶ οὗτοι μὲν οἱ δύο λίθοι φερόμενοι ἐδῄουν τὸ τεῖχος. μετὰ δὲ τοὺς δύο λίθους ἠφίετο καὶ ὁ μέγας λίθος, τρία τάλαντα ἐν σταθμῷ ἔχων, καὶ μέγα μέρος κατεβάλ-* C *λετο τοῦ τείχους· ὁ γὰρ λίθος δαιμονίᾳ φερόμενος ῥύμῃ καὶ φορᾷ ὑπερφυεῖ ἐλυμαίνετο ἀνηκέστως. λέγεται δὲ τὸν ψόφον αὐτοῦ ἀμήχανόν τινα ὄντα ἐπέχειν τὴν γῆν πέ-*

21. *ὑπερφυᾷ* P

Rex Mechmetes continuo machinas plurimas urbi admovit. bombardas duas expediebat, quibus moenia sterneret. unam opposuerat regali Graecorum palatio: alteram direxerat in Romani nominatam portam, ad quam regis castra erant. erant autem bombardae per castra undique dispersae, quae globulos in Graecos iactabant. bombardae quas rex habebat, duae maximae emittebant lapidem qui appendebat talenta duo aut amplius. lapides hi nigri erant, et apportabantur ab Euxino ponto per eos quibus rex id negotii dederat. bombardarius regis nomine Orbanus genere Dacus erat, et antea conversatus erat cum Graecis. deinde relinquens Graecos inopia rei familiaris, accesserat ianuas regis. hic ab rege conductus magno pretio bombardas parabat. ea autem tempestate qua Byzantium oppugnabatur, bombardae duae, quae stabant ab utroque latere maioris bombardae, incendebantur. hae emittebant lapidem cuius pondus erat dimidium talentum. hae itaque cum globos suos torquerent, muri lapides perfringebant. eos deinde sequebatur bombarda maxima, quae torquebat globum cuius pondus continebat tria circiter talenta, et magnam muri partem sternebat. nam is globus mirum in modum magno impetu latus graviter omnia dissipabat. bombardae huius tonitru tantum esse traditum est, ut finitima regio usque ad quadraginta stadia

ριξ ἐπὶ σταδίους τεσσαράκοντα σειομένην. κατεβάλλετο μὲν
τὸ ἐκτὸς τεῖχος καὶ οἱ πύργοι ὑπὸ τῶν τηλεβόλων, καὶ τὸ
ἐντὸς ἅμα ἐτύπτετο. ἠφίει δὲ τῆς ἡμέρας ὁ τηλέβολος λί-
θους ἑπτά, καὶ ἕτερον τῆς νυκτός, κομισάμενος τῆς ἡμέρας
τὸ σημεῖον, ᾗ ἔδει αὐτὸν ἀφιέναι. καὶ οὕτω τὴν ἀρχὴν ἔκ-
πληξίς τε ἅμα καὶ δέος ἔσχε τοὺς Ἕλληνας. οἱ δὲ νεήλυδες
καὶ ὁ ἄλλος στρατὸς ἀπὸ τοῦ στρατοπέδου στεγάσματα πίλοις
D λευκοῖς τε καὶ ἐρυθροῖς παρασκευασάμενος, ἀπὸ τοῦ στρατοπέ-
δου ἐς τὸ τεῖχος φέροντες καὶ ἐς τὴν τάφρον τῆς πόλεως, καὶ
τὸ ἐκτὸς τῆς τάφρου κατορύσσοντες, καὶ ὀπὰς ποιησάμενοι, ἔβαλ-
λον τοὺς Ἕλληνας τηλεβόλοις καὶ ἐτόξευον, οὔτε δρώμενοι οὔτε
ἄλλο ἀνήκεστον πάσχοντες ὁτιοῦν πρὸς τῶν Ἑλλήνων· οὐ γὰρ
οἷά τε ἦν. ὠρύσσετο μέντοι καὶ ὀρύγματα τῷ βασιλεῖ ὑπὸ
γῆν φέροντα ἐς τὸ τεῖχος. καὶ οἵ τε ὀρυκταὶ τοῦ βασιλέως
πύργους καθίστασαν ἐπὶ ξύλων μετεώρους τέσσαρας καὶ ἐπι-
πύργια, ὡς αὐτίκα πῦρ ἐνήσοντες ᾗ αὐτά. οὐ μέντοι γε προε-
P. 205 χώρησε τὰ ὀρύγματα· οἱ γὰρ Ἕλληνες ὡς ᾔσθοντο τοὺς πο-
λεμίους ὀρύσσοντας, ἔνδοθεν ὤρυσσον καὶ αὐτοί, καὶ προϊόν-
τες εὗρον τοὺς βασιλέως ὀρυκτάς, καὶ ἐξέωσαν πῦρ ἐνιέντες,
καὶ ἐπεκράτησαν τῶν ὀρυγμάτων. ἐπεποίητο μὲν καὶ πύργος
ξύλινος ἐπιμήκης, καὶ κλίμακες ἐν αὐτῷ ὡς πλεῖστοι ἐς τὸ ἄνω
V. 160 τοῦ πύργου, ὡς διὰ τούτων πειρασομένων τοῦ τείχους καὶ
ὑπερβαλλομένων.

concuteretur. murus externus necnon turres bombardis disiiciebantur. etiam internus murus bombardis arietabatur. bombarda maxima interdiu septem eiaculabatur globos, noctu unum, qui diei signum erat, et indicabat ubinam eo die globos torqueri oporteret. et quidem primo terror iniiciebatur Graecis maximus. at peregrini et reliquus exercitus, parantes tegmenta et pluteos ex lanis coactis rubris et albis pro castris, subibant murum et ingrediebantur fossam urbis, satis muniti et tecti iis tegmentis. praeterea perfodientes eum locum qui extra fossam erat, faciebant foramina, ex quibus bombardarum globulis et sagittis graviter afflixere Graecos, cum interim ipsi nihil mali ab his paterentur, nec videri possent. nam ne nocere quidem Turcis Graeci, etsi maxime voluissent, poterant. rex quoque curavit effodi cuniculos, qui in urbem ferrent. fossores, qui cuniculos agebant, excitarunt turres quattuor excelsas, quae insistebant machinis ligneis, et alia propugnacula, ex quibus illico ignem iacularentur in hostem. cuniculi tamen haud prosperum invenere eventum. nam Graeci, ut sensere hostem cuniculos agere, fodiendo Turcis occurrerunt, eosque iniecto igne expulere cuniculis, cuniculosque obtinuere. Turci parabant turrim ligneam excelsam admodum. in suprema eius parte ponebantur scalae plurimae, quasi isto propugnaculo freti murum tentare et superare vellent.

Ταῦτα μὲν οὖν κατ' ἤπειρον παρεσκεύαστο τῷ βασιλεῖ ἐς τὴν πολιορκίαν· κατὰ δὲ τὴν θάλατταν, ὡς οὐκ ἠδύνατο παριέναι εἴσω ἐς τὸν λιμένα ὥστε πανταχῇ τῇ πόλει προσβάλλειν, ἐδόκει αὐτῷ ἄνω κατὰ τοῦ Ζαγάνου στρατόπεδον ἀνεκλύσαντα ὑπερείδειν τὰ πλοῖα ἐς τὸν λιμένα. καὶ ταύτῃ μὲν B
ἄνω διὰ τοῦ ὄρους διέζευξε τὰ πλοῖα, παρεσκευασμένα ἱστίοις τε καὶ κώποις, ἑλκόμενα ἐς τὸν αἰγιαλὸν τοῦ λιμένος. διεβίβασε δὲ πλοῖα ἐς τὰ ἑβδομήκοντα, πεντηκοντόρους τε καὶ τριηκοντόρους, καὶ οὕτω παρεσκευάζετο ὡς τῇ ὑστεραίᾳ ἐπιπλευσούμενα ἐς τὸν λιμένα. καὶ ταύτῃ κατὰ τὸν αἰγιαλὸν οἱ τοῦ βασιλέως παρασκευασάμενοι τηλεβόλοις διενοοῦντο ἀμύνεσθαι, ἤν τις ἐπίῃ διακωλύσων τὰ πλοῖα καθέλκειν ἐς τὴν θάλασσαν. Ἕλληνες γὰρ ὡς ἑώρων τὰ πλοῖα ἕτοιμα κατὰ τὸν αἰγιαλὸν τοῦ λιμένος πληρώσαντες πλοῖα ὅσα ἐπῆν αὐτοῖς, καὶ ἐπιόντες κατακαῦσαι, ἢν δύνωνται, τὰ πλοῖα. καὶ ἐπεί τε ἔδοξεν, ἐποίουν οὕτω, καὶ πληρώσαντες πλοῖα καὶ C
ἐξοπλισάμενοι ἐπῄεσαν ὡς κατακαύσοντες, ὥσπερ ἔχουσιν ἀνειλκυσμένα τὰ πλοῖα. οἱ μέντοι Τοῦρκοι αἰσθανόμενοι αὐτοὺς ἐπιόντας, καὶ ἀφιέντες τοὺς τηλεβόλους, διέφθειραν τῶν πλοίων δύο τριηκοντόρους. καὶ τὰ μὲν πλοῖα εὐθὺς κατεδύετο, οἱ δὲ ἄνδρες, ὅσοι μὴ ἠπίσταντο νήχοντες, εὐθὺς ἀπώλοντο. τούτων δ' αὖ ὅσοι ἐξένευσαν ἐς τὸν αἰγιαλὸν παρὰ

1. παρασκεύαστο P   15. καὶ] ὡς?

Haec quidem in continenti fiebant, si quo modo tandem urbis oppugnatio procederet. quo pacto autem urbs illa mari oppugnari coepta sit, nunc exponam. cum non posset naves a mari appellere intra portum, ut urbs simul terra marique oppugnationem sustineret, statuit supra, iuxta Zagani castra, navigia reflectere, ibique ea quasi munimentum contra portum collocare. et hic quidem in superiore parte per montem navigia transportavit, quae velis remisque instructa in litus portus egit. in hunc modum naves transmisit septuaginta, necnon alias naves, quae tribus et quae quinque impelluntur remis. omnia sic erant ordinata quasi in crastinum intra portum navigare vellent. in litore stabant milites parati propulsare hostes bombardis, si accederent, prohibituri deducere naves. Graeci ubi animadverterunt naves hostiles in littore portus stare, naves quotquot ad manus erant militibus impleverunt, conantes accedere et regis naves incendere. Graeci, ubi primum haec sententia recepta est, id facere aggressi sunt. implentes itaque navigia armatis profecti sunt, ut comburerent naves regis in portu stantes. Turci ut intellexerunt Graecos accedere, bombardas arripientes naves Graecorum duas corruperunt, quae continuo mergebantur. viri qui natare nesciebant, a Turcis ca-

τοὺς Τούρκους ἑάλωσαν· καὶ οἱ Τοῦρκοι, ὡς ἡμέρα τάχιστα ἐγεγόνει, ἀπαγαγόντες τούτους ἐς τὰς πύλας τῆς πόλεως διέφθειραν. Ἕλληνες δὲ — ἦσαν δὴ παρ' αὐτοῖς Τούρκων τινές, οἳ ἑάλωσαν, δέσμιοι· ἀπαγαγόντες καὶ οὗτοι τούτους ἐς τὰς ἐπάλξεις ἐναντίον τοῦ στρατοπέδου κατεχρήσαντο, ἴσα
D πρὸς ἴσα σφίσι διαχειριζόμενοι γίνεσθαι περὶ τοὺς αἰχμαλώτους. τὰ μέντοι πλοῖα τοῦ βασιλέως, ὡς οὐδεὶς ἔτι διεκώλυε καθειλκυσμένα, ἀπέπλει ἐς τὴν πόλιν.

Καὶ ἐνταῦθα αὐτίκα βασιλεὺς γέφυραν ἐποιεῖτο ἀπὸ τῆς καταντικρὺ ἠπείρου τῶν Κεραμαρείων καλουμένης χώρας, ἐς τὴν πόλιν φέρουσαν, δυοῖν πίθοιν ξυλίνοιν ξυνηρμοσμένοιν καὶ συνδεδεμένοιν ἀλλήλοις ἰσχυρῶς, ὥστε διαβαίνειν τὰ στρατεύματα ἀπὸ τοῦ Ζαγάνου στρατοπέδου ἐπὶ τὴν πόλιν. καὶ συνέβαινεν οὕτω ἁπανταχῇ πολιορκεῖσθαι τὴν πόλιν, καὶ τὰ τῆς πόλεως ταύτῃ πράγματα καὶ Ἑλλήνων ἀσθενῆ γίγνεσθαι. ἅτε γὰρ τῆς πόλεως ἐπὶ πολὺ διηκούσης (ἡ γὰρ περίοδος τῆς πόλεως μεγίστη αὕτη τῶν ἐφ' ἡμῶν, καὶ ἐπὶ ἑκα-
P. 206 τὸν ἕνδεκά πῃ σταδίους γενομένη) διανεμομένων τῶν ἀνδρῶν τῆς πόλεως ἁπανταχῇ, οὐ πάνυ τι ὀχυρὰ ἐγένετο. καὶ ἐπὶ τεσσαράκοντα ἡμέρας τοῖς τηλεβόλοις ἔτυπτε τὸ τεῖχος ἰσχυρῶς, καὶ κατέβαλε μέγα μέρος, πύργους τέσσαρας καὶ ἐπιπύργια. ὡσαύτως καὶ ἐς τὸ μέγα τεῖχος τούς τε πύργους

pti sunt. Turci, ubi primum dies apparuit, captivos ad urbis portas adductos in Graecorum conspectu mactarunt. erant et apud Graecos quidam Turci, qui in vinculis asservabantur. Graeci igitur hos in pinnas muri raptos e regione hostilium castrorum interemerunt. et in hunc modum captivorum caedes compensata est. naves regiae, cum nemo esset qui eas prohiberet, navigarunt ad urbem.

Quo cum appullissent, rex illico pontem fecit e regione continentis, quae Ceramariorum appellatur. is in urbem ferebat, et extructus erat ex doliis, quae bina coniungebantur et fortiter connectebantur. per eum ex Zagani castris ad urbem iter erat. et quidem in hunc modum contigit, ut urbs omni a parte obsidione artaretur. copiae quoque Graecorum subinde infirmiores reddebantur, cuius causa erat urbis amplitudo. Ambitus enim huius urbis maximus est earum quae apud nos sunt urbium: continet enim in circuitu centum et undecim stadia. cum autem milites undique per urbem distribuerentur, accidit ut minus munita foret, cum exercitus in hunc modum distraheretur. iam quadraginta diebus murus bombardis fortiter quassatus erat. ceciderant turres quattuor, necnon alia propugnacula, murique pars magna. corruerant praeterea turres maioris muri bom-

κατέβαλεν. οἱ δὲ Ἕλληνες τὴν ἀρχὴν μὲν καὶ οὗτοι τοὺς παρὰ σφίσι τηλεβόλους ἱδρυσάμενοι κατὰ τὸ τεῖχος ἠφίεσαν καὶ οὗτοι λίθον ἕλκοντα τρία ἡμιτάλαντα σταθμόν, καὶ ἔβαλον ἐς τὸν τοῦ βασιλέως τηλέβολον. ἀλλ' ἐσείετο μὲν τὰ B τείχη καὶ ἐβλάπτετο σφίσιν, οὐ μέντοι ἤνυον οὐδέν. καὶ ὁ μὲν μείζων τηλέβολος διερρήγνυτο αὐτίκα, ὅτε πρῶτον ἠφίετο. καὶ τὸν τηλεβολιστὴν ἐν αἰτίαις εἶχον ὡς διεφθαρμένον ὑπὸ βασιλέως, καὶ ἀπῆγον θανάτου· οὐ μέντοι γε φανερὸν εἶχον σημεῖον ὡς κολάζειν, καὶ ἀπέλυσαν. ἐς δὲ τὸ τεῖχος ὃ κατεβάλλετο ὑπὸ τῶν βασιλέως τηλεβόλων, κλίμασί τισι καὶ πί- V. 161 θοις ξυλίνοις φραξάμενοι ἠμύνοντο, νυκτὸς ἐπιτελοῦντες ταῦτα διὰ σπουδῆς αὐτοί.

Ἐν δὲ τῷ μεταξὺ χρόνῳ, ἐν ᾧ ταῦτα ἐγίνετο, ἠγγέλλετο τῷ βασιλεῖ ὡς νῆες ἐπιπλέουσιν ἀπὸ τοῦ Αἰγαίου ἐπὶ τὸ Βυ- C ζάντιον, δύο φορτίδες, μία μὲν μείζων τῶν Ἰαννυΐων, ἡ δὲ ἑτέρα τοῦ Ἑλλήνων βασιλέως, σῖτον ἐπιφέρουσαι. τοῦτο μὲν ὡς ἐπύθετο, τάχιστα ἐπλήρου τάς τε τριήρεις καὶ πλοῖα, καὶ ἔπεμπεν ἐπὶ τὰς ναῦς ἤδη ἐγγὺς οὔσας καὶ ἐπιφερομένας πνεύματι ἱκανῷ ἐς τὴν πόλιν. τὰ μὲν οὖν πλοῖα καὶ αἱ τριήρεις ἀνήγοντο ἐς τὰς ναῦς, καὶ ἐμβάλλουσι μὲν τῇ Ἑλληνικῇ νηὶ τὰ πρῶτα. καὶ παρὰ βραχὺ ἑάλω, εἰ μὴ ἡ Ἰαννυΐων ναῦς ἐπιστραφεῖσα ἤμυνεν αὐτῇ· φέρουσα γὰρ ἐνέβαλεν ἐς τὰς

7. ἐναντίως P

bardis ictae. Graeci quidem primo et ipsi bombardas suas expediebant, easque in hostem dirigebant. Graecorum bombardae emittebant globum cuius pondus erat talentum cum dimidio. harum unam opponebant Mechmetis bombardae maximae. verum quando globum eiaculabatur, tantus edebatur sonus ut moenia moverentur Graecisque plus detrimenti quam Turcis inferret. quapropter parum efficiebant. bombarda enim, quam habebant, maxima, ubi primum incensa est, dissiluit. hinc irati contra bombardarium insurrexerunt quasi muneribus ab Mechmete corruptum, eumque capitis anquirebant. cum autem nullum satis manifestum signum, quo crimen comprobaretur, invenirent, crimine eum absolverunt atque impunitum dimisere. moenia quae Turci bombardis straverant, noctu scalis quibusdam et doliis obstruentes reficiebant summa celeritate.

Interea cum haec fierent, nuntiatur Mechmeti duas naves onerarias ex Aegaeo navigare Byzantium. una quidem, et quae magnitudine praestabat, Ianuensium erat: altera vero erat regis Graecorum, commeatum adportans. haec ubi accepit rex, continuo triremes et alias naves militibus compleri iubet, quas misit contra hostiles naves iam propinquas, quia satis

τριήρεις. καὶ ὁ βασιλεὺς ἀπὸ τοῦ αἰγιαλοῦ ἐπεβόα διακελευό- D μενος τοῖς ἑαυτοῦ, ἐσβαίνων ἐς τὴν θάλατταν σὺν τῷ ἵππῳ. αἱ μέντοι νῆες οὕτω διαφυγοῦσαι κατέπλεον ἐς τὸν λιμένα. ἐνταῦθα τιτρώσκεται ὁ τοῦ βασιλέως ναύαρχος Παντόγλης τὸν ὀφθαλμὸν ὑπὸ τῶν σφετέρων, ὡς αὐτὸς διεμαρτύρατο ἐς τὸν βασιλέα, καὶ εἰ μὴ ἐτρώθη, εἷλεν ἂν τὰς ναῦς, διισχυριζόμενος. οὕτω μέντοι διέφυγεν ὥστε κακόν τι μὴ παθεῖν ὑπὸ βασιλέως. καὶ οὓς ἐν ὑποψίᾳ ἔσχε, συλλαβὼν ὁ βασιλεὺς καθεῖρξεν ὡς ἀπολέσων.

Ὡς μὲν οὖν ἱκανῶς ἤδη αὐτῷ τὸ τεῖχος κατεβέβλητο P. 207 ὥστε εἰσπεσόντας τοὺς νεήλυδας εἰσελθεῖν ἐς τὴν πόλιν, ἐκέλευσεν ἀνὰ τὸ στρατόπεδον ἁπανταχῇ πυρὰ καίειν τὰ νενομισμένα, καὶ τἆλλα ποιούμενος ὡς τῇ ἐπιούσῃ τῆς ὑστεραίας τὴν προσβολὴν ποιησόμενος, καὶ τήν τε διαρπαγὴν καὶ ἐξανδραποδισμὸν ἀνεκήρυττεν ἐς τὰ στρατόπεδα.

Λέγεται μὲν οὖν καὶ τόδε. ὡς τὸ τεῖχος ἐπεπτώκει ὑπὸ τῶν τηλεβόλων, ὁ Σκενδέρεω τοῦ Σινώπης ἄρχοντος παῖς, Ἰσμαΐλης τοὔνομα, προσέφερε λόγους τοῖς Ἕλλησι περὶ σπονδῶν, λέγων τοιάδε. "ἄνδρες Ἕλληνες, ἐπὶ ξυροῦ ἀκμῆς ὑμῖν, ὡς ὁρᾶτε, τὰ πράγματα ἕστηκε. τί οὐ πρέσβυν πέμπετε ὡς

secundo vento ferebantur in urbem. regiae naves et triremes pergunt quo iussae erant, primoque Graecam adoriuntur navem; quae propemodum capta fuisset, ni Ianuensium navis reversa laboranti navi subsidio venisset: nam maximo impetu ruebat in regias triremes. rex ex litore inclamabat suos, eosque iubendo et adhortando quo magis accenderet, interdum equo ingrediebatur mare. verum Graecorum naves inviolatae optatum contigere portum. at in eo certamine vulneratur oculus regii navarchi, cui nomen erat Pantogles, a suis, ut ipse testatus est coram rege; et manifesto asseverabat, ni vulnere fuisset impeditus, se facile navesin dicionem potuisse accipere. cum sic factum excusaret, supplicium quod minitabatur rex evasit. eos autem quos suspectos habebat rex, capi et in vincula duci iubet quas expetiturus poenas.

Murus cum iam satis esset disiectus, peregrinique facile penetrarent in urbem, iussit ignes solitos undique per castra fieri. caetera quoque ita instruebat quasi qui tertio ab eo die vi irrupturus esset in urbem. misso itaque praecone in castris pronuntiat se urbis praedam et mancipia militibus concessurum.

Interea cum haec parabantur, et murus bombardarum impetu iam dirutus esset, Scenderis, qui Sinopem regebat, filius, nomine Ismael, ad Graecos abiit, et cum eis in hunc modum orationem habuit. conabatur enim Graecos ad foedera sancienda cum rege perpellere. "res vestrae, viri Graeci, in summo discrimine nunc versantur. quare

βασιλέα περὶ εἰρήνης; ἢν γὰρ ἐμοὶ ἐθέλητε ἐπιτρέψαι, δια- B πράξομαι ὑμῖν σπονδὰς γενέσθαι παρὰ βασιλέως, καὶ τὴν χάριν οὖν εὖ οἶδ' ὅτι καταθήσεσθε τῷ διαπραξαμένῳ ὑμῖν. ἢν δὲ μὴ τοῦτο γένηται ὑμῖν, ἡ πόλις ἐξανδραποδιοῦται, καὶ ὑμᾶς πασσυδεὶ βασιλεὺς διαφθερεῖ, καὶ γυναῖκας καὶ παῖδας ὑμῶν ἐξανδραποδιούμεθα, καὶ συμφορᾷ κατασχεθήσεσθε ἀνηκέστῳ. ἀλλὰ πέμπετε ὡς τάχιστα ἄνδρα πιστόν, ὃς ἂν ἐπὶ τὰς βασιλέως θύρας ἀγαγὼν ἐγὼ διαπράξομαι ὑμῖν τὴν εἰρήνην." ταῦτα ἔλεγε τοῖς Ἕλλησι βουλευομένοις. ἐδόκει δὲ πεμπτέα C εἶναι ἄγγελον, ὅστις ἂν πύθηται τῆς βασιλέως γνώμης περὶ σφᾶς ἧς ἐστί, καὶ οὕτω βουλεύσονται περὶ τοῦ συνοίσοντος σφίσιν, ὅ τι εἴη ἄμεινον πειρωμένοις. ἔπεμπον δὲ ἄνδρα οὐκ ἐπίσημον ὡς ἀποπειρασόμενον τῆς βασιλέως γνώμης. ἐπεὶ δ' ἀφίκετο ἐς τὰς θύρας οὗτος ἡγουμένου Ἰσμαήλεω, ἐκέλευε βασιλεὺς δέκα τελεῖν αὐτῷ μυριάδας τοῦ ἐνιαυτοῦ· εἰ δὲ μὴ τοῦτα οἷοί τε ὦσι ποιῆσαι, οἴχεσθαι ἀπολιπόντας τὴν πό- V. 162 λιν, ἀποφερομένους τὰ σφέτερα αὐτῶν, ἕκαστος ὅποι ἂν βούλοιτο ἀπελθεῖν. ταῦτα ὡς ἀνηνέχθη ἐς τοὺς Ἕλληνας, ἐβου- D λεύοντο μὲν καὶ ἐδόκει ἀμύνεσθαι ἀνακινδυνεύοντας μᾶλλον ἢ οὕτω ἀμαχητὶ ἐκλιπόντας τὴν πόλιν οἴχεσθαι ἀποπλέοντας.

7. ὡς T   11. ἧς] ἥ τις ?

non mittitis legatum ad regem petitum pacem? si mihi vultis negotium istud committere, facile eo inclinabo regis animum ut vobiscum foedus feriat. nam non dubito quin gratiam maximam sitis relaturi ei qui illud effecerit. et ni quamprimum foedus intervenerit, urbs vestra foedissime diripietur, et vos ad internecionem omnes miserabilem in modum peribitis. uxores et liberi vestri in mancipiorum numerum referentur, et in calamitatem devolvemini intolerandam. mittite igitur, mora omnis absit, legatum ad regem, et pacem vobis conficiam." haec locutus est Ismael Graecis. deinde consilia in unum conferentibus visum est ut legatus abiret ad Mechmetem, tentaturus sententiam regis, quam super Graecis iam mente concepisset. is autem qui ad regem legatus ire iussus erat, haud erat vir admodum illustris et claro genere natus. quem, cum venisset ad ianuas regis opera Ismaelis rex iussit renuntiare Graecis ut tributi nomine quotannis decem myriades aureorum numerent. sin condicio haec ipsis impossibilis visa fuerit, abeant relinquentes urbem singuli cum bonis suis quocunque voluerint. sententia Mechmetis ut proposita est Graecis, ad consultationem vertuntur. tandem multis ultro citroque dictis ea sententia vicit, cuius tenor erat, magis repugnandum esse hosti, quamvis ingens discrimen se ostenderet, quam ignaviam imbellem sequi et nullo commisso praelio abnavigare, deserentes urbem. ego existimo legatum Graecorum cum huiusmodi responso ab

ἐμοὶ μὲν οὖν δοκεῖ βασιλέα ταῦτα προτεῖναι ἀποπειρώμενον τῆς Ἑλλήνων γνώμης. καὶ τὰ ὀρύγματα μᾶλλον αὐτῶν ἄπρακτα γενόμενα ἐπῇρε διαπειρᾶσθαι ὅ,τι γινώσκοιεν περὶ σφῶν οἱ Ἕλληνες, εἴτε ἐχυρὰ εἴη αὐτοῖς τὰ πράγματα.

Οἱ μὲν οὖν Ἕλληνες ἐς τοσοῦτον ἐξεφέροντο ἐς ὅσον μοι δεδήλωται· βασιλεὺς δέ, ὡς αὐτῷ τὰ ἐς τὴν προσβολὴν παρεσκεύαστο, συγκαλέσας τοὺς νεήλυδας ἔλεγε τοιάδε. "ἄνδρες
P. 208 νεήλυδες καὶ ἐμοὶ παῖδες, τὰ κάλλιστα ἀεὶ ὅποι ἂν στρατεύωμαι ἀριστεύοντες, ἐφ' ὑμῖν ἤδη ἐστὶν ἁλῶναι τήνδε τὴν πόλιν. ἴστε δὲ καὶ τόδε. ὁπότε ἐπειρώμην ὑμᾶς, ἐφάσκετε ἁλώσιμον εἶναι τὴν πόλιν, εἰ μόνον τὰ τείχη ὑμῖν καταβάλλοιμι. περιάγων δὲ ὑμᾶς ἐπηρόμην εἰ ἱκανῶς καταβέβληται ἤδη τοῦ τείχους· καὶ ἐς ὅσον ὑμῖν ἱκανῶς ἔχειν ἔδοξε, κατεβάλλετο. νῦν δὲ ἐπειδὴ ὥρα ἐστὶ τὴν προσβολὴν ποιεῖσθαι, τάδε προτίθεμαι. ὑμεῖς ἁπανταχῇ δόξαν παρὰ τοῖς προγόνοις καὶ ἐμοὶ εὐκλεῆ ἀνελόμενοι συγκατεργάζεσθε τὴν βασιλείαν
B ἐμοί. ἴστε δὴ οὖν. ὅσαι ὑπαρχίαι ἔν τε τῇ Ἀσίᾳ καὶ ἐν τῇ Εὐρώπῃ τυγχάνουσιν ὄντα, τούτων τὴν βελτίω δώσω τῷ πρώτῳ ἀναβάντι ἐπὶ τὸ διάφραγμα. τιμήσω δὲ τοῦτον οἷα εἰκός, καὶ ἀμείψομαι, ἀρχὴν παρεχόμενος εὐδαίμονα, καὶ ἀποδείξω μακαριζόμενον ὑπὸ τῶν τοῦ ἡμετέρου γένους ἀνθρώ-

17. ὅσα ὑπάρχια P

Mechmete ad Graecos dimissum, ut eorum animos tentaret. nam cum fossas eorum cerneret usque fieri ad repugnandum inhabiles, conabatur explorare quaenam Graecorum in praesenti discrimine esset sententia; praeterea num res eorum adhuc aliquid roboris sive firmitatis haberent.

At Graeci in hunc modum quem diximus se gerebant. rex, cum omnia ad oppugnationem satis instructa et parata forent, convocatos peregrinos sic allocutus est. "viri peregrini meique filii, qui semper rem praeclare geritis, quocunque belli tempestatem vertero, in vobis certo situm est ut urbs illa occupetur. scitis, cum sententiam vos interrogarem, quod respondistis urbem captu esse facilem, si saltem muri sternerentur. circumductos igitur vos interrogavi, si satis iam muri dissipati videantur. tantum igitur muri quantum satis apparebat vobis, bombardarum impetu corruerat. nunc itaque cum tempus postulet ut oppugnationem urbis occipiamus, haec vobis proponere volui. vos qui ubique cum apud me tum apud maiores nostros semper plurimum laudis et gloriae rebus fortiter gestis invenistis, rogo Graecorum regnum parare velitis. haud vos praeterit quot nobis in Europa Asiaque praefecturae sint. harum et pulcherrimam et optimam ei dabo qui primus in supremum murum evaserit. eundemque pro dignitate honorare non cessabo. hanc autem ei gratiam referam,

πων. ὃν δ' ἂν αἴσθωμαι ἐν σκηναῖς ἀναστρεφόμενον καὶ μὴ
μαχόμενον ἐς τὸ τεῖχος, οὐδ' ἂν εἰ πετόμενος κατὰ τὰ πτηνὰ
ἀποδραίη, ἱκανῶς ἔσται αὐτῷ ἀποφυγεῖν, μὴ τὰ ἔσχατα πα-
θόντι ἀποθανεῖν. ἴτε δὴ οὖν ἐπὶ τὸν ἀγῶνα τοῦτον, κάλλι-
στόν τε καὶ ὀλβιώτατον· ἀνδράποδά τε γὰρ ἔσται ὑμῖν πολ-
λοῦ ἄξια καὶ γυναῖκες καὶ παῖδες, καὶ πλοῦτος ἐν τῇ πόλει C
πολύς." ταῦτα εἰπόντι τῷ βασιλεῖ οἱ δεκαδάρχαι καὶ λοχα-
γοί, οἳ καὶ πρότερον, ὡς ἐπεδείκνυτο τὸ τεῖχος αὐτοῖς ὁ βασι-
λεὺς περιάγων, εἰ ἱκανῶς ἔχει εἰσπεσεῖσθαι ἔσω ἐς τὴν πό-
λιν, [καὶ] ἐκέλευον καταβάλλειν ἐς ὃ ἐδόκει αὐτοῖς ἱκανῶς
ἔχειν, καὶ τότε δὴ θαρρεῖν τε αὐτὸν ἐκέλευον ὡς ἐς τὴν πό-
λιν ἀμεταστρεπτὶ ἐσπεσοῦνται, ᾐτοῦντο δ' αὐτὸν χάριν θέ-
σθαι σφίσι τοὺς ἄνδρας οὓς συνέλαβε διὰ τὸν ναύαρχον, ὅτι
ἐν ὑπόπτῳ ἦσαν ὡς ἔτρωσαν αὐτὸν ἐς τὸν ὀφθαλμόν, χαρί-
σαιτο αὐτοῖς. ὁ δὲ ἐπείθετο καὶ ἀπέλυσε τοὺς ἄνδρας, χαρι-
σάμενος τοῖς νεήλυσι. D

Μετὰ δὲ ταῦτα, ὡς ἐδόκει αὐτῷ προσβαλεῖν, ἔπεμπεν
ἐς τὸ στρατόπεδον περιαγγέλλων ὡς ἕωθεν ἔσοιτο ἡ προσβολή,
καὶ προηγόρευε δῶρα τῷ ἀριστεύοντι· τῷ μὴ μαχομένῳ δὲ
θάνατος ἐπέκειτο ζημία. καὶ ζύχιδες δὴ ἐς τὰ στρατόπεδα
περιιόντες ὑπεμίμνησκον τὴν νενομισμένην σφίσιν ἐπὶ τῇ τε-

ut a me accipiat principatum opulentum; et sedulo annitar ut plurimum ab nostri generis hominibus honoretur et celebretur. porro si rescivero, dum oppugnatio fervet, aliquem in tentoriis manere et muri oppugnationem refugere, is profecto, etsi instar volucris alas haberet, nunquam nostras, quo minus supplicium det, effugiet manus. ite igitur, pugnam istam et pulcherrimam et opulentissimam capessite. nam manent vos, quorum potiemini, in urbe ista mancipia plurima et pretiosa, mulieres et liberi, divitiaeque plurimae." haec dicentem decuriones et manipulorum ductores, qui ascensum muri, qua parte irrupturi erant, deiici bombardis iusserant, regem bono animo esse iubent, ut qui in urbem citra omnem tergiversationem sint procursuri. petebant autem ut rex ipsis hanc gratiam rependeret. in vincula duci praeceperat rex viros, quos suspicabatur victoriae navalis impediendae gratia gubernatoris oculum vulnerasse. hos vinculis eximi et impunitos dimitti flagitabant. rex peregrinorum preces haud est aversatus, verum ut iis rem gratam faceret, captivos carcere emisit.

Interea cum iam tempus, quo oppugnationem auspicaturus erat, instaret, per castra edici iubet se in crastinum matutino tempore oppugnaturum urbem. pronuntiat munera et dona ei qui in ista oppugnatione se optime gesserit: illi autem qui se praelio subtraxerit,

λευτῇ δόξαν, ὡς τοῖς τε μαχομένοις ὁ ἥρως ἐπαγγέλλεται εὐ-
V. 163 δαιμονίαν τοῖς τετελευτηκόσι, καὶ ἄλλα οἷα δὴ νομίζεται παρ'
P. 109 αὐτοῖς. οἱ μὲν οὖν Ἕλληνες ἄνδρα Ἰανύϊον ἀφικόμενον ἐς
τιμωρίαν σφίσι σὺν νηί τε μεγίστῃ καὶ ὁπλίταις ὡς τριακο-
σίοις, ἐκέλευον ταύτῃ ἑστηκότα ᾗ βασιλεὺς καὶ οἱ νεήλυδες
ἔμελλον ἐπεισπεσόντες βιάζεσθαι, ὡς ἐνταῦθα σὺν τοῖς ὁπλί-
ταις αὐτοῦ παρασκευάζοιτο ἀμύνεσθαι. καὶ αὐτός τε ἅμα
βασιλεὺς Ἑλλήνων οὐ πολλῷ διίστατο σὺν τοῖς ἀμφ' αὐτὸν
ὥστε ἐπαμύνειν. καὶ καρδινάλιος ὁ Ἰσίδωρος Σαρματίας, οὗ
πρότερον ἐμνήσθην, παρὼν τότε τοῖς Ἕλλησιν ἐτιμώρει πολε-
μουμένοις· παρεγένετο γὰρ ὡς ξύνοδόν τε ποιησόμενος καὶ
διαλλάξων τοὺς Ἕλληνας τῷ Ῥωμαίων ἀρχιερεῖ. ταῦτα μὲν
B οὖν ὀλίγῳ πρότερον αὐτῷ ἐπεποίητο, καὶ οἱ Ἕλληνες ὀψὲ γοῦν
ἐς διαλλαγὴν ἀφίκοντο τοῖς Ῥωμαίοις. βασιλεὺς δέ, ὡς ἐδό-
1453 κει ὥρα εἶναι προσβάλλειν ἕωθεν, (Ἄρεως δ' ἦν ἡμέρα), τά
d. 29 Mai τε κύμβαλα ἐσημαίνετο, καὶ οἱ αὐληταὶ καὶ οἱ σαλπιγκταὶ
ἐσήμαινον, ἕωθεν προσέβαλε, καὶ πανταχῇ τῆς πόλεως κα-
θίσταντο ἐς μάχην οἱ βάρβαροι, καὶ προσβαλόντες ἐμάχοντο
ἰσχυρῶς. κατὰ μὲν τὸ ἐς λιμένα τεῖχος ἠμύνοντο οἱ Ἕλληνες
κράτιστα, καὶ ἐξεώσαντο τοὺς Τούρκους, καί πῃ κατὰ τὰς κλί-
μακας ἀναβάντων κεφαλὰς ἀπηνέγκαντο κρατύνοντες τὰ τείχη.

capitale supplicium praemium fore edicit. zichides in castra progressi in memoriam redigebant Turcis gloriam, qui hactenus claruissent. praeterea dicebant heroa iis qui in praeliis occumberent sempiternam polliceri beatitudinem. commemorabant et alia, ut gens illa assolet. Graeci virum Ianuensem, qui auxilio venerat cum nave maxima et trecentis armatis, eo loci cum suis consistere iubent, ubi rex et peregrini irruptionem facturi erant. ibi stantem cum suis armatis vim hostilem amoliri volebant. haud procul aberat rex Graecorum cum suis, ut quam fortissime hostes propulsaret. etiam cardinalis Isidorus, Sarmatarum antistes, cuius ante meminimus, Graecis, penes quos ea tempestate erat, auxilio fuit. aderat enim ut synodum congregaret et Romano pontifici Graecos reconciliaret. haec quidem paulo ante confecerat. at Graecis illa cum Romanis reconciliatio nimis sera extitit. rex Mechmetes cum tempus iam advenisset (erat autem Martis dies) ut oppugnationem universis copiis aggrederetur, cymbala cornua tubasque canere iubet, signumque occipiendae oppugnationis dedit. et urbem summo mane fortiter oppugnabant, irruentesque in urbem praeliabantur magna virtute. in eo muro qui portum spectat, Graeci fortissime resistebant Turcosque magnanimiter expellebant. etiam capita quorundam, qui scalis admotis murum superare conabantur, amputata de muro devolvebantur, cum Graeci

ᾗ δ' αὐτὸς προσέβαλε βασιλεύς, οἱ νήλυδες ἐπεισπεσόντες ἐβιάζοντο τοὺς ὁπλίτας τῶν Ἰανυΐων. καὶ ὁ Λόγγος αὐτὸς C τιτρώσκεται τηλεβολίσκῳ ἐς τὴν χεῖρα, καί τινες ἄλλοι τῶν ὁπλιτῶν ἐπετιτρώσκοντο, καὶ ἐκλιπόντες τὴν χώραν ᾗ ἐστήκεσαν, αὐτίκα βιαζόμενοι εἰσέπιπτον, καὶ τούς τε ὁπλίτας τῶν Ἰανυΐων ἐτρέψαντο καὶ ἐπικείμενοι ἐφόνευον. ὁ μὲν οὖν Λόγγος ἀπεχώρει. εἵποντο αὐτῷ οἱ ὁπλῖται, ἐπιόντων σφίσι τῶν νηλύδων. καὶ ὁ βασιλεὺς Ἑλλήνων ὡς ᾔσθετο ἐκλιπόντας τὴν χώραν αὐτοὺς καὶ ἐνδιδόντας, ἀνέδραμε μὲν αὐτίκα καὶ ἤρετο τὸν Λόγγον εἴ ποι πορεύοιτο· τοῦ δ' αὖ φαμένου ὡς ταύτῃ θεὸς ὑφηγεῖται τοῖς Τούρκοις, αὐτὸς δ' ὁ βασιλεὺς πρὸς Καντακουζηνὸν καί τινας ὀλίγους ἀμφ' αὐτὸν ὄντας τραπόμενος D ἔλεγεν "ἴωμεν, ἄνδρες, ἐπὶ τοὺς βαρβάρους τούσδε." αὐτός τε ὁ Καντακουζηνὸς ἀνὴρ γενόμενος ἀγαθὸς ἐτελεύτησε. καὶ αὐτὸς ἐτράπετο, καὶ ἐπιόντες καὶ διώκοντες ἔτρωσαν βασιλέα Κωνσταντῖνον ἐς τὸν ὦμον, καὶ ἐτελεύτησεν. οἱ δὲ ἄλλοι Ἑλλήνων, ὡς εἶδον τοὺς νήλυδας ἐπὶ τὸ μέγα τεῖχος δραμόντας καὶ ἄνωθεν βάλλοντας τοξεύμασί τε καὶ λίθοις, καὶ τοὺς ἀμφὶ τὸν Λόγγον φεύγοντας, ἐπικειμένων τῶν νηλύδων ἐτράποντο ἐς φυγήν, ἐκτός τις ἕκαστος προσκαταβάλλειν βουλόμενος ὥστε σώζεσθαι. ὡς δὲ ἐς τὴν πύλην ἀφίκοντο τὴν τοῦ P. 210

20. προκαταβάλλειν?

summa vi moenia defeusarent. ea parte qua rex cum peregrinorum manu irruptionem fecit, Ianuenses armati vi submoti sunt. Longus horum dux vulneratus est manum, ictus bombardae globulo. reliqui armati haud mansere a vulneribus intacti. deserentes igitur locum quem occupaverant, Ianuenses in fugam vertuntur; quos fugientes caedebant Turci. Longus dux cedebat: eum sequebantur armati, quos hostili animo insequebantur Turci. rex Graecorum ut accepit Ianuenses cessisse loco quem defendendum susceperant, et fugam inire, accurrens citato gradu, Longum percunctatur quonam abiret. cui Longus respondit "ea qua Turcis deus ipse iter aperit." verum rex Graecorum ad Cantacuzenum et alios paucos conversus dixit "eamus, o viri, forti animo contra barbaros istos." Cantacucenus, cum fuisset vir optimus, in eo praelio mortem oppetiit. at rex Graecorum Constantinus in fugam coniectus est, hostesque continuo insequentes eius humerum vulnerarunt; atque mortuus est. reliqui Graeci ubi conspicati sunt peregrinos ad magnum murum cursitare, missilia et sagittas et lapides de supernis torquere, praeterea Longum cum suis armatis in fugam effundi, et insequi fortiter peregrinos, nec ipsi dubitarunt fugam arripere, cum singuli extra murum se iactare cuperent, ut evaderent hostium manus. cum fuga celeri essent delati ad Romani nuncupatam portam, impediti affluenti undique hominum

Ῥωμανοῦ καλουμένην, κατασχεθέντες ὑπ' ἀλλήλων αὐτοῦ ταύτῃ ἔκειντο, καὶ ἐπιόντες αὖθις ἔπιπτον ἐς αὐτούς, καὶ οὕτως ἐπαναβαίνοντες σπουδῇ ἐπειγομένους διαβαίνειν, σωρὸν μέγιστον ζῶντες κατὰ τὴν πύλην ἐπεποίηντο, ὥστε μηδενὶ βάσιμα εἶναι ἐντεῦθεν. καὶ οὗτοι μὲν οὕτως, ὡς πλεῖστοι, ἐν οὐδενὶ λόγῳ ἀπώλοντο, ἐπειγόμενοι φθῆναι ἐς ἀλλήλους, ἔπι- V. 164 πτον ἐς ἐκεῖνο τὸ θέαμα, καὶ τὰς πύλας κεκλεῖσθαι σώμασι περιιόντων ἐπὶ τῶν Ἑλλήνων. οἱ δὲ νεήλυδες ὑπερβάντες τὸ μέγα τεῖχος (κατέρριπτο γάρ τοι καὶ αὐτοῦ μέγα μέρος ὑπὸ B τοῦ τηλεβόλου) εἰσεχέοντο ταύτῃ ἐς τὴν πόλιν καὶ διήρπαζον τὴν πόλιν, τραπόμενοι ὅποι ἑκάστῳ προχωροίη.

Οἱ δὲ Ἕλληνες πρῶτον μέν, ὡς ἡ φήμη διέδραμεν ὡς ἑάλω ἡ πόλις, οἱ μὲν φυγῇ ὥρμηντο ἐπὶ τὸν λιμένα ἐς τὰς ναῦς τῶν Οὐενετῶν καὶ Ἰαννυΐων, καὶ πολλοὶ ἐς τὰ πλοιάρια ἐσβάλλοντες σπουδῇ καὶ ἀκόσμως ἀπώλοντο καταδυομένων τῶν πλοιαρίων. καὶ ἐγίγνετο οἷα δὴ γίγνεσθαι εἰώθει ἐν τοῖς τοιούτοις θορύβοις, ἀτάκτως χωρούντων ἑκάστων ἐς τὸ διασώζεσθαι ἐν οὐδενὶ κόσμῳ. καὶ οὗτοι μὲν ἔφθησαν ἀποφυγόντες τοὺς Τούρκους· οἱ δὲ πυλωροὶ τῆς πόλεως ἀγνωμοσύνῃ κακοδαίμονι χρησάμενοι, ὡς ἑώρων τοὺς Ἕλληνας ἐπὶ τὰς C ναῦς τραπομένους, φυγῇ ὡρμημένους σώζεσθαι ἐς τὰς ναῦς, οἰόμενοι ὡς εἰ ἐπικλείσαιεν ἐς τὰς θύρας, ἀναγκασθεῖεν οἱ Ἕλ-

8. περιιόντων ἔτι? 9. κατέρριπτον P

turba humi cadebant. deinde alii accedentes per iacentes incedebant. in hunc modum ascendentes in eos qui ceciderant, studio transeundi magnum fecerunt acervum hominum, adeo ut nullus ea elabi posset. at sic nullo respectu habito periere plurimi, cum alius alium fuga praevenire festinaret, et in miserabile hoc veniebant spectaculum. portae quoque claudebantur oppletae corporibus Graecorum, cum per eas exitum quaererent vadentes. peregrini muro magno superato (nam et huius partem bombarda maxima diruerat) ea ruebant in urbem: quam diripiebant, euntes qua cuique liberum erat, nemine prohibente.

Graeci autem, ubi primum fama captam esse urbem volabat, fuga ferebantur in portum ad Venetorum et Ianuensium naves. plurimi naves cum summa celeritate ingressi intercidebant, navibus alto mersis. eaque contingere videbantur quae contingere solent in eiusmodi turbis, cum omnes nullo ornatu nulloque ordine susque deque currerent, ut semet ipsos servarent tutos ab imminenti periculo. et hi quidem Turcorum manus evitarunt. at urbis ianitores ignorantia et inscitia infelice usi, cum cernerent Graecos conversos in fugam ad naves properare et impetu in eos qui salutem consequerentur ruere,

ληνες ἐπιστραφέντες ἀμύνεσθαι, καὶ κατά τινα χρησμὸν ᾀδόμενον ἐν τῇ πόλει, ὡς τοὺς πολεμίους ἄχρι τοῦ Ταύρου χώρου τῆς πόλεως ἐπιγενομένων καὶ ἐπικειμένων τοὺς ἐν τῇ πόλει συστραφέντας ἀνάγκῃ ἀμυνομένους ἐκβαλεῖν τοὺς πολεμίους καὶ αὐτοὺς ἴσχειν τὴν πόλιν, ἐν ταύτῃ, οἶμαι, τιθέμενοι τῇ δόξῃ τὰς κλεῖς ἄνω ἀπὸ τοῦ τείχους ἔξω ἀπέρριψαν. οἱ δὲ ἄνδρες τε καὶ γυναῖκες, πλῆθος πολὺ γενόμενοι ἐνταῦθα ἐπιρρεόντων αἰεὶ συχνῶν, ἐτράποντο ἐπὶ τοῦ μεγίστου νεὼ τῆς πόλεως, τῆς ἁγίας Σοφίας καλουμένης, καὶ ἐνταῦθα συνελέγοντο καὶ ἄνδρες καὶ γυναῖκες καὶ παῖδες. οὐ πολλῷ μέντοι D ὕστερον ἑάλωσαν ὑπὸ τῶν Τούρκων ἀμαχητί, καὶ ἀνδρῶν οὐκ ὀλίγοι ἐντὸς τοῦ νεὼ διεφθάρησαν ὑπὸ Τούρκων. ἄλλοι δ' αὖ τῶν Ἑλλήνων ἄλλῃ τῆς πόλεως τραπόμενοι ἐν ἀπορίᾳ τε εἴχοντο, καὶ οὐ πολλῷ ὕστερον οἱ μὲν ἀπώλοντο οἱ δὲ καὶ ἡλίσκοντο. καὶ πολλοὶ τῶν Ἑλλήνων ἄνδρες γενόμενοι ἀγαθοὶ ἐμαχέσαντο καὶ ἀπέθανον πρὸς τῆς πατρίδος, ὥστε μὴ ἐπιδεῖν τὰς γυναῖκας αὐτῶν καὶ τοὺς παῖδας εἰς ἀνδραποδισμὸν γινομένας. ὅτε καὶ Θεόφιλος τοῦ Παλαιολόγων γένους ταύτῃ ἐτελεύτησεν, ἀνδρικῶς ἀγωνισάμενος θανάτου ἕνεκα. καὶ P. 211 τῶν Παλαιολόγων οἱ μετοχιταῖοι, ὅ τε πατὴρ καὶ οἱ παῖδες αὐτοῦ, μαχόμενοι ἀπώλοντο. καὶ συχνοὶ τῶν ἀμφὶ βασιλέα Ἑλλήνων εὖ γεγονότες ἀπέθανον, μὴ ἀνεχόμενοι ἐπιδεῖν σφίσι

2. τῶν πολεμίων?

putabant, si eos clauderent intra urbem, fore ut cogerentur redire et redintegrare praelium cum hoste. id consilii suggerebat oraculum quoddam in urbe decantatum, fore videlicet ut cum hostes venissent usque ad civitatis locum Tauri dictum, et oppidanos persequerentur, oppidanos tum conversos, necessitate sic urgente, hostem expulsuros urbemque fortiter retenturos. huic oraculo arbitror fidem accommodantes ianitores claves de muro extra urbem iactasse. cum autem turba magna virorum et mulierum huc confluxeret, tandem contendebant ad maximum urbis templum S. Sophiae dictum. huc congregabantur viri pariter et mulieres liberique. nec multo post capti sunt a Turcis citra praelium, plurimique viri intra templum a Turcis trucidati sunt. reliqui Graeci per urbem fuga dissipati, quo se verterent, ut effugerent praesens discrimen, nesciebant. haud multo post quidam eorum pecorum more trucidati, quidam capti sunt. plurimi Graeci cum forent viri boni, fortiter ciebant praelium, eligentes potius pro patria mori quam videre uxores et liberos praedam fore hostium. Theophilus exortus Palaeologorum genere fortiter dimicans in ea pugna occubuit. Palaeologorum socii, pater et filii eius, manus conserentes magno animo caesi sunt in eo praelio. complures Graeci

τὴν πατρίδα δεδουλωμένην. ἦν τε τὰ τῆς πόλεως ἁπανταχῇ πλέω ἀπολλύντων καὶ ἀπολλυμένων καὶ διωκόντων τε καὶ φευγόντων. καὶ ἀμφὶ τὸν Νοταρᾶν τοῦ βασιλέως ἁρμοστὴν καὶ Ὀρχάνη τὸν Μουσουλμάνεω υἱιδοῦν, ὡς αὐτοὶ ἔλεγον Ἕλληνες, τοιόνδε ἐγένετο. ὡς γὰρ ἐπυνθάνοντο ἑαλωκέναι τὴν πόλιν, ἀπέδρασαν ἐπὶ πύργον τινὰ τῆς πόλεως, ὡς ἐνταῦθα βουλευσόμενοι ὅτι ἅπαν σφᾶς δέοι τραπέσθαι. καὶ B ἐνταῦθα γενόμενοι, Ὀρχάνη μὲν ῥάκια ἀμφιεσάμενον Ναζηραίου τινὸς ἔβαλεν ἑαυτὸν κατὰ τοῦ πύργου καὶ ἀπέθανεν, οἱ δὲ ἀμφὶ τὸν Νοταρᾶν πολιορκηθέντες ἑάλωσαν περὶ πλήθουσαν ἀγοράν, αὐτός τε ἅμα καὶ οἱ παῖδες αὐτοῦ.

Οἱ μὲν οὖν νεήλυδες αὐτίκα τὸ στρατόπεδον τοῦ βασιλέως ἐνέπλησαν καὶ γυναικῶν τε ἅμα καὶ παίδων τῶν περιφανεστάτων Ἑλλήνων, καὶ ὄλβον πολὺν ἀποφερόμενοι μέγα εὐδαίμονες ἐγένοντο. καὶ ἦν ἰδεῖν τὸ στρατόπεδον ἁπανταχῇ πλέων ἀνδρῶν τε καὶ γυναικῶν ἀλλήλους ἐπιβοωμένων καὶ V. 165 παίδων ἐκπεπληγμένων ταύτῃ τῇ συμφορᾷ. καὶ χρυσὸς μὲν πολὺς καὶ ἄργυρος ἐφορεῖτο τῆς πόλεως ἐς τὸ στρατόπεδον, καὶ λίθων εὐπορία ἦν, καὶ ἐσθήτων παντοδαπῶν πλέως ἡ χώ- C ρα, ὥστε μιᾷ ἡμέρᾳ μέγα δὴ ὄλβιον γενέσθαι τοῦτο τὸ στρατόπεδον ἀπό τε ἀνδρῶν περιφανῶν καὶ πλούτου καὶ τῆς ἄλλης εὐδαιμονίας, ὥστε πολλοὺς μὲν οὐκ ἔχειν ὅ τι χρήσαιντο

6. ἐπέδρασαν P   7. ὅποι ἄν?   16. πλέον P

alii, qui latera regis stipabant, occisi sunt, nequaquam sustinentes videre patriam in servitutem hostium redactam. per universam urbem plena omnia erant caedentibus et caesis, fugientibus et persequentibus. Notarae regis praefecto et Orchani Mulsumanis nepoti, ut ipsi Graeci indicarunt, haec acciderunt. cum audivissent captam esse urbem, accurrerunt ad turrim quandam urbis, quasi hic deliberaturi an omnes fuga sibi consulere deberent. cum in hanc turrim advenissent, Orchanes obsitus pannis cuiusdam Nazaraei se ipsum praecipitem ex turri dedit, eoque casu mortuus est. Notares obsidione circumdatus, tandem in conferta hominum turba simul cum liberis in hostium potestatem venit.

Peregrini continuo regis castra mulieribus et pueris, qui erant Graecorum illustrium liberi, repleverunt; magnasque inde opes ferentes admodum opulenti facti sunt. videre erat regia castra plena viris et mulieribus se iuvicem vocantibus, necnon liberis ista calamitate admodum attonitis et perculsis. multum auri argentique ex urbe in castra portabatur; lapidum pretiosorum copia erat maxima. locus castrorum omnigenis vestibus repletus erat, adeo ut uno die ditarentur ista castra admodum insignium virorum divitiarum et caeterae

τῶν νεηλύδων τῇ παρούσῃ εὐδαιμονίᾳ. καὶ λίθους μὲν ἐξωνησάμενοι ὀλίγης τιμῆς, ἅτε μὴ εἰδότων τῶν νεηλύδων ὁπόσου αὐτὰ δέοι ἀποδόσθαι, μέγα ὄλβιοι ἐγένοντο, καὶ χρυσὸν ἔστιν ᾗ ἀντὶ χαλκοῦ φαίνονται ἀποδόμενοι οἱ νεήλυδες.

Ἐνταῦθα ἑάλω καὶ Ἰσίδωρος καρδινάλιος Σαβίνων, καὶ ὡς ἤχθη ἐς Γαλατίαν ἀπεδόθη, καὶ ἐσβὰς ἐς ναῦν ἀπέδρα ἐπὶ τὴν Πελοπόννησον. εἰ μὲν οὖν αὐτὸν ἔγνω βασιλεὺς ὡς εἴη καρδινάλιος Ἰσίδωρος, ἀνεῖλέ τε αὐτὸν καὶ οὐκ ἀνίει διαφυγεῖν· D νῦν δὲ οἰόμενος αὐτὸν τεθνάναι οὐκ ἐποιεῖτο λόγον οὐδένα. τοῦ μέντοι βασιλέως Ἑλλήνων τὴν κεφαλὴν τῶν νεηλύδων τις μετὰ ταῦτα παρὰ βασιλέα ἐνεγκάμενος δῶρά τε ἔλαβε καὶ ἀρχῇ ἐδωρήθη. ὅτῳ δὲ τρόπῳ ἀποθάνοι, οὐδεὶς ᾔσθετο τῶν νεηλύδων φράσαι. κατὰ γὰρ τὴν πόλιν σὺν πολλοῖς ἄλλοις αὐτοῦ ὡς ὁ τυχὼν ἐτελεύτησε, βασιλεύσας ἔτη τρία καὶ μῆνας τρεῖς. ἑάλωσαν δὲ καὶ Οὐενετῶν ἄνδρες ἐπιφανεῖς, οἳ αὐτοῦ τε παρῆσαν μετιόντες ἐμπορίαν, καὶ ἄλλοι συχνοί, οἳ σὺν ταῖς τριήρεσιν ἔτυχον ὁρμισάμενοι, κατέσχον δ' αὐτοὺς οἱ Ἕλληνες κατὰ τὸ ξυμμαχικόν, ὥστε ἀμῦναι P. 212 σφίσιν ἐς τὴν παροῦσαν ἀνάγκην. καὶ ὁ μὲν πρύτανις τῶν Οὐενετῶν, ὡς ἤχθη ἐς βασιλέα, ἀπέθανεν, οἱ δ' ἄλλοι ἀπελύοντο μετὰ ταῦτα. ἐν ᾧ γὰρ ταῦτα ἐγένετο καὶ πάντες σχεδὸν ἐγένοντο τετραμμένοι ἐπὶ διαρπαγήν, καὶ οἱ τοῦ στόλου

felicitatis abundantia, ut dubitarent Turci quo pacto ea rerum omnium copia frui possent. vendebantur lapides pretiosissimi parvo pretio, quia peregrini eorum pretium ignorabant. interdum aurum pro aurichalco peregrini vendebant.

In hac rerum turba miserabili captus est cardinalis Isidorus, Sarmatarum antistes; qui ductus in Galatiam urbem venditus est, et conscensa navi profugit in Peloponnesum. si rex Turcorum virum hunc novisset, videlicet quod cardinalis esset, certe eum interfecisset, nec eum fuga elabi permisisset. verum cum eum quoque inter caeteros occisum esse putaret, nullam eius rationem habebat. post haec quidam caput regis Graecorum ad regem attulit, et ab eo munera magna necnon principatum accepit. quomodo autem Graecorum rex interierit, peregrinorum nullus explicare potuit. creditur tamen in porta, sicut et reliqui, expirasse, cum regnasset annis tribus et mensibus tribus. venere in hostium manus viri Veneti illustres, qui mercium gratia Byzantium appulerant; necnon alii plurimi, quos eadem necessitas cum triremibus eo pertraxerat. Graeci igitur eos haud abire sinebant, verum in praesenti rerum discrimine eos auxiliares adesse volebant. Venetorum iudex, qui praestare videbatur, ad regem deductus cum esset, interfectus est. reliqui deinde dimitteban-

τοῦ βασιλέως, αἱ δὲ τῶν Οὐενετῶν τριήρεις λύσασαι ἐκομίζοντο διὰ τοῦ Ἑλλησπόντου, καὶ τριταῖοι ἀφικνοῦνται ἐς Εὔβοιαν κεναὶ ἀνθρώπων· τοὺς γὰρ πλείους ἀποβιβάσαντες οἱ Ἕλληνες ἐτάξαντο ἐς τὴν τῆς πόλεως φυλακὴν πρὸς τὰς ἐπάλξεις, καὶ ἑάλωσαν, οἱ δὲ καὶ ἀπέθανον. αἱ μὲν οὖν τριήρεις ἀφικόμεναι ἀγγέλλουσί τε τὴν Βυζαντίου συμφοράν, καὶ πάντες οὐδὲ
B ᾔδεσαν ποῦ τράπωνται γενόμενοι· αὐτίκα γὰρ ἥξειν ἐς αὐτοὺς τὸ δεινὸν ἐνόμιζον. καὶ αἱ νῆσοι αἱ ἐν τῷ Αἰγαίῳ σχεδόν τι ξύμπασαι ὥρμηντο ἐς φυγήν, καὶ οἱ ἡγεμόνες τῶν Ἑλλήνων καὶ οἱ περὶ Πελοπόννησον συμφορᾷ πεπληγμένοι ὥρμηντο ἐπὶ τὴν θάλασσαν. δι' ἃ δὴ ξυνέβη ὕστερον γενέσθαι τὴν ἀπόστασιν τῶν ἐνοικούντων αὐτὴν Ἀλβανῶν.

Βασιλεὺς μὲν δή, ὡς ἑάλω Βυζάντιον, αὐτίκα ἐκέλευε Ζάγανον τὸν κηδεστὴν αὐτοῦ τριήρεις πληρώσαντα ἰέναι τε ἐπὶ τὴν καταντικρὺ Βυζαντίου Γαλατίην πόλιν, καὶ διακωλύειν μὴ ἐπιπλέειν τὰς ναῦς, παραγγέλλειν τε τοῖς ἐν τῇ πόλει ἱδρῦσθαί τε ἕκαστον ἐν τῇ χώρᾳ καὶ μηδενὶ ἐπιτρέπειν
C εἰσβαίνειν ἐς τὰς ναῦς. ὁ γὰρ τῆς πόλεως ταύτης προεστὼς ὡς ᾔσθετο τὸ Βυζάντιον ἑαλωκέναι ὑπὸ βασιλέως, περιδεὴς γενόμενος μὴ καὶ ἐς σφᾶς ὁρμώμενος ἐξανδραποδίσαιτο τὴν πόλιν, οἷα καὶ Βυζάντιον ἔδρασε, λαβὼν τὰς τῆς πόλεως κλεῖς καὶ ἀφικόμενος ἐς βασιλέα παρεδίδου τὴν πόλιν, ὡς

tur. omnes hinc, etiam qui erant de classe regis, accingebantur ad praedam. Venetorum triremes solutae ferebantur hominibus vacuae per Hellespontum, et die tertio Euboeam appellunt. nam plurimos eorum Graeci ex navibus deductos disposuerant ad custodiam urbis, per muri pinnas eos collocatos. verum capti sunt; quidam eorum interempti sunt. triremes advenientes Byzantii calamitatem nuntiant. omnes quo abirent, parum sciebant. existimabant enim eandem calamitatem quamprimum ad ipsos perventuram. pene omnes quotquot Aegaei maris insulas incolebant, fugam arripiebant. Graecorum duces, et omnes qui in Peloponneso erant, ista calamitate territi festinabant ad mare. quapropter postea accidit ut Albani, qui in ea erant, ad defectionem properarent.

Rex quidem occupato Byzantio, Zaganum affinem suum naves adaptare iussit, et pergere in urbem Galatiam e regione sitam, et imperare ne ad naves pergant. praeterea edici iubet iis qui intra urbem erant, ut singuli in suo loco quieti manerent, nec paterentur quemquam conscendere naves. princeps enim huius civitatis ubi comperit Byzantium in potestatem venisse hostium, timens ne simile exitium se suosque raperet, accipiens urbis claves veniensque ad re-

αὐτῷ τε ἐπιτρέπουσι σφᾶς, ἀξιοῦντες πείθεσθαι τοῦ λοιποῦ αὐτῷ ὅ τι ἂν κελεύοι. τότε μὲν οὖν τὸν Ζάγανον ἔπεμπε παραληψόμενόν τε τὴν πόλιν καὶ μηδενὶ ἐπιτρέψοντα ἐσβαίνειν ἐς τὰς ναῦς. οἱ μὲν οὖν Γαλατιανοὶ ὡς εἶδον τὰς τριήρεις ἐπὶ τὴν πόλιν σφῶν ὡρμημένας, ἐνταῦθα δὴ ἅπαντες V.166 πασσυδὶ ὥρμηντο ἐπὶ τὰς ναῦς· οἱ δὲ Τοῦρκοι ἐπεῖχον αὐτούς, καί τινας αὐτῶν διεχρήσαντο δεδιττόμενοι. ἐπεὶ δὲ D ἀφίκετο Ζάγανος, εἰσιὼν ἐς τὴν πόλιν καθίστα τε τὰ ἐν τῇ πόλει, καὶ ἄρχοντα ἐπέστησε τοῦ βασιλέως. ὥστε μιᾷ ἡμέρᾳ δυοῖν πόλεων κύριος γενόμενος τὴν μὲν ἠνδραποδίσατο, τὴν δ' αὖ παραλαβὼν τὰ κατὰ τὴν ἤπειρον τείχη καθαιρεῖν τοὺς ἐνοικοῦντας προσέταξεν. ἐποίει δὲ τοῦτο, ὡς ἂν μὴ νεῶν ἀπὸ Ἰταλίας ἀφικνουμένων ἀπόστασίν τε βουλεύοιντο, καθῃρημένων τῶν τειχῶν τῆς ἠπείρου, καὶ τῷ βασιλεῖ ἐσαῦθις ἢν ἐπίῃ πόλεμος, κατάσχῃ ἐσιὼν ἐς τὴν πόλιν.

Ἑλλήνων μὲν οὖν ὅσοι μὴ ἀπώλοντο, τούτους ἀπαγαγόντες ἐς τὴν Γαλατίην, τοὺς ἐπιφανεῖς μάλιστα αὐτῶν. καὶ ἄλλοι μὲν οὕτως ἐλευθεροῦντο· Νοταρᾶν δὲ τὸν βασιλέως Ἑλλήνων P.213 πρύτανιν αὐτός τε ὁ βασιλεὺς ἐξωνησάμενος καὶ γυναῖκα καὶ παῖδας, καὶ χρηματίσας αὐτῷ ἅττα ἠβούλετο συνιέναι τῶν ἑαυτοῦ, καὶ τὰ τῆς Ἰταλίας ὅσα ᾔδει προσδόκιμα, ἐτίμα τε καὶ συνεγένετο χρόνον τινά. καὶ Ἑλλήνων ὅσοι ἠλευθέρωντο,

gem seque urbemque et cives eius fidei commisit, promisitque in posterum se suosque fideliter et obedienter sub ipso fore. quapropter rex misit Zaganum, ut urbem in fidem acciperet et nulli concederet intrare naves. verum eius urbis cives, ubi vidissent triremes regias accedere, omnes uno impetu et confertim coeperunt irruere in naves. at Turci retinebant eos, et ut caeteris metum iniicerent, quosdam trucidarunt. Zaganus cum advenisset, urbem ingressus est; et rem publicam ordinans, regium praefectum urbi praefecit. uno itaque die duarum urbium potitus est. alteram foede diripuit, alteram in fidem suscepit; eiusque incolas muros, qui continentem spectant, diruere iussit. id antem ea gratia imperabatur, ne si naves ab Italia advenirent, ad defectionem propenderent; quam muri destructi vetabant. praeerea ut ea urbs, si denuo ingrueret bellum, regi advenienti pateret.

Graeci quotquot exitium evaserant, abducebantur Galatiam, et libertatem recipiebant. hi erant viri prae caeteris maxime illustres. Notaram regis Graecorum primarium iudicem cum uxore et liberis redemit Turcorum rex; et cum eo collocutus, permisit ei ut ubi vellet cum suis habitaret. hic autem expectabat auxilium ab Italia, quod brevi affuturum arbitrabatur. interim tamen Byzantii cum rege man-

συνελέγοντο αὖθις ἐς τὴν Βυζαντίου πόλιν, τούς τε προσήκοντας αὐτῶν ἐλευθεροῦντες καὶ ἐπιτηδείους. καὶ οὐ πολλῷ ὕστερον ὑπὸ βασιλέως ἀπώλοντο. ἐγένετο δὲ ὧδε. ὡς ἀνηνέχθη ἐς βασιλέα παῖδα εἶναι τοῦ Νοταρᾶ νήπιον δωδεκαετῆ, ἔπεμψε τῶν οἰνοχόων αὐτοῦ ἕνα, αἰτούμενος τὸν παῖδα. ὁ
B δὲ ὡς ἐπύθετο τὰ παρὰ τοῦ οἰνοχόου, χαλεπῶς τε ἔφερε καὶ ἐποιεῖτο δεινόν, λέγων "ὦ οἰνοχόε, ταῦτα οὐκ ἀνασχετά ἐστι, βασιλέα ἀφαιρεῖσθαι τοὺς παῖδας ἡμῶν, οὐδὲν ἔχων ὅ τι ἂν ἡμῖν ἐν τῷ παρόντι ἐπιμέμψασθαι, ἐπεί τε συνέγνω ἡμῖν τὴν ἁμαρτίαν ἐξωνησάμενος. εἰ δὲ ταῦτα οὕτω ἡμᾶς ποιοίη, τί οὐ κελεύει ἡμᾶς αὐτοὺς κακίστῳ ὀλέθρῳ παραδοῦναι;" ταῦτά τε ἔλεγε, καὶ οὐκ ἔφη ἑκὼν εἶναί ποτε τὸν παῖδα ἀναίτιος ὢν ἐκδώσειν. ἐπιπλήττοντι δὲ τῷ οἰνοχόῳ καὶ παραινοῦντι μήτε λέγειν μήτε ποιεῖν οὕτω ἐς βασιλέα, ὡς αὐτίκα
C ἀπολούμενον, οὐκ ἔπειθεν. ἐπεὶ δὲ ὑποστρέφων ἀπήγγειλε τῷ βασιλεῖ τὰ παρὰ τῶν Ἑλλήνων, αὐτίκα ἐκέλευσεν αὐτόν τε ἅμα καὶ τοὺς παῖδας, καὶ ὅσοι αὐτῷ συμπαρῆσαν, ἀπαγαγόντας κατασφάξαι. οἱ μὲν οὖν ὡς ἀφίκοντο ἐς αὐτὸν οἱ ἐπὶ τοῦτο ταχθέντες, ἐδεῖτο αὐτῶν τοὺς παῖδας ἐναντίον αὐτοῦ ἀνελεῖν τὰ πρῶτα, μετὰ δὲ ταῦτα ἑαυτὸν καταχρήσασθαι. καὶ οἱ μὲν παῖδες αὐτοῦ καταδείσαντες τὸν θάνατον ἐδέοντο

sit. quidam Graeci qui erant libertatem consecuti et praesenti exitio subtracti, iterum colligebantur Byzantium, propinquos et amicos suos in libertatem antiquam asserentes. verum haud multo post regis iussu omnes interiere. quod quidem sic evenisse compertum est. ubi est rumore allatum ad regem Notarae esse filium natum annos circiter duodecim, unum de suis pincernis misit petitum puerum. Notaras postquam accepit ex pincerna regis voluntatem, graviter ira succensus est, sibique eam petitionem admodum periculosam et intolerandam fore iudicabat. et sic compellavit pincernam regium "o pincerna, haud ferendum est regem mihi liberos velle eripere, cum nihil sit quod crimini det, cum semel errorem remiserit. sin id fixum ratumque sedet in animo regis, quare non imperat ut nos turpissimae morti liberos nostros tradamus?" haec locutus addidit se nequaquam filium regi petenti daturum, cum nullam in ipsum commiserit culpam. pincernae autem obiurganti et monenti ne talia et diceret et faceret in regem, quasi illico periturus, non obtemperavit. pincerna igitur reversus ad regem responsum quod ab Notara acceperat exprompsit. rex iratus praecepit ut Notaram cum liberis, quos secum haberet, continuo abducerent et neci darent. hos, quibus id negotii iniunctum erat, cum advenissent, rogavit Notaras ut primo liberos in conspectu suo occiderent et postremo in se hostili ferro ruerent. at

τοῦ πατρός, καὶ ὅσα ἐνῆν σφίσι χρήματα ἐν τῇ Ἰταλίᾳ, πα-
ραδόντας περιποιῆσαι σφᾶς ὥστε μὴ ἀποθανεῖν. ὁ δὲ οὐκ
εἴα, ἀλλ' ἐκέλευε θαρροῦντας ἰέναι ἐπὶ τὸν θάνατον. καὶ
τούτους μὲν πρῶτα ἀνεῖλον, μετὰ δὲ ἑαυτὸν παρείχετο δια- D
χρήσασθαι. ὡς δὲ τοῦτόν τε καὶ τοὺς περὶ αὐτὸν ἀνεῖλεν ὁ
βασιλεύς, αὐτίκα ἐκέλευσε καὶ τῶν Ἑλλήνων τοὺς ἄλλους,
ὅσοι παρῆσαν ἐν Βυζαντίῳ ἐλευθερωμένοι, ἀπαγαγόντες καὶ
τούτους ἀπέσφαξαν. καὶ οὕτω μὲν οὗτοι ἐν οὐδενὶ λόγῳ
ἀπώλοντο· βασιλεὺς δὲ ἐπὶ τοῦτον τὸν φόνον ἐλάσας, ἐνά-
γων τῶν Ἑλλήνων τῶν ἐπιδήμων ἑνός, οὗ τὴν θυγατέρα βα-
σιλεὺς συγγενόμενος ἤρα τε ἐπιμαινόμενος τῇ γυναικί, τούς
τε προσήκοντας αὐτῇ ἐφιλοφρονεῖτο, ὑπὸ ἔρωτος ὡς μάλιστα
φερόμενος. καὶ τούτῳ φασὶ πειθόμενον διαχρήσασθαι τοὺς P.214
Ἕλληνας. V.167

Περὶ μὲν τοὺς τοῦ Βυζαντίου Ἕλληνας τοσαῦτα ἐγένετο, δοκεῖ δὲ ἡ ξυμφορὰ αὕτη μεγίστη τῶν κατὰ τὴν οἰκουμένην γενομένων ὑπερβαλέσθαι τῷ πάθει, καὶ τῇ τῶν Ἰλίου παραπλησίαν γεγονέναι, δίκην γενέσθαι τοῦ Ἰλίου ὑπὸ τῶν βαρβάρων τοῖς Ἕλλησι πασσυδὶ ἀπολουμένοις, καὶ οὕτω τοὺς Ῥωμαίους οἴεσθαι ξυμβῆναι, τὴν τίσιν ἀφῖχθαι τοῖς Ἕλλησι τῆς πάλαι ποτὲ γενομένης Ἰλίου ξυμφορᾶς.

Ταῦτα μὲν οὖν ἐς τοσοῦτον ἐγένετο· Χαλίλην δὲ ἐν-

filii timentes mortem, precibus fatigabant patrem ut interfectoribus opes universas quas in Italia haberet pernumeraret, ne ipsi perimerentur. verum pater liberorum preces aversatus iussit ut forti animo ad imminentem mortem irent. hi quidem primo interfecti sunt. postea se necandum et ipse interfectoribus praebuit. his ita peractis, nec reliquis Graecis pepercit rex, verum omnes, quotquot liberati aderant Byzantii, ad supplicium extremum rapi iussit. hi quidem pecorum modo percussi, nulla eorum ratione habita, periere. regem autem in Graecorum caedem concitavit advena quidam, cuius filiam ardentissimo amore prosequebatur rex; et congressus cum ea, amore amens, propinquis mulieris, quaecunque petiissent, gratificabatur. huius itaque patri obtemperans rex Graecos mactari iussit.

Apparet Byzantii exitium miserabile superasse omnia, quae per universum orbem contigisse scimus excidia. nec dissimile est Ilii excidio. ultionem Ilii diruti Byzantii calamitatem quidam credunt, Graecis barbarorum vi pereuntibus. Romani quidem constanter asseverant ultionem apprehendisse Graecos propter ea quae barbaris fecerunt in Ilii destructione.

Haec quidem hactenus. rex Chatitem Priami filium comprehendi

ταῦθα τὸν Μπραΐμεω παῖδα, τὸν τοῦ οἴκου αὐτῷ ἡγεμόνα, συλλαμβάνει, βουληθεὶς μὲν καὶ πρότερον ἀπολέσαι αὐτόν, B καταστάντων δὲ οὐκέτι αὐτῷ τῶν πραγμάτων βεβαίως δεδοικὼς οὐκ ἐποιεῖτο τὴν σύλληψιν. καὶ αὐτὸν μὲν ἐν πέδαις ἔχων ἀπέπεμψεν ἐπὶ ἁμάξης ἐπὶ Ἀδριανούπολιν καθεῖρξαι, καὶ οὐ πολλῷ ὕστερον τήν τε οὐσίαν ἀφείλετο, χρυσόν τε καὶ ἄργυρον, ὅσος ἐνῆν αὐτῷ, ἰσχυρότατα δὲ χρημάτων κτῆσιν ποιησάμενον τοῦτον τὸν ἄνδρα, καὶ μέγα ὄλβιον ἐν τῷ τῶν βασιλέων τῶνδε οἴκῳ συμπάντων γενομένων. ταῦτα δὲ ἐγένετο ἐπικρατοῦντος τότε καὶ τὸ κράτος ἔχοντος παρὰ βασιλεῖ Ζαγάνου τοῦ κηδεστοῦ βασιλέως, οὗ τὴν θυγατέρα ἐγγυημένην Μαχουμέτῃ τῷ Μιχαήλου παιδί, ὡς ὀψόμενος ᾔει παρ' αὐτὸν ἅμα τῷ βασιλεῖ, καὶ ἐρασθεὶς ὡς ἐθεάσατο τὴν γυναῖ- C κα, ἠγάγετο μὲν αὐτὸς ταύτην, τὴν δὲ ἑτέραν ἐγγυήσατο αὐτῷ Μαχουμέτῃ ὁ Ζάγανος. τὸν μὲν οὖν Χαλίλην εὐθὺς τότε κατεχρήσατο, καὶ τοὺς θεράποντας αὐτοῦ Ἰαγούπην καὶ Μεχμέτην, καὶ συλλαβὼν τὰ χρήματα ἀφείλετο ὑπὲρ τὰς ιβ' μυριάδας χρυσοῦ. ἐνταῦθα μὲν ὥρμηντο τῶν θεραπόντων αὐτοῦ οἱ πλεῖστοι μελανοφορεῖν καὶ τῶν ἐπιτηδείων, ἅτε ἀνδρὸς ἀρίστου γενομένου. καὶ ὡς τοῦτο ἀνήχθη ἐς βασιλέα, κήρυγμα ἐποιεῖτο, ὃς ἂν ἐσθῆτα μέλαιναν φοροίη, ἐς τὴν ὑστεραίαν παρεῖναι ἐς τὰς βασιλέως θύρας. καὶ οὐδεὶς ἐφάνη οὕτως ἔχων ἀνὰ τὴν πόλιν. ἀνεδήλου μὲν τῷ ἀνδρὶ τῷδε καὶ

7. δὴ? 12. εἴη P

iubet, cum iam antea eum interficere animo destinasset. verum cum res suae necdum satis firmae forent, metu inhibitus eum non cepit. cum eum comprehendisset, vinctum currui imposuit et Adrianopolim vehi iussit, ut ibi in vinculis asservaretur. nec multo post bonis omnibus, auro et argento, quantum possidebat, eum exuit. nam vir ille opibus cumulandis admodum inhiaverat, divitiisque omnes, quotquot in regia erant, longe antecedebat. haec contigere, cum plurimum polleret apud regem Zaganus regius affinis; cuius filiam desponsam Machumeti Michaelis filio, cum iret una cum rege visum, amore perculsus, ut eam vidit, uxorem duxit. alteram vero Mechmeti despondit Zaganus. et quidem tum statim Chatitem necavit, ministrosque eius captos Iagupem et Mechmetem spoliavit opibus. aureorum autem erant duodecim myriades. ministri Chatitis, quorum complures erant, pullati obambulare volebant, ut lugerent eum, quasi vir bonus fuisset. verum ubi rex id comperit, continuo per praeconem edici iubet "si quis in crastinum diem atro amictu usus fuerit, is continuo in ianuas regis accedat." caeterum nullus contra edictum regis pullàtus apparuit. rex iam antea indicia haud obscura prae-

πρότερον βασιλεὺς ὡς ἄχθοιτο μὲν αὐτῷ ἐπιεικῶς πάνυ δυσμενεῖ περὶ ἑαυτὸν φανέντι, καὶ ἡ φήμη οὕτως εἶχε, θειοτέρα οὖσα ὡς τὰ πολλά. καί ποτε ἀλώπεκος δεδεμένης ἐν ταῖς D βασιλέως θύραις αὐτὸς βασιλεὺς ἤρετο "ὦ ταλαίπωρε, τί οὐ χρήμασι διεπράξω παρὰ Χαλίλῃ τῷ ἡμετέρῳ πρυτάνει διαφυγεῖν, ἀλλ' οὕτω κακῶς πράττεις;" ἔθραξε μέντοι καὶ αὐτὸν Χαλίλην ἡ φήμη, καὶ ὥρμητο ὡς εἰς τὸν Μεχμέτεω τάφον πορείαν ἔκδημον ποιησόμενος, ὥστε ἀνεῖναι τοῦ θυμοῦ τὸν βασιλέα αὐτόν. ἀλλ' ἐξηπάτει αὐτὸν χρήμασι θεραπεύων, καί ποτε ὡς εἶδε τεταραγμένον τῇ φήμῃ, χρήματα ἐπιπέμψας ἐκέλευε θαρρεῖν καὶ μὴ πείθεσθαι τοῖς χαλεπόν τι ὑποτιθεμένοις αὐτῷ, ἥδεσθαί τε ἐκέλευε. καὶ οὕτω ἐξαπατώμενος ἔπεμπε λέγων τῷ βασιλεῖ "ὦ βασιλεῦ, καὶ ἀχθεσθῆναι ἡμᾶς P. 215 καὶ ἥδεσθαι ἐπὶ σοί ἐστιν. ἢν οὖν κελεύῃς ἄχθεσθαι ἡμᾶς, ἀνάγκη οὕτω ἔχειν ἡμᾶς· εἰ δὲ καὶ αὖ ἥδεσθαι ἐπιτάττεις, καθησόμεθα πάνυ θαρροῦντες.

Οὗτος μὲν οὖν οὕτως ἐτελεύτησεν· βασιλεὺς δὲ εἶ εἵπετο μετὰ τὴν Βυζαντίου αἵρεσιν τῇ ἀμφ' αὐτὸν δόξῃ, ἐπιὼν ἁπανταχῇ μέγα ἂν κατεργάζετο, ἑαυτῷ χώραν προσανακτώμενος. μετὰ δὲ τὴν Βυζαντίου αἵρεσιν σπονδὰς μὲν ἐποιεῖτο τοῖς βασιλέως Βυζαντίου ἀδελφοῖς. θαυμάζω δὲ εἰ μὴ τοὺς χρησμοὺς τῆς Σιβύλλης οὐκ οἴονταί τινες ἀληθεῖς γεγονέναι,

buerat se virum istum odisse. idem loquebatur fama, quae plerumque divinatio esse consuevit. cum quondam vulpes ligata esset in ianuis, rex dixisse fertur "o misera, quare non opibus Chatitem nostrum praefectum corrupisti, ut effugeres, verum adeo miserabiliter hic agis?" fama nonnihil et Chatitem perterruit. profectus est ergo peregre, ut Mechmetis sepulcrum viseret, sperans fore ut interim regis furor frangeretur. rex autem astu virum circumvenit, haud cessans eum opibus colere. quondam cum rex cerneret Chatitem fama vulgi perturbatum, pecuniam ei misit multam, dicens "bono sis animo, nec facile audias illos qui nescio quae horrenda tibi augurantur. fac bono animo sis." Chatites in hunc modum deceptus nuntium ad regem misit, dicens "o rex, in te situm est ut doleamus et gaudeamus. si igitur dolere iubes, necessitas urget ut id faciamus: sin gaudium imperaveris, gaudio maxime indulgendum est, ac laeto nos animo esse oportet."

Verum Chatites, quemadmodum exposuimus, mortuus est. rex capto Byzantio, gloria insolescens et superbiens, ubique magna efficiebat et regnum suum usque promovebat, plurimis regionibus in dicionem acceptis. miror autem si qui fuerint, qui Sibyllinis oraculis fidem non habuerint, cum Byzantinae regionis regum catalogus ab

ὁπότε τὴν ἐν Βυζαντίῳ χώραν τὴν τῶν βασιλέων γραφήν, B ὑπὸ Λέοντος τοῦ σοφοῦ, ὥς φασί, βασιλέως, ἐς τοῦτον τὸν βασιλέα ἐτελεύτα ἡ γραφή, καὶ ἐς τὸν ἀρχιερέα τὸν ἐν Φλωρεντίᾳ τῇ Τυρρηνῶν τελευτήσαντα. τὸν γὰρ δὴ Κωνσταντῖ- V.168 νον βασιλέα, ἅτε ἀπολλύμενον ὑπὸ τῶν βαρβάρων καὶ οὐ τελευτῶντα ἐν τῇ βασιλείᾳ, οὔτε τὸν Γρηγόριον τὸν ἐπὶ Ἰταλίας οἰχόμενον ἐχώρει ὁ πίναξ ἐκεῖνος. χῶροι δὲ ἐνετέτμηντο ἐν τῷ βιβλίῳ τῶν καθ' ἑαυτὸν βασιλέων ἐς τὴν τελευτὴν τοῦδε τοῦ βασιλέως καὶ τοῦ ἀρχιερέως αὖ, εἴτε πλειόνων εἴτε δὴ καὶ ἐλαττόνων, ὅσοι ἐχώρησαν ἐπὶ τὴν ἀρχιερωσύνην τῆς πόλεως. λέγεται μὲν καὶ πολλὰ τοῦ βασιλέως τοῦδε ἔργα θαύματος ἄξια, ἅτε δὴ ἀστέρων καὶ ψυχῶν ἐμπείρου γενομέ- C νου καὶ ὡμιληκότος τῇ ἐκείνων δυνάμει, δύο δὲ καὶ τρία, ὧν ἄξιον ἐπιμνησθῆναι.

Μέτειμι δὲ ἐφ' οὗ ᾔα λέξων ἐφεξῆς λόγου, ὡς οἱ ἀπὸ Πελοποννήσου ἡγεμόνες ὥρμηντο μὲν φεύγειν ἐπὶ Ἰταλίας, καὶ Ἑλλήνων ὅσοι ἐνῴκουν τὴν νῆσον οἱ ἐπιφανέστεροι, ὡς δὲ σφίσι σπονδὰς ὁ βασιλεὺς ἐποιήσατο, οὐκέτι διενοοῦντο ἀπιέναι, ἀλλ' ἐμμένοντες περιέπεσον ξυμφορᾷ οὐ σμικρᾷ τινὶ οὐδὲ ἐπιτυχούσῃ. ὡς γὰρ ἑώρων αὐτοὺς οἱ Ἀλβανοὶ παρασκευαζομένους ἀπαίρειν, οὐκέτι ἤθελον πείθεσθαι, ἀλλὰ συνίσταντο μὲν πρὸς ἀλλήλους καὶ συνώμνυντο ὡς ἐπιθησόμενοι τῇ Πελοποννήσῳ. ἔπραττον δὲ ταῦτα ἐνάγοντος Πέτρου τοῦ

8. μεθ'?

Leone, ut aiunt, sapiente rege conscriptus in hunc regem et in patriarcham Florentiae Tyrrhenorum mortuum exeat. nam nec Constantinum regem, ut qui a barbaris esset peremptus nec in regiâ defunctus, nec Gregorium in Italiam abeuntem tabula illa accipiebat. loca autem regum in ista tabula, qui suo tempore fuerunt, necnon patriarcharum, sive paucorum sive complurium, qui ad urbis eius patriarchatum pervenere, intercisa sunt usque ad istum regem et ad istum patriarcham. extant et alia regis huius opera memorabilia, ut qui physices et astronomiae fuerit peritissimus, earumque potentias exacte tenuerit. sunt autem duo aut tria, quorum ut recordemur operae pretium est. verum in sequentibus memorabuntur.

Cum Peloponnesiaci duces pararent fugere in Italiam, adhibitis et Graecorum clarissimis, rex Mechmetes cum iis foedera sanxit. quo facto coeptam fugam omisere. manentes itaque in grandem provoluti sunt calamitatem. nam Albani cum cernerent eos paratos ad fugam naves abs terra moliri et solvere, dicto amplius audientes esse recusabant; et inter sese conspirant, quasi Peloponnesum suae dicionis facturi. eius consilii auctor et instigator erat Petrus Claudus, vir

χωλοῦ, ἀνδρὸς τὸν τρόπον οὐκ ἀγαθοῦ, δεξιοῦ δὲ ἄλλως καὶ καθηγουμένου τοῖς Ἀλβανοῖς τὴν ἐσήγησιν ταύτης τῆς ἀπο- D
στάσεως. ἐνῆγε δὲ ἐπικείμενος ὥστε ἀφίστασθαι ἀπὸ Ἑλλήνων καὶ σφίσιν ἡγεμόνα ἑλέσθαι ὃν ἂν αὐτοὶ ἕλωνται. καὶ ὥρμηντο μὲν ὡς ξυμβήσοντες τοῖς ἡγεμόσι, μετὰ δὲ διεκωλύθησαν. καὶ ἐπεκαλοῦντο μὲν καὶ Ἑλλήνων ἄλλων ἐς τὴν ἐσήγησιν ταύτην, ἐπιστάτην ἀξιοῦντες γενέσθαι· τελευτῶντες δὲ ἐστήσαντο Ἐμμανουῆλον τοῦ Καντακουζηναίων γένους ἡγεμόνα τε σφίσι, καὶ τὰ τῶν Ἑλλήνων ἦγον καὶ ἔφερον, καὶ ὑποζύγια μὲν καὶ ζῶα ὅσα εἶχον οἱ Ἕλληνες, ἐληίζοντο στρατευόμενοι. εἰσὶ τὸ γένος τοῦτο νομάδες ἅπαντες, καὶ οὐδαμῇ σφίσι χρονίαν τὴν διατριβὴν ποιούμενοι. ταύτῃ δὴ ὁρμώμενοι τῶν P. 216
πόλεών τε ἑστίας ὑπηγάγοντο, καὶ ἐπελαύνοντες τὰς μὲν ἐπολιόρκουν τὰς δὲ καὶ ἐδῄουν. καὶ τούς τε Ἕλληνας ἐν ἀνδραπόδων λόγῳ ποιούμενοι, ἔπρασσον ἐς τὰς θύρας τοῦ βασιλέως ἐπιτραπῆναι σφίσι τὴν Πελοπόννησον, καὶ ἐπηγγέλλοντο καὶ στρατὸν καὶ πόλεις αὐτοῦ ἐν τῇ Πελοποννήσῳ, καὶ φόρον ἐπέτειον πολὺν ἀπάγειν τῷ βασιλεῖ. καὶ ξυνεβάλλοντο δὴ αὐτοῖς καὶ Κεντηρίων Ζαχαρίας, ὁ τῆς γυναικὸς ἀδελφὸς τοῦ βασιλέως ἀδελφοῦ, καὶ Λουκάνης. οὓς καθείρξας εἰς πόλιν καλουμένην Χλουμετίην ἐν τῇ ἀκροπόλει εἰς φυλακὴν ἐποιεῖτο καὶ ἐν πέδαις συνετήρει. τὸν γὰρ τῆς πόλεως ἄρχοντα πεί-

13. ἑστίας] ἔστιν ἃς?

improbus et parum dextris moribus praeditus. is non intermittebat ad defectionem impellere Albanos. instabat usque ut a Graecis desciscerent, sibique quem elegissent principem crearent. primo quidem Albani rem audiebant, quasi qui vellent suis principibus obtemperare: postea vero animos mutarunt, cum etiam alii quidam Graeci ad eandem rem capessendam Albanos incitarent ducemque creari vellent. tandem Emanuelem natum ex genere Cantacuzenorum ducem constituunt, resque Graecorum agunt feruntque; et bellum occipientes, iumenta pecoraque quae Graeci habebant diripere haud abstiterunt. Albani autem omnes pastores sunt, et nullibi certis sedibus morantur. hinc itaque profecti urbium domos occupabant; et accurrentes quasdam obsidebant, quasdam expugnatas diripiebant. cum Graecos mancipiorum loco ducerent et planissime contemnerent, scripserunt ad ianuas regis, promittentes urbes et exercitus Peloponnesiacos in regis potestate fore, si ipsis Peloponnesum tradidisset. pollicebantur se quotannis tributum magnum regi pensuros. Albanos adiutabant Centerion Zacharias, frater mulieris eius quam duxerat regis frater, et Lucanes. hos adductos in urbem Chlumetiam in carcerem, qui in arce erat, vinctos coniecit. Albani civitatis praefectum

B σαντες συναφεστάναι τε σφίσι καὶ ἀγαγέσθαι τοῦ Κεντηρίω-
νος θυγατέρα, ἀπέστη τε, καὶ τούς τε ἄνδρας ἠλευθέρου, καὶ
ἐπολέμουν τοῖς Ἕλλησι. καὶ ηὔξετο μὲν τοῖς Ἀλβανοῖς τὰ
πράγματα, καὶ ἐς μέγα ἐχώρει. τὸν μὲν οὖν Κεντηρίωνα
Θωμᾶς ὁ βασιλέως ἀδελφὸς ὧδε αἰτιασάμενος συνέλαβεν, ὅτε
Ἀμουράτης ὁ Μεχμέτεω τὸν Ἰσθμὸν καθελὼν ἤλαυνεν ἐντὸς
Πελοποννήσου εὐθὺ Ἀχαΐας. ὥρμηντο δὲ αὐτός τε ἅμα καὶ
Μπόχαλις ὁ Λεοντάρης ἄρχων ἀφίστασθαι. καὶ ὁ μὲν
Μπόχαλις ἀπέστη ἐκ τοῦ φανεροῦ καὶ ἐπολέμει, καὶ συμβα-
λὼν στρατηγῷ Ῥαοὺλ τοῦ ἡγεμόνος ἑάλω καὶ ἐξεκόπη τὼ
C ὀφθαλμὼ τοῦ ἡγεμόνος. τούτους μὲν οὕτω αἰτιασάμενος, ἐπε-
V. 169 λαύνοντος Ἀμουράτεω, Λουκάνην δὲ καὶ νεωτερίζοντά τε περὶ
τὰ αὐτοῦ πράγματα καὶ ξυνιστάμενον τοῖς τῶν Ἑλλήνων καινο-
τομεῖν βουλομένοις συνέλαβέ τε καὶ καθείρξας εἶχεν ἐν τῇ ἀκρο-
πόλει. ἐνῆγε μὲν οὗτος καὶ πρότερον ἐπὶ ξυνωμοσίᾳ, δύναμιν
ἀξιόχρεω περιποιούμενος, τούς τε Ἑλλήνων περιφανεῖς καὶ
μετὰ ταῦτα Ἀλβανῶν τοὺς δυνατωτάτους. τοῦτον δὴ γέ-
νους ὄντα οὐ φλαύρου, πρὸς δὲ μάλιστα ἀφανοῦς Θεόδω-
ρος ὁ νεώτερος τῆς Σπάρτης ἡγεμών, φύσεως εὖ ἔχειν δοκοῦν-
τα καὶ ἐς τὰ ἄλλα οὐκ ἀξύνετον, ἐς τοὺς παρ᾽ ἑαυτῷ πρω-
τεύοντας ταξάμενος χρήμασί τε ἐθεράπευσεν. ὁρμώμενος δὲ
D ἀπὸ ταύτης τῆς τοῦ ἡγεμόνος εὐεργεσίας, ἐρίζων πρὸς τοὺς
τῶν Ἑλλήνων ἐπιφανεῖς, ἔπρασσε τὰ Πελοποννησίων πρὸς τὸν

promissis accendentes, persuaserunt ut in ipsorum partes abiret et deficeret, Centerionisque filiam duceret, virosque captos vinculis eximeret. et propalam bellum cum Graecis gerebant. Centerionem quidem regis frater Thomas ideo in vincula duci iusserat, quod cum Amurates Mechmetis Isthmum destrueret, ipse recta ex Peloponneso in Achaiam se recepisset. ad defectionem inclinabat ipse, necnon Bochales Leontares princeps. et quidem Bochales aperte defecit et propalam bellum gerebat; et conserens manus cum Raule principis duce captus est, captoque oculi eruti sunt. hos quidem in hunc modum accusatos in carcerem coniecit, Centerionem videlicet, quod deseruisset Peloponnesum Amurate Isthmum diruente, Lucanem autem, quod res novas moliretur et conspirationem faceret cum his Graecis qui Peloponnesi statum, novarum rerum cupidi, conturbarent. concitaverat vir iste iam antea ad coniurationem faciendam Graecos insigniores, necnon Albanos potentissimos, adeo ut iam vires coniurationis essent haud poenitendae. hunc, cum esset ortus genere non malo, sed maxime obscuro, cum videretur optima esse indole praeditus et caetera non imprudens, Theodorus iunior Spartae princeps in eorum album rettulit qui primi apud ipsum habebantur, opibus-

ἡγεμόνα δημαγωγῶν. ἐτράπετο δὲ ἐπὶ τούτους ὡς διενεχθέντας μὲν τῇ γνώμῃ πρὸς τοὺς Βυζαντίου Ἕλληνας, καὶ δεδιότας περὶ σφίσι τε αὐτοῖς καὶ τῇ χώρᾳ καὶ Τούρκους, ὡς ἢν ἐπικρατήσωσι τῶν ἐν Πελοποννήσῳ πραγμάτων, οὐκ ἐπιτρέψουσι σφίσι τῇ παρούσῃ ἐμμένειν εὐδαιμονίᾳ. καὶ ἐδόκει μὲν τὸ μέγα δύνασθαι αὐτίκα παρ' ὅτῳ συσταθείη τῶν ἡγεμόνων, ὑγιὲς δὲ αὐτοῦ οὐδὲν ἔτι ἦν ἐν τοῖς πράγμασι. τούτων μὲν οὖν τῶν ἀνδρῶν αὕτη ἡ ἀπαλλαγὴ ἐγένετο ἀπὸ τῆς εἱρκτῆς· στρατὸν δὲ ἐπάγοντες τῇ τε Κλίνῃ αἴσχιστα ἀπηλλάττοντο P. 217 ἡττηθέντες, καὶ ἐς Πάτρας τῆς Ἀχαΐας στρατευσάμενοι καὶ ἐς τὸν ἡγεμόνα τὸν νεώτερον κακῶς ἔπραξαν, πολλοὺς ἀποβαλόντες τῶν σφετέρων ἐνταῦθα.

Καὶ ἐδόκει μὲν οὖν ὡς τὰ Πελοποννήσου πράγματα χωρῆσαι ἐπὶ τοὺς Ἀλβανούς, εἰ μὴ διαπραξαμένου τοῦ Ἀσάνεω ἐν ταῖς βασιλέως θύραις ὥστε στρατὸν σφίσιν ἐπιδοθῆναι, στρατόν τε ἐπηγάγοντο τοῦ βασιλέως, ἡγουμένου τοῦ Τουραχάνεω, ὃς ἀφικόμενος σὺν τῷ στρατῷ ἐπὶ τὴν Πελοπόννησον, καὶ συγγενόμενος τοῖς ἡγεμόσιν ἐφ' ᾧ βουλεύσασθαι ὅπως B ποιήσωνται τὸν πόλεμον, πρὸς αὐτοὺς ἔλεγε τοιάδε. "ὦ βασιλέως Ἑλλήνων παῖδες, ἀνάγκη μέντοι καὶ ὑμῶν τινὰ αὐτοῦ παρεῖναι ἐς τὸν πόλεμον. καὶ γὰρ ἂν ὁρῶντες ὑμᾶς οἱ πολέμιοι θᾶττον ἂν προσχωροῖεν, ἰδόντες οὐδέν τι σφίσιν ἀνή-

1. διενεχθέντα P   2. δεδοιότα P

que eum colere haud cessavit. ab hac igitur principis munificentia progressus Graecos illustres in seditionem praecipitavit, et Peloponnesi res in ipsum captando auram popularem convertit. simulabat autem se dissidere a sententia Graecorum Byzantiorum, et timere plurimum ipsis regionique. dicebat se et leges timere. nam si obtinuissent Peloponnesi res, fore ut deiicerentur ex praesenti rerum felicitate, et plurimum momenti in eo situm putabat ut cum aliquo, quocunque tandem, conspirasset principe. res autem Peloponnesiacae nihil sani prae se ferebant. exercitum itaque ducentes contra Clinam, recedebant victi admodum turpiter. deinde expeditionem sumebant adversus Patras Achaiae et ducem iuniorem. necnon in hac expeditione adversis fortunae procellis iactati sunt, plurimis de suis amissis.

Et profecto parum abfuerat quin res Peloponnesi translatae essent ad Albanos, ni Asanes profectus in ianuas regis ab eo exercitum impetrasset. advenit autem regius exercitus, cui praeerat Turachanes. hic ut venit cum exercitu in Peloponnesum, collocutus est cum principibus, ut consultarent quomodo bellum administrandum esset, et huiuscemodi orationem exorsus est. "o Graecorum regis filii, oportet quidem vestrum quosdam hic adesse in bello. nam ubi vos viderint hostes, citius ad vos pergent, scientes se nihil mali a vobis

κεστον ἐσόμενον ὑφ' ὑμῶν. ἡμῶν δὲ διαφόρων τε ὄντων, καὶ δεδιότες, οὐκ ἂν πάνυ τι ῥᾳδίως ἐθέλοιεν προσχωρεῖν οἷα δειμαίνοντες, καὶ οὕτω ῥᾳδίως ἂν κατορθοῖτε ὑμῖν τὰ πράγματα ἐς τὸ παρόν. τόδε μέντοι παραινῶ ὑμῖν, ὡς μηκέτι τοῦ λοιποῦ διαίτῃ διαχρῆσθαι τῇ αὐτῇ ἐς τοὺς ὑπηκόους C ὑμῶν, ἀλλὰ τοὺς ἀγαθοὺς μέντοι ἀμείβεσθαι κατὰ τὸ δυνατόν, τοὺς δὲ κακοὺς τιμωρεῖσθαι κατὰ δύναμιν, ὡς σὺν τοῖς ἀγαθοῖς, εὖ ἴστε, εὐπετῶς δυνήσεσθε κολάζειν τοὺς φαύλους. καὶ μηδὲ ἀνὰ . . . . . ἐπιτρέποντας τὸ πᾶν ἐθέλητε συγχωρεῖν, τί ἂν αὐτόματον ἀποβαίη; δῆλα γὰρ ὡς τοῦ κακοῦ ἐς τὴν βελτίονα μοῖραν ἱδρυμένου, καὶ ταύτῃ ῥᾳδίως ἂν τρέποιντο ἅπαντες κακοὶ περὶ ὑμᾶς γενόμενοι, καὶ οὕτω ἐπιτριβόμενοι κάκιστα ἂν ἀπόλοισθε. χρὴ δὲ καὶ ἐκ τῶν παρῳχημένων τεκμαίρεσθαι τὸ μέλλον ἔσεσθαι ὑμῖν ἐπιτήδειον. ὑμῖν γὰρ οὕτως ἔχουσι, καὶ θεραπεύουσι τοὺς μὴ ὑγιῶς ὑμῖν δια- D κειμένους, εἰς τοὐναντίον ἕκαστα περιέστη· καὶ εἰ μὴ ὁ βα- V. 170 σιλεὺς νῦν εὖ ποιῶν ὑμᾶς τὴν χώραν αὖθις ἀποδώσοι γε, εὖ οἶδ' ὅτι οἴχοιτ' ἂν ὑμῖν τὰ πράγματα διαφθειρόμενα. ὡς οὖν ταύτῃ οὐ ἐπιτηδείως πολιτευομένων, δέοι ἂν ὑμᾶς ἐπὶ τὴν ἐναντίαν τραπέσθαι. κἀκεῖνο δὲ αὖ παραινῶ ὑμῖν, μὴ

2. δεδοιότας P

passuros. nos enim, qui hostes eorum sumus, ubi conspicati fuerint, accedere ad nos recusabunt formidine occupati. huic meo consilio si parueritis, rebus in praesentia ex animi sententia utemini. hoc autem diligenter moneo, et hortor etiam ne deinceps vestros subditos quemadmodum hactenus tractare velitis. verum bonis benefacere ne cessaveritis, malos vero poenis subdere ne omiseritis, et utrinque maxima cura et indefesso studio hoc agite. nam si boni vos adiuverint (iuvabunt autem, si beneficia vestra senserint), haud difficile erit punire malos. si igitur malis haud permiseritis quicquam impune facere, quid inopinati vobis poterit contingere? manifestum enim est, si improbi in bonorum ordinem redacti fuerint, facile omnes eo convertentur qui improbi in vos fuerint. et in hunc modum oppressi et imminuti pessime peribitis. oportet autem a praeteritis coniecturam facere, ut id quod in praesentia utile sit statuatur. verum vestri erga vos sic sunt adfecti, ut amore complectantur eos qui vos oderunt, et contrarium semper sequantur. et ni rex vestram vicem dolens vobis subsidio veniret, et regionem propemodum amissam redderet, bene scio de vobis rebusque vestris actum esset. cum igitur rerum experientia doceat vos haud recte hactenus rem publicam et principatum administrasse, videtur necessitas monere, imo postulare, ut porro aliter subditos imperio temperare in animum inducatis. et illud iterum sedulus moneo, ne sinere velitis, dum domi

οἴκοι διατρίβοντας ἐᾶν ὑμῖν φέρεσθαι τὰ πράγματα ὅποι χωροίη ὑμῖν, ἀλλ' ἐπιόντας αὐτούς, ἤν τινα αἰσθάνησθε, τιμωρεῖσθαι αὐτίκα, μηδὲν μαλακὸν ἐνδιδόντας. δύο γὰρ ταῦτα καὶ Τούρκους ἐποίησε μέγα δύνασθαι, σπουδῇ τε ἅμα τὸ πα- P. 218 ρεῖναι ἁπανταχῇ καταλαμβάνοντας ὅτου ἂν δέοιντο, καὶ τοὺς ἀγαθοὺς ἀμείβεσθαι ἐς τὰ μάλιστα. καὶ ἤν τι ἐς τὸ παρὸν μὴ ἐπιτρέπῃ τιμωρεῖσθαι τοὺς φαύλους, εἴκειν μὲν συγχωροῦντας ὅτου ἂν δέοι, αὐτίκα δέ, ἐπειδὰν κατασταίη τὰ πράγματα, μηκέτι ἐπιτρέπειν αὐτῷ κακῷ ὄντι ἐξυβρίζειν, ἀλλ' εὐθὺ ἐπιόντα ἀμύνεσθαι."

Ταῦτά τε ἔλεγε, καὶ ἐπὶ τοὺς Ἀλβανοὺς παρεκάλει τὸν ὕστερον αὐτῷ ἕπεσθαι. καὶ πρῶτα μὲν Δημήτριος ἐλαύνων ἅμα τοῖς Τούρκοις ἐπὶ Βορβοτίαν χώραν ἐρυμνήν, ἐς ἣν καταθέμενοι παῖδάς τε καὶ γυναῖκας οἱ Ἀλβανοὶ ἐπὶ τῷ στόματι B τεῖχός τε ἐπῳκοδόμησαν καὶ πυργίον, ἐνταῦθα ἀφικόμενοι ἐπολιόρκουν ἅμα ἄμφω τὼ ἡγεμόνε, καὶ Ἕλληνές τε ἅμα καὶ Τοῦρκοι προσέβαλλον ὑπορύσσοντες καὶ ἐπειρῶντο ἑλεῖν. ἡ μέντοι νὺξ ἐπιγενομένη διεκώλυσεν αὐτοὺς οὕτω ἑλεῖν. ὑπὸ δὲ τὴν νύκτα διὰ φάραγγος, ἐς ἣν καθήκει τὸ ὄρος, ὥρμηντο ἐς φυγήν. οἱ μὲν οὖν Τοῦρκοι αἰσθόμενοι ὡρμημένους ἐς φυγήν, αὐτίκα ἐπεισπεσόντες ἠνδραποδίσαντο ἄνδρας τε καὶ γυναῖκας ἀμφὶ τοὺς μυρίους γενομένους. μετὰ δὲ ταῦτα ἐξ-

8. δὴ P

agitis, res vestras seditione dissipari: sed infestis animis ite contra eos qui seditiones excitare nituntur, neque quicquam his ita delinquentibus mollius remiseritis. duo enim illa Turcos ad maximam evexere potentiam, videlicet diligenter malos conquirere ubicunque necessitas exegisset, et meritis subdere poenis; deinde in bonos non cessare conferre beneficia. et si quando instantia prohibuissent sontes poenis ferire, dare veniam peccantibus haud cunctabantur. verum ubi iam omnia essent in tuto, nec quicquam periculi immineret, poenas iis qui sic commeruerant infligebant, nec eos iniuriis certare sinebant, verum iniuriarum ultionem constanter expetebant."

His dictis, postremo eos hortabatur ut se sequerentur in Albanos. et primo quidem Demetrius adiunctis Turcis proficiscebatur contra Borbotanem regionem munitam, in quam Albani custodiae causa liberos et uxores deposuerant, in aditu murum et turrim exaedificantes. eo cum venissent ambo duces, locum obsidione premere occipiunt. Graeci Turcique pariter murum subruentes vi in eam regionem irruebant, si quo modo eam occupare possent. at nox superveniens impedimento fuit quo minus is locus in ditionem hostium veniret. instante autem nocte per vallem, in quam mons desinit, fuga dilabuntur Albani. verum Turci, ubi allatum est hostes fugam

C ἐλαύνοντες ἀφίκοντο ἐς τὴν Ἰθώμην, ἐναλλὰξ ἑπομένου τοῦ Θωμᾶ νεωτέρου ἀδελφοῦ τῷ στρατῷ, καὶ ἐπὶ πολίχνην Ἀετὸν καλουμένην, προσχωρήσασαν Κεντηρίωνι ὀλίγῳ πρόσθεν. καὶ παρεστήσαντο μέντοι τὴν πόλιν, ἐφ' ᾧ χίλια ἀνδράποδα τῷ στρατεύματι καὶ τὰ ὅπλα καὶ ὑποζύγια παραδιδόναι. προσεχώρησαν μὲν οὖν αὐτίκα καὶ οἱ λοιποὶ τῶν Ἀλβανῶν τοῖς ἡγεμόσι, διαπρεσβευόμενοι ἐφ' ᾧ ἔχειν αὐτοὺς ἅττα δὴ ὑπηγάγοντο, καὶ ἵππους καὶ ὑποζύγια ὅσα ἐληίσαντο μὴ ἀποδιδόναι. ξυνέβησαν μὲν ἐπὶ τούτοις τῷ ἡγεμόνι αὐτοῦ ἕκαστος.

Τουραχάνης μὲν ἐβούλετο ἀσθενῆ ποιεῖν τὰ τῶν Ἀλβα-
D νῶν πράγματα, ὥστε τοῦ λοιποῦ χρῆσθαι αὐτοῖς ἐπιτηδείως σφίσιν ἐπὶ τὸ ξυνοίσειν αὐτοῖς δοκοῦν. ἐπεί τε δὴ ἔμελλεν ἀπελαύνειν, ἀφικόμενος αὖθις ἐς λόγους ἀμφοτέροις τοῖς ἡγεμόσιν ἔλεγε τοιάδε. "ὦ βασιλεῖς Ἑλλήνων, ἐμοὶ μὲν καὶ πρότερον τῇδε συγγενομένῳ εἴρηται ἱκανῶς ἐς ὑμᾶς ἃ φρονῶν τυγχάνω περὶ τὰ ὑμέτερα πράγματα. καὶ νῦν δὲ τοσόνδε ἂν λέγοιτο, ὡς ὁμονοοῦσι μὲν πρῶτα ὑμῖν ἔσται ἄφθονα τἀγαθά, διενεχθεῖσι δὲ καὶ δίχα γενομένοις τἀναντία τούτων, ἔπειτα δὲ καὶ μὴ ἐπιτρέπουσι καθ' ἡσυχίαν ἐξυβρίζειν τοὺς ὑπηκόους ἐς ὑμᾶς, ἀλλὰ ἀφειδέστερον κολάζειν, μηδέ-
P. 219 ποτε ἡσυχίαν ἄγειν. ὡς κακοῦ μὲν ἡ ἀρχή, καὶ ἣν φαυλοτάτη οὖσα τυγχάνῃ προσοῦσα, ἐπὶ μέγα χωρεῖ αὐτίκα ὕβρεως,

22. προϊοῦσα?

capessere, continuo signa inferentes cepere viros et mulieres circiter decem milia. his ita gestis exercitum moverunt Ithomam, Thoma fratre iuniore exercitum usque mutatis vicibus subsequente. hinc exercitus ducitur contra urbem Aëtum sive Aquilam dictam, quae non multo ante Centerionis partes secuta fuerat; quam in fidem hac condicione receperunt, ut exercitui mille mancipia, arma et iumenta traderent. postea et caeteri Albani in dicionem venire haud abnuebant, cum mitterent legatos ad duces, qui dicerent Albanos paratos esse imperata facere, si paterentur ipsos habere loca quae subegissent, nec cogerentur equos et iumenta, quae praedando acquisivissent restituere. condiciones hae, quemadmodum duces singuli id significarunt, sunt acceptae, et ex eo singuli suis ducibus reconciliati sunt.

Turachanes autem id quaerebat ut res Albanorum infirmiores efficeret, ut in posterum principes iis uterentur commodioribus. hic vir cum iam adornaret abitum, denuo cum Graecis in colloquium venit, et in hunc modum disseruit. "o reges Graecorum, cum nuper apud vos sermonem haberem, satis, opinor, declaravi quid, quantum attinet ad res vestras, fieri velim. hoc autem nunc adiicere placuit. si concordes fueritis, res vestrae in tranquillo et felice requiescent statu: at si discordes fueritis et dissensiones moveritis, contrarium

καὶ πολλαπλασίων γιγνομένη αὐτὴ ἑαυτῆς οὐκέτι κατασχετὴ V. 171 γίγνεται. ὡς δὲ μὴ ἀγαθά· φίλα γάρ, ἐφ' ὅ τι ἂν τρέποιτό τις κινούμενος, τοῦτο ὡς τὰ πολλὰ αὔξειν καὶ μέγα ἀποδείκνυσθαι, τί ἂν ἐπιτηδεῦον τυγχάνει." ταῦτα εἰπὼν καὶ δεξιωσάμενος τοὺς ἡγεμόνας ἀπήλαυνε.

Καὶ τούτοις μὲν ὡς τοὐναντίον κατέστη ἅπαντα· εἰς γὰρ τὸ θεραπεύειν τετραμμένοι ἑκάτεροι, πρὸς ἀλλήλους τε γνώμῃ τὰ σφέτερα αὐτῶν διενεχθέντες, ἐρίζοντες ἀλλήλοις ἐτύγχανον ὁπότερος ἂν μάλιστα εὖ ποιῶν φαίνοιτο, ὥστε δο- B κεῖν αὐτοὺς χαρίζεσθαι. καί τινες τῶν παρ' αὐτοῖς τὰ πρῶτα φερομένων, ἐναγόντων τε καὶ ἐπὶ ξυνωμοσίαν προκαλουμένων τοὺς ἄλλους, ὥστε ὁμοφρονεῖν οὕτω κωλύειν διενοοῦντο. αὐτοί τε σφίσι κακοδαιμονοῦντες ἐπέτρεπον τὰ πράγματα σφίσιν αὐτοῖς φθείρεσθαι. Λουκάνης τε ὁ Πελοποννήσιος, καί τινας τῶν Βυζαντίου ἐπαγόμενος, συνίστα τε τοὺς Πελοποννησίους τε ἅμα καὶ Ἀλβανοὺς ἐφ' ᾧ σφίσι τε αὐτοῖς ὧν ἔχει ἐπιτηδείους, καλῶς πολιτεύεσθαι. καὶ ὥρμηντο μὲν ἐπὶ Ἀσάνη, μέγα δυνάμενόν τε ἐν Πελοποννήσῳ καὶ Κόρινθον C καὶ μοῖραν οὐκ ἐλαχίστην τῆς Πελοποννήσου ἐπιτροπεύοντα. καὶ οὐ προσίετο μὲν οὗτος, οὐδὲ συγχωρῶν. ἔνθα δὴ οὔτε

2. φιλεῖ? 4. ὅ τι ἂν ἐπιτηδεύων τυγχάνοι? 6. εἰς τοὐναντίον μετέστη? 8. τὰ σφέτερα αὐτῶν post ἑκάτεροι ponendum.

eorum quae in medium adduxi eveniet. in primis operam date ne subditi vestro imperio conviciis vos proscindant, dum alta fruimini pace: verum impensius contumeliarum et iniuriarum auctores punire ne cessaveritis. mali enim principium, quamvis pessimum sit, attamen continuo ad magnas procedit contumelias; quae ubi auctae fuerint, se ipsas haud amplius sustinere possunt. itaque ne quis id bonum censuerit. solet enim id cuius quis amore rapitur, usque crescere et incrementa sumere, quicquid tamen ingruat." haec locutus Peloponnesi ducibus dexteram porrigit; quo facto abiit.

Caeterum longe alia quam hic praeceperat, secuti sunt studia. nam dum uterque ad suos colendos et beneficiis devinciendos esset pronior, usque discordias inter sese foverunt, dum uterque suos maiore indulgentia habere niteretur, quo eos sibi magis fidos pararet. itaque toti ad gratificandum propendebant duces. quidam apud hos viri primarii reliquos ad seditionem et coniurationem instigabant; quod quidem ideo fiebat, ut discordia exoriretur et illorum concordiam inhiberent. interim duces his, quasi malo daemone incitati, res suas miseri corrumpendas commisere. Lucanes Peloponnesiacus adducens quosdam Byzantios, Albanos et Peloponnesios ad conspirationem impulit, ut pro suo arbitrio, non ducum, res publi-

ὃν ἐτάξαντο φόρον ξυμφερομένων, οὔτε τῶν Πελοποννησίων
οὔτε τῶν Ἀλβανῶν, οὐκ εἶχεν ἀπάγειν τῷ βασιλεῖ. ἦν δὲ
αὐτοῖς ὁ ἐπέτειος φόρος μύριοι καὶ δισχίλιοι χρυσίου στα-
τῆρες.

Οἱ μὲν Ἕλληνες οὕτω ἐν οὐδενὶ λόγῳ ὑπὸ σφῶν αὐτῶν
ἐπιτριβόμενοι κατὰ βραχὺ ἀπώλλυντο. τόν τε γὰρ φόρον
αὐτοί τε οἱ Ἀλβανοὶ καὶ οἱ Πελοποννήσιοι οὐκ ἔφασαν ἀπο-
διδόναι, ἂν μή τις αὐτοῖς ἐπιδιελόμενος τὴν χώραν ἐπὶ τοῖς
D ἴσοις τε καὶ ὁμοίοις ξυμβαίη. ἀλλ' ἐχρῆν μὲν ταῦτα τύχην
οὐκ ἀγαθὴν φερόμενα ταῦτ' ἄρα ἰσχὺν σφίσι τὴν τελευτήν,
καὶ οὕτω ἀποβήσεσθαι ἐς τὸ μηδὲν εἶναι γενόμενα.

Βασιλεὺς δὲ ὁ Μεχμέτης τὴν δευτέραν ἔτι μετὰ τὴν
Βυζαντίου αἵρεσιν ἐστρατεύετο ἐπὶ Τριβαλλοὺς καὶ Νοβόπυρ-
γον πόλιν ἐντὸς τοῦ βασιλέως χώρας παρὰ ποταμὸν Μοράβαν
καλούμενον, ὃς καὶ πρότερόν μοι δεδήλωται ῥέων ἀπὸ
τῆς Πριστίνου τῆς βασιλέως χώρας, καὶ ἐκδιδοῖ ἐς τὸν Ἴστρον.
ἐνταῦθα γενόμενος τὰ στρατεύματα μὲν αὐτῷ ξύμπαντα ἐπέ-
P. 220 δραμον τὴν Τριβαλλῶν χώραν, καὶ ἀφιππάσαντο τὴν χώραν
ληισάμενοι, αὐτὸς δὲ ἐπολιόρκει τὴν πόλιν, τηλεβόλοις ὑπτί-
οις βάλλων τὰ ἐντὸς τῆς πόλεως. ἐξεύρητο δὲ τῷ βασιλεῖ
τούτῳ αὕτη ἡ τῶν τηλεβόλων ὑπτίων κατασκευή. καὶ ἐπα-

9. ταῦτα κατὰ τ.? et mox τοιαύτην ἄρα ἴσχειν? 15. ὡς P
18. ἀφιππάσαντα P

cas suas administrarent. hac coniuratione freti pergebant ad Asanem, cuius auctoritas in Peloponneso erat maxima, ut qui Corinthum necnon modicam Peloponnesi partem regebat. hic eos nequaquam admittebat, neque quicquam iis concedebat. exinde cum Albani et Peloponnesiaci tributum, quod imperatum erat, pernumerare abnuerent, nec Asanes id ad regem perferre potuit. tributum autem annuum pendebant duodecim milia aureorum staterum.

Quapropter in hunc modum mutuis discordiis attriti Graeci paulatim peribant. nam propalam iactabant Albani et Peloponnesii se tributum non exoluturos, nisi inter ipsos regio universa aequaliter divisa fuisset. oportebat sane haec, cum parum propitia fieret fortuna, ipsis exitium adferre, et planissime ad nihilum redigere.

Rex quidem Mechmetes secundam capto Byzantio expeditionem contra Triballos et Novopyrgum urbem sumpsit. haec intra regis regionem sita est prope flumen Morabam, qui fluens a Pristino regis regione, et huc veniens in Istrum exhauritur. exercitus regius universus grassabatur per Triballorum regionem universam: equitatus quoque in hanc emissus praedas rerum omnium confertim agebat. ipse autem circumsederat parte copiarum urbem, et supino bombardarum iactu gravissime, quae intra eam erant, adfligebat. bombar-

φύσει μὲν ἄνω ἐς τὸν ἀέρα τὸν λίθον, καταβαίνων δὲ βάλλει ἐς ὅ τι ἂν ἰθύνοι αὐτὸν ὁ τηλεβολιστής, σημεῖον κομιζόμενος, καὶ δαιμονίως τυγχάνει τοῦ σκοποῦ ἐς τὸν μετεωρισμὸν τοῦ λίθου. οὕτω μὲν οὖν τὴν πόλιν τύπτων ἐπὶ ἡμέρας ἱκανὰς ἠνάγκασε τοὺς ἐνοικοῦντας προσχωρῆσαι αὐτῷ. ἐπεί τε δὴ προσεχώρησαν, τά ἔπιπλα καὶ τὰ πλείστου ἄξια ἀφελόμενος, καὶ μοῖράν τινα ἀπαγαγὼν ἐς ἀνδραποδισμόν, τοὺς ἄλλους B ᾤκισεν αὐτοῦ καταλιπὼν διὰ τὴν μετάλλου ἐργασίαν, ἣν μάλιστα δὴ τῶν ταύτῃ χωρίων ἐπιστάμενοι ἐτύγχανον. πρόσοδος δὲ αὕτη οὐκ ἐλαχίστη τοῦ βασιλέως, ἀπὸ τῶν ἐνταῦθα V. 172 αὐτοῦ μετάλλων τῆς πόλεως ταύτης. ὁ δὲ Τριβαλλῶν ἡγεμὼν ὡς ᾔσθετο ἐπ' αὐτὸν ἐπιόντα βασιλέα Μεχμέτην, ᾤχετο μὲν διαβὰς ἐπὶ Παιονίας καὶ ἐπὶ Χωνιάτην, δεδιὼς μὴ ἐς τὴν Σπενδερόβην ἀφικόμενον πολιορκοῖτο καταστάς, καὶ ἐδεῖτο μὲν αὐτοῦ ἐπαμύνειν προσήκοντί τε καὶ ξυγγενεῖ ὄντι. καὶ ἐδόκει μὲν κἀκείνῳ τιμωρεῖν, ἐπὶ δὲ Σπενδερόβην ἔπρασσε C πρὸς βασιλέα γενέσθαι οἱ εἰρήνην. οὗτος μὲν ἐπεβίω οὐ πολλῷ ὕστερον, καὶ ἀπέθανεν, ἐχώρει δὲ ἡ ἀρχὴ πρὸς Ἐλεάζαρον τὸν νεώτερον αὐτοῦ παῖδα. οἱ δὲ τυφλοὶ αὐτίκα ἐπὶ τῇ τελευτῇ τοῦ ἡγεμόνος χρήματα ὑφελόμενοι ὅσα ἐνεχώρει,

7. ἐπαγαγὼν P 8. ᾤκησεν P 13. Παίονας? 14. πολιορκοῖ?

das autem erectas, supino iactu lapides in altum torquentes, primus rex ille invenit. nam bombardae illae erectae, sive mortaria, in aërem globum sublimem iaculantur. qui deinde delapsus id penitus ad quod a bombardario fuerit directus, sternit et comminuit. tanta autem globi certitudo est, ut nullo modo aberret a scopo quem bombardarius animo destinarit, quamvis globus in altum eiectus fuerit. diebus igitur plurimis Mechmetes oppidanos in hunc modum laedens, tandem eos deditionem facere coegit. ubi semet ipsos suaque fidei regis tradidere, ipse suppellectilem et pretiosissima quaeque accipiens, et partem quandam hominum in mancipiorum condicionem transferens, reliquos ibi habitare passus est, maxime propter metalli opus, cuius in primis istius regionis incolae periti censentur. nec contemnendus regi reditus est ex metallis quae sunt iuxta istam urbem. Triballorum princeps Georgius, cognito contra se Mechmetem hostili animo pergere, abiit transiens in Pannoniam ad Choniatem, veritus si Senderoviam venisset, ne obsideretur a rege. rogabat itaque Choniatem ne se amicum et propinquum desereret, verum acerrime a vi Turcorum assereret. ubi autem Georgius tantum effecit apud regem ut pax fieret, non multo post expiravit. successio principatus devolvebatur ad Eleazarum filium iuniorem. at caeci Stephanus et Georgius continuo surripientes pecunias quotquot

ἀφίκοντο παρὰ βασιλέα, καὶ χώραν παρεχομένου τοῦ βασι-
λέως ἱκανὴν τὴν δίαιταν ἐποιοῦντο. βασιλεὺς μὲν οὖν τούτῳ
ἀπάγοντι φόρον ἱκανόν, ἐς δισμυρίους χρυσίου στατῆρας,
1456 σπονδάς τε ἐποιήσατο, καὶ ἐς τὸ ἐπιὸν ἔτος ἐστρατεύετο ἐπὶ
Μπελογράδην τὴν πόλιν Παιόνων. αὕτη δὲ ἡ πόλις ᾤκεῖτο,
D ὡς πρότερόν μοι δεδήλωται ἐπὶ Ἀμουράτεω, παρὰ τὸν Ἴστρον
ἀφ' ἑνὸς πλαγίου, ἀπὸ δὲ ἑτέρου ἐπιρρέοντος Σάβα τοῦ πο-
ταμοῦ καὶ ἐκδιδόντος ἐς τὸν Ἴστρον ἀμφίρρυτος γίνεται ἡ
πόλις ἀμφοῖν τοῖν ποταμοῖν παραρρεόντων.

Ἐπὶ ταύτην δὲ τὴν Μπελογράδην ἐστρατεύετο Μεχμέτης
ὁ Ἀμουράτεω, καὶ πρότερον ἐπὶ Ἰλλυριοὺς στρατεύματα ἐπι-
πέμψας ἡγουμένου Θερίζεω καὶ Ἁλίεω τοῦ Μιχάλεω. πρὸς
δὲ καὶ ἐν τῇ Ἀσίᾳ συνῆπτο αὐτῷ πόλεμος πρὸς βασιλέα
Κολχίδος τῆς Τραπεζοῦντος. καὶ τριήρεις ἐπιπέμψας ἐδῄου
τε τὴν Κολχίδα, καὶ ἤπειρον, κατὰ θάλατταν, ἡγουμένου τοῦ
P. 221 Χητύρεω τοῦ τῆς Ἀμασίας ὑπάρχου. ὡς μὲν οὖν κήρυκα
ἔπεμπε περιαγγέλλοντα παρεῖναι αὐτῷ τὰ στρατεύματα ἐς
Ἀδριανούπολιν, ἐξελαύνει αὐτὸς ἔχων τάς τε θύρας καὶ τοὺς
νεήλυδας, καὶ χαλκὸν μὲν παρὰ τοὺς τηλεβόλους ἔμπλεον φε-
ρόμενος διά τε νηῶν αὐτῷ καὶ καμήλων ἤλαυνε διὰ τῆς Τρι-
βαλλῶν χώρας. καὶ ἐξένιζε μὲν ὁ τῆς Σπενδερόβης ἡγεμὼν
τόν τε βασιλέα καὶ τοὺς ἡγεμόνας, δῶρα πέμπων ὡς μέγι-

15. κατ' ἤπειρον?

poterant, venere ad regem; qui cum his regionem assignaret, factum est ut victum nanciscerentur sufficientem. pax autem cum eo convenerat ut quotannis tributum maximum ferret, videlicet viginti milia staterum auri. eo anno qui sequebatur, expeditionem contra Belgradum urbem Pannoniae suscepit. urbs haec, quemadmodum docuimus cum scriberemus de Amurate, ab uno latere iuxta Istrum sita est, ab latere altero alluitur Savo, qui se in Istrum effundit; ab utroque circumfluitur ea urbs, si quidem ambo praeter eam labuntur.

Contra hanc exercitum duxit Mechmetes Amuratis filius: prius tamen cum parte copiarum contra Illyrios ire iussit Therizem et Haliem Michaelis filium. praeterea eodem tempore bellum ei erat cum Colchidis rege, qui praeerat Trapezunti. mittens igitur triremes, quarum dux erat Chetyres Amasiae praefectus, Colchidem et maritimam Colchidis regionem evastabat. ubi igitur voce praeconis, quem per universum regnum miserat, exercitus suos Adrianopolim excivit, in militiam profectus est ipse, ducens ianuae milites et peregrinos; et navibus subvehebat camelisque portabat aeris plurimum ad bombardas fundendas, iterque fecit per Triballorum regionem. Triballorum dux hospitaliter et benigne regem et duces tractavit, mittendo iis munera

σια, παρεσκευάζετο μέντοι καὶ αὐτός, ἢν Μπελογράδη ἁλώσοιτο, αὐτίκα καὶ αὐτὸς πολιορκησόμενος. ἐπελάσας δὲ ἐπολιόρκει τὴν πόλιν. ἔκειτο διὰ μέσου τοῖν ποταμοῖν ἰσθμός, B ἑπτὰ στάδια μάλιστα τὸ εὖρος· ἔνθα δὴ καθιστὰς καὶ στρατοπεδευσάμενος ἐπολιόρκει τὸ ἄστυ, καὶ ἔπαιε μὲν τηλεβόλοις τὸ τεῖχος, καὶ οἱ νεήλυδες τοῖς στεγάσμασιν ἀγχοῦ γενόμενοι τοῦ τείχους ἐτόξευόν τε τοὺς Παίονας. στρατόπεδον δὲ καὶ τοῦτο μέγα βασιλέως ἐγένετο. ἐννοούμενος δὲ ὁ βασιλεὺς ὡς ἢν ἐπικρατήσῃ τοῦ ποταμοῦ καὶ μὴ δυνατοὶ ὦσιν ἔτι τοῦ λοιποῦ διαβαίνειν οἱ Παίονες ἐς τὴν πόλιν ἀπὸ τῆς ἀντιπέραν τοῦ ποταμοῦ ἐπαμύνειν, ῥᾷον αὐτῷ προσχωρῆσαι τὴν πόλιν [ἁλώσεσθαί οἱ τὴν πόλιν], ἐπλήρου ναυτικὸν πολύ, ὃ C κατὰ τὴν παρίστριον χώραν αὐτοῦ ἐξηρτύετο, καὶ παρεσκευάζετο ἀμφὶ τὰ διακόσια πλοῖα, ταῦτα πληρώσας τόν τε ποταμὸν κατασχήσων, διακωλύειν τὴν Παιόνων δύναμιν διαβαίνειν ἐς τὴν πόλιν, καὶ τούς γε ἐν τῇ πόλει ἀπολαβὼν ἐντὸς V. 173 ταύτῃ ἐμπολιορκήσειν. τὰ μὲν οὖν πλοῖα ἀνήγετο ἐς τὸν ποταμὸν ἀπὸ Βιδίνης τῆς πόλεως, καὶ ἡμέρας τινὰς ἐκράτει τοῦτο κατὰ ταῦτα τὰ χωρία τοῦ ποταμοῦ. ὁ δὲ Παιόνων βασιλεὺς (ἐστρατοπεδεύετο γὰρ καὶ αὐτὸς ἐς τὴν καταντικρὺ χώραν τοῦ Μπελογράδη στρατεύματι πολλῷ) πληρώσας καὶ D

1. post ἢν cum H omisi ἐν.

maxima. nam ducem Triballorum haud fallebat, se continuo armis Mechmetis debellandum, ubi primum in Turcorum dicionem Belgradum concessisset. rex igitur hostilia spirans exercitibus eam urbem circumsedit. est autem in medio utrorumque fluminum isthmus, latitudine maxime septem stadiorum. eum locum castris permuniendis delegit, idemque urbem oppugnabat, haud cessans murum bombardarum globis quassare. praeterea peregrini pluteis praeparatis muniti, cum proxime ad murum subiissent, sagittis Pannones petere haud intermittebant. castra regis maxima erant. rex autem cogitabat, si flumen solus obtineret et Pannones prohiberet, ne ex altera fluminis ripa ipsis aditus in urbem pateret, se facilius resistere hostibus et tandem urbe potiri posse: proinde copiis navalibus, quae erant per regionem Istro affusam dispersae, naves quae praesto erant implevit. naves autem numero erant ducentae. his fretus enitebatur obtinere flumen et inhibere Pannones, ne possent in urbem transgredi. praeterea cum in hunc modum a reliquis intercepisset et quasi inclusisset oppidanos, ad urbis oppugnationem, quam facilem sic fore putabat, totis viribus accingebatur. naves in flumen deducebantur ab urbe Bidina, et aliquot diebus flumen, quod eam regionem praeterlabitur, fortiter obtinebant. at Pannonum rex, qui cum magnis copiis castra posuerat in regione quae ex opposito erat, milite complet naves opti-

αὐτὸς πλοῖα τὰ κράτιστα, ὅσα ἐπῆν αὐτῷ ἐν τῇ Πούδῃ, κα-
τέβη διὰ τοῦ ποταμοῦ ὡς ναυμαχίαν ποιησόμενα μετὰ τῶν
τοῦ βασιλέως πλοίων. ἀνῄει μὲν καὶ τὰ βασιλέως πλοῖα ἐπὶ
πολὺ τοῦ ποταμοῦ κατὰ τὴν τῶν Παιόνων χώραν, καὶ δη-
οῦντες ἔκαιον καὶ ἐληΐζοντο. μετ' οὐ πολὺ δὲ καὶ ὁ τῶν
Παιόνων στόλος κατῄει, καὶ ἐμβαλόντα τοῖς πλοίοις τοῦ βα-
σιλέως κατέδυσε μὲν ἔστιν ἅ, εἷλε δὲ καὶ ἀμφὶ τὰς εἴκοσι
ναῦς. καὶ οἱ Παίονες διαχρησάμενοι τοὺς ἄνδρας, καὶ ἐς
τὰς ναῦς κενὰς οὔσας τὰ σώματα καταθέμενοι τῶν φαρμα-
κῶν, φορμηδὸν αὐτὰ ταξάμενοι, ἐνῆκαν φέρεσθαι ὑπὸ τοῦ
ῥοῦ ἐς τὸ βασιλέως στρατόπεδον. καὶ οὗτοι μὲν οὕτω ἀπώ-
P. 222 λοντο, αἱ δὲ λοιπαὶ ἔφευγον σπουδῇ ἐπὶ τὸ τοῦ βασιλέως
στρατόπεδον, καὶ ἐπωκείλαντες τὰ πλοῖα ἐς τὸ στρατόπεδον
ἀπέβησαν. ταῦτα μέντοι αὐτίκα ὁ βασιλεὺς ἐνέπρησεν, ὡς
ἂν μὴ ἐπιπλέοντες αὐτὰ οἱ Παίονες ἕλωσι. τοῦ μὲν οὖν πο-
ταμοῦ τὸ ἀπὸ τοῦδε ἐπεκράτουν οἱ Παίονες, καὶ ἐκομί-
ζοντο ἐκ τῆς καταντιπέραν ἠπείρου ἐς τὴν πόλιν, ἐς φυλα-
κὴν τοῦ ἄστεος, ἄλλοι τε καὶ δὴ καὶ Χωνιάτης σὺν τοῖς
περὶ αὐτὸν καὶ Καπιστράνος ὁ Ναζηραῖος, σοφός τε καὶ ἐς
τὴν θρησκείαν ἀνὴρ παρὰ τοῖς πρὸς ἑσπέραν ἔθνεσι μέγα
B εὐδοκιμῶν. δι' ἃ δὴ ἐπὶ τοὺς ἐν Βράγῃ τῇ μεγάλῃ τῶν Βοέ-

9. φαρμάκων P

mas quas Budae habebat. et secundo flumine pergit contra Turcum, ut qui cum eo navale praelium esset commissurus. regiae naves contra flumen enisae ascenderant ad maximam Pannoniae partem, vastando urendo et praedando quaecunque casus obtulisset. verum haud multo post obviam procedit Pannonum classis hosti; et impetu invadentes regias naves quasdam demersere, et cepere naves circiter viginti. Pannones interfectis viris qui in navibus fuerant, aediculas in naves viris vacuas ponunt, et classem universam in ordines explicantes secundo flumine ad hostilia castra contendebant. Turci quidem in hunc modum necati interierant. caeterum naves reliquae quae non venerant in Pannonum manus, celeri fuga ad regia castra properant; et naves in portum ubi regia castra erant impingentes, et navibus egredientes, intra castra se recepere. has quidem naves illico rex incendi curavit, ne in Pannonum potestatem redigerentur. Pannones ex eo tempore flumine potiebantur, et ex continente, quae e regione erat, ferebantur in urbem, ut eam defenderent ab hostibus. in hanc ingrediebatur stipatus suis Choniates; praeterea Capistranus Nazaraeus sive monachus, cuius auctoritas in religionis negotio maxima habetur apud Occidentales. nam quia insignis pietate vir erat, missus est auctoritate pontificis ad Boemos Pragam urbem magnam inhabitantes, qui colebant Apollinem, ut eos abnegata ista impietate in

μων πόλει, ἐς τὴν τοῦ Ἀπόλλωνος τετραμμένους θρησκείαν, ἐπεπόμφει αὐτὸν ὁ ἀρχιερεὺς δεινόν τε ὄντα λέγειν ἐπὶ τὴν τοῦ Ἰησοῦ θρησκείαν. καὶ πολλοὺς μὲν αὐτοῦ ἐς τὴν τοῦ Ἰησοῦ μετέστησε δόξαν, πολλοὺς δὲ καλῶν ἐπὶ τοὺς βαρβάρους πολεμίους ὄντας τῶν Ἰησοῦ, Γερμανῶν τε καὶ Παιόνων καὶ Βοέμων, ἐπειδὴ ἴοι ἐς τὸν πόλεμον τοῦτον, ψιλοὺς δὲ ὄντας τοὺς πλείστους, ἦγε μεθ' ἑαυτοῦ. οὗτοι μὲν οὖν, ὡς ἠγγέλλετο τὸ τεῖχος τοῦ ἄστεως ἐρρῖφθαι ἤδη πρὸς τῶν τηλεβόλων καὶ κινδυνεύειν τὴν πόλιν ἁλῶναι, οὗτοι μὲν οὖν, ὡς ἐπεκράτουν τοῦ πόρου, καθ' ἡσυχίαν πολλὴν ἐκομίζοντο ἐς τὴν πόλιν, οὐ πάνυ καταφρονεῖν γιγνόμενοι τῷ βασιλέως στρα- C τῷ. βασιλεὺς δέ, ὡς ἱκανῶς τὰ τείχη τοῦ ἄστεως καταβέβλητο καὶ ἤδη βάσιμα ἦν, παρεσκευάζετο ὡς προσβολὴν ποιησόμενος ἐπὶ ἀνδραποδισμῷ. καὶ τά τε πυρὰ τὰ νομιζόμενα ποιησάμενοι τῇ ὑστεραίᾳ παρεσκευάζοντο, τάς τε μηχανὰς προσφέροντες καὶ στεγάσματα, ὡς ἐξελοῦντες τὴν πόλιν. ἐνταῦθα ὁ τῆς Εὐρώπης στρατηγὸς Καραζίης, ἀνὴρ γενόμενος ἄριστος τῶν ἐν ταῖς βασιλέως θύραις, τελευτῶν ἀπὸ τῆς πόλεως τηλεβόλων. καὶ ὁ βασιλεὺς ξυμφορὰν ἐποιεῖτο τὴν Καραζίεω τελευτήν, καὶ ἐπένθει μεγάλως. ἐπεὶ d. 21 Iul. δὲ ἐδόκει προσβάλλειν, ἕωθεν σημήνας τὴν προσβολὴν ταῖς D τε σάλπιγξι καὶ κυμβάλοις καὶ αὐλοῖς, καὶ ἀγόμενος τοὺς νεήλυδας προσέβαλλε τῷ τείχει. καὶ αὐτίκα μὲν ὑπερέ-

6. ἴοι] οἱ P   7. δέοντας P   18. τελευτᾷ ὑπὸ τῶν ἀπὸ?

religionem Iesu transferret. hanc enim mira persuasione docere noverat, ut qui esset dicendi peritissimus. quapropter plurimos Boemos docendo compulit Christi religionem assumere. praeterea plurimos Pannones et Boemos ad inferenda arma barbaris Christi hostibus permovit. et in hunc modum plurimos secum in hanc expeditionem quasi velites, ut eorum opera in velitaribus praeliis usui esset, duxit. nam hi, ubi compertum erat urbis murum bombardis esse stratum, et in periculo esse ut ab hoste impio caperetur, cum obtinuissent fluminis traiectum, per otium colligebantur in urbem; quorum vires neutiquam contemnendae erant hostili exercitui. rex Turcorum, cum iam murus dissipatus bombardis aditum praestaret, parabat se quasi incursionem facturus ad mancipiorum praedam agendam; et ignes, quemadmodum mos gentis est, facientes praparabant se ut in diem posterum urbem adorirentur. machinas et vineas, quibus tuti ad murum succederent, expediebant. Europae dux Carazies, qui gloria et virtute excellebat omnes qui in ianuis regis stipendia faciebant, ab oppidanis bombardae globo ictus occubuit. rex quidem mortem huius viri maximam calamitatem suis rebus invecturam augurabatur, et multum eum lugebat. cum autem visum esset mane urbem aggredi, tubes cymbala

βησαν οἱ νεήλυδες, καὶ ἀποβάντες τοῦ τείχους εἰσεχέοντο
ἐς τὴν πόλιν, καὶ εἰσπεσόντες ἐνόμιζον ἤδη κατειληφέναι τὴν
πόλιν. οἱ δὲ ἐν τῇ πόλει καὶ οἱ περὶ Χωνιάτην ὧδε παρα-
V. 174 σκευασάμενοι ἐπέμενον ὥστε εἰσελθεῖν τοὺς νεήλυδας. οἱ μὲν
γὰρ ἐν τῇ ἀκροπόλει ἑστῶτες ξύνθημα ἔσχον, ἐπειδὰν ἡ σάλ-
πιγξ σημήνοι, ἰέναι ὁμόσε ἐπὶ τοὺς νεήλυδας· οἱ δὲ περὶ
P. 223 τὰς ἐπάλξεις καὶ τοῦ τείχους ὑποχωρήσαντες, ἐπηγγέλλετο γὰρ
σφίσιν οὕτω ὑπὸ τοῦ Χωνιάτου, ὥστε ἐν ἀδείᾳ τοὺς νεήλυ-
δας εἰσιέναι ἐπὶ τὴν πόλιν, καὶ ὁπόταν σημήνοι ὁ σαλπιγκτὴς
τῇ σάλπιγγι, καὶ αὐτοὺς ἰόντας δρόμῳ καταλαμβάνειν τὴν
ἑαυτοῦ χώραν ἕκαστος, καὶ ἀπειλημμένοις χρῆσθαι τοῖς νεή-
λυσιν ὅ τι ἂν βούλωνται. οἱ μέντοι νεήλυδες ἕωθεν ὡς προσ-
έβαλον, αὐτίκα ἐπεισπεσόντες, οὐδενὸς σφίσιν ἐμποδὼν ὄντος
(ὑπεξεκεχωρήκεσαν ἤδη οἱ Παίονες, ὡς τὸ σύνθημα) καὶ νο-
μίσαντες πεφευγέναι εἰσεχέοντο, ὡς ἐδηλοῦτό μοι, ἐς τὴν πό-
λιν, καὶ τραπόμενοι ἄλλος ἄλλῃ διήρπαζον τὴν πόλιν. ἐπεὶ
B δὲ τὸ σύνθημα ἐδίδοτο καὶ ἡ σάλπιγξ ἐσήμαινεν, οἱ μὲν περὶ
τὰ τείχη πρότερον ὄντες αὖθις ἔθεον ἐς τὰς ἐπάλξεις καὶ
ἀπελάμβανον εἴσω τοὺς νεήλυδας, οἱ δὲ περὶ Χωνιάτην ἵεντο
ὁμόσε ἐπὶ τοὺς νεήλυδας. οὗτοι μὲν οὖν ὡς κατεῖδον τοὺς
ἀπὸ τῆς ἀκροπόλεως Παίονας σφίσιν ἐπιόντας, ἀνεχώρουν ἐπὶ

6. δὲ om P

et cornua canere iubet, et peregrinos in murum ductabat. hi murum continuo scandendo superarunt; et qua cuique liberum erat, in urbem fundebantur. qui cum in urbem intrassent, se eam cepisse existimabant. at Choniates cum suis instructi et armati expectabant occulte, donec peregrini omnes in urbe intrassent. nam qui in arce consistebant, tesseram acceperunt ut ubi primum tuba sonum dedisset, peregrinos confestim adorirentur. praeterea qui antea per murum erant dispositi, iussu Choniatis a muro decesserunt. nam his id ideo praeceptum erat, ut peregrini maiore securitate in urbem penetrarent. iussi tamen sunt ut ubi primum tuba cecinisset, ad murum singuli, et ad ea loca quae defendenda suscepissent, cursu se proriperent, ut peregrinis, quos ab reliquis intercepissent, pro arbitrio uti possent. verum peregrini ubi primum oppugnationem sunt auspicati, urbem nemine resistente et prohibente ingressi sunt. Pannones enim, quemadmodum moniti erant, retrocesserunt et se occultabant. peregrini autem cum crederent Pannones fuga esse dilapsos, raptim in urbem procursantes alius alio ad praedam convertebantur. cum autem, quemadmodum convenerat, tuba sonuisset, qui prius murum defensarant, celeri cursu se singuli ad sua loca contulere, et peregrinos incluserunt intra urbem. Choniates instructa acie contra peregrinos ibat. hi videntes Pannones ex arce prodeuntes adversum se pergere, ad murum retro ire instituunt. cedentibus peregrinis acri-

τὸ τεῖχος· ἀναχωροῦσι δὲ αὐτοῖς οἱ Παίονες καὶ ἐπέκειντο χαλεπῶς καὶ διέφθειρον πολύ τι πλῆθος αὐτῶν. οἱ δὲ ἄλλοι ὡς ἐς τὸ τεῖχος ὥρμηντο καὶ ἑώρων καὶ ἐνταῦθα τοὺς Παίονας ἐς τὰς ἐπάλξεις, ἐβιάζοντό τε τοὺς Παίονας καὶ ὑπερθέοντες ἤγοντο ἐς τὴν τάφρον. οὕτω μὲν οὖν τότε οἱ Παίονες ἐξεώσαντο τοὺς νεήλυδας καὶ ὑπερεβαίνοντο τοὺς βαρβά- C
ρους· μετὰ δὲ ἔξοδον κοινὴν ποιησάμενοι οἱ περὶ Καπιστρᾶνον καὶ οἱ ἄλλοι Παίονες πρὸς τοὺς ἐν τοῖς τηλεβόλοις τοῦ βασιλέως, μαχεσάμενοι ἐτρέψαντο αὐτοὺς καὶ ἐπεκράτουν τῶν τηλεβόλων. βασιλεὺς δὲ ὡς ἑώρα ὑπὸ τῶν Παιόνων ἐχομένους τοὺς τηλεβόλους, δεινὸν ποιησάμενος συνέβαλε μὲν ταύτῃ καὶ ἐμάχετο ἰσχυρῶς, καὶ οὐδ' ὣς ἠδυνήθη ἐξώσασθαι ἀπὸ τῶν τηλεβόλων τοὺς Παίονας, ἀλλ' ἀπετράπετο. οἱ μὲν δὴ Παίονες ἐνταῦθα ἤδη ἐπηυλίζοντο, καὶ τούς τε τηλεβόλους τρεψάμενοι ἐς τὸ βασιλέως στρατόπεδον ἐπαφίεσαν. ἐπεὶ δὲ μεσημβρία ἦν τῆς ἡμέρας, καὶ τοὺς γιγνομένους τρόπους καὶ D
τὰ γιγνόμενα ἐπηγγέλλετο αὐτοῖς τοῖς καταντικρὺ Παίοσιν, ἐκομίζοντο ἤδη ἐνταῦθα ναῦται οὐκ ὀλίγοι αὐτῶν, εἰς τὴν πόλιν μὲν οὐκέτι ἀλλ' ἐς τὸ στρατόπεδον. καὶ ἐπεξῆλθον μέντοι καὶ οἱ τοῦ ἄστεως, καὶ ἑκατέρωθεν βάλλοντες μετὰ ἐπάρσεως ἐς τὸ τοῦ βασιλέως στρατόπεδον καὶ ἐμάχοντο, καὶ σκηνάς ἔστιν ἃς κατέβαλλον τοῦ στρατοπέδου συ-

5. ἥλλοντο?

ter institere Pannones, et plurimos leto dederunt. caeteri, qui ad murum properabant, cum viderent Pannones per murum in solitis stationibus armatos dispositos, vi eos aggrediebantur, et contra ipsos cursu lati ferebantur in fossam. in hunc modum eo tempore Pannones eiecere peregrinos et barbaros vincebant. postea coniunctis copiis Capistranus et Pannones egressi sunt ut praelium committerent cum eis qui regias bombardas curabant. inito itaque praelio bombardarios in fugam coniecere et bombardas obtinuere. rex cernens suas bombardas a Pannonibus captas, multum animo discruciabatur: proinde et ipse ibi consistens fortiter praelium capessere haud neglexit. cum autem Pannones non posset a bombardis submovere, tandem et ipse fugam arripit. Pannones eo loci continuo receptui canebant; et dirigentes bombardas in castra regis, ea graviter adflixere. cum iam meridies adesset, et fuga, reliqua quae evenerant, nuntiata essent Pannonibus qui e regione morabantur], advehuntur non pauci, nec tamen in urbem, verum in castra iter maturant. hi qui in urbe relicti erant, in castra egrediuntur, et undique regia castra summa vi oppugnant. tentoria in regis castris disiecerunt plurima. Asapides (quos Hussarones nostri vocant) diripuerunt forum.

χνάς, καὶ διήρπαζον οἱ ἀζάπιδες τὴν ἀγοράν. καὶ βασιλεὺς
μέντοι ἐβόα ὡς ὑπεξέλοιντο τὰς κόρας αὐτῶν, αὐτὸς δὲ σὺν
τοῖς περὶ αὐτὸν συνέβαλε μέν, καὶ ἐτρέψαντο τοὺς Παίονας.
καὶ αὐτός τε ἄνδρα Παίονα ἀνελὼν τιτρώσκεται ἐς τὸν μη-
P. 224 ρόν, οὐ μέντοι γε ἐτράπετο. μετὰ δέ, ὡς ἐς τοὺς τηλεβόλους
ἐπεξιὼν γένοιτο, αὖθις οἱ Παίονες συστραφέντες ἐπέκειντο
τοῖς βαρβάροις, καὶ ἐτράποντο τοὺς ἀμφὶ βασιλέως ἄχρι τοῦ
στρατοπέδου. καὶ τούτου ἐς τρὶς γενομένου δεινὸν ἐποιεῖτο
ὁ βασιλεύς, οὔτε νεηλύδων παρόντων αὐτῷ ἐς τὴν μάχην, καὶ
τῶν ἄλλων τοῦ στρατοπέδου ἐπὶ τὰς νομὰς καὶ τὰ ἐπιτήδεια
V. 175 ἀφικομένων. καλέσας δὲ ἐν τῷ θορύβῳ τούτῳ τὸν ἄρχοντα
τῶν νεηλύδων, Χασάνην τοὔνομα ἔχοντα, ἔλεγε τοιάδε "ὦ
κάκιστε ἀνθρώπων, ποῦ δὴ ἡμῖν οἴχονται οἱ νεήλυδες; πῶς
C δέ σοι παρεγένοντο ἐς τὴν μάχην; ἢ οὐκ οἶσθα οἷτοι ὄντα
οἷτοι ἄρχοντα ἐποιησάμην; ἀλλ' ἴθι ὡς εἰ μὴ ἀποθάνοιμι,
εἰσόμενος τὴν δίκην ἐπιθήσω, ἣν ἂν φαῖεν ἅπαντες δικαιοτά-
την γενέσθαι." Χασάνης δὲ ὑπολαβὼν ἔλεξεν "ὦ βασιλεῦ,
νεήλυδες εἰσὶ μὲν τετρωμένοι οἱ πολλοὶ αὐτῶν, οἱ δὲ ἄλλοι
οὐκ ἐθέλουσιν ὑπακούειν. ἐγὼ δὲ τοὐμὸν παρεχόμενός σοι,
ἀνθ' ὧν ἄχθῃ μοι, ὄψει με ἐν μέσῳ τῶν Παιόνων μαχόμε-
νον τελευτήσαντα ὑπὲρ τῶν σῶν πραγμάτων." ταῦτ' εἰπὼν
καὶ ἐμβαλὼν ἐς μέσους τοὺς Παίονας, ἀνήρ τε ἀγαθὸς γενό-

14. σοι οὐ παρεγένοντο?

rex clamabat ut oculos eorum eruerent. ipse quoque praelium cum suis occipiens Pannones in fugam vertebat. eo loci peremit virum Pannonium rex, verum vulneratur femur; nec tamen vulneratus in fugam effunditur. deinde cum ad bombardas recipiendas egrederetur, Pannones conversi barbaris acriter instabant, et eos simul cum rege usque ad castra persequuntur. et cum tertio hoc esset factum, rex graviter animo dolebat non adesse peregrinos et suppetias ferre in eo praelio, verum esse profectos ad colligendum pabulum et necessaria. vocans autem in isto tumultu Chasanem peregrinorum ducem, huiusmodi orationem habuit. "o pessime hominum, quo nobis peregrini abeunt? quo modo te duce ingressi sunt praelium? nescis ex humili fortuna quam ad magnam dignitatem te provexerim, ut sis videlicet dux? sed scito, nisi praelium me absumpserit, poenas mihi dabis, quas omnes iustissimas esse pronuntiarint." Chasanes respondens "o rex," inquit, "peregrinorum plurimi saucii sunt. reliqui qui integri sunt, dicto nolunt esse audientes. ego autem, ut opera mea utaris fideli et forti, quamvis mihi indigneris, in medios me conferam Pannones, ibique fortiter dimicans pro rebus tuis occumbam." his dictis in medios se confert hostes, et in conspectu regis

μενος ἐναντίον τοῦ βασιλέως, ὑπὸ Παιόνων ἀπέθανε. καί τινες τῶν θεραπόντων αὐτοῦ ἐτελεύτησαν ἐνταῦθα. ὡς ἐν C τῷ στρατοπέδῳ τρεψάμενοι τοὺς Τούρκους ἐπέκειντο οἱ Παίονες, πλέον ἔχοντες ἐν τῇ μάχῃ, παραγίνονται ἱπποδρόμοι τοῦ βασιλέως, εἰς ἑξακισχιλίους, οὓς πρότερον ἐπεπόμφει ἐπὶ φυλακὴν τῆς παριστρίου αὐτοῦ χώρας, φυλάξοντάς τε οἰχήσουσι σὺν ταῖς ναυσὶν οἱ Παίονες, καὶ διακωλύειν τε αὐτοὺς ὥστε μὴ ἀποβαίνειν. παραγενόμενοι δὲ οὗτοι ἐς τὸν θόρυβον τοῦτον καὶ ἐς τὴν μάχην ἐν μέσῳ τε ἐποιήσαντο τοὺς Παίονας, καὶ συχνοὺς αὐτῶν ἐνταῦθα διέφθειραν, μετὰ δὲ τρεψάμενοι ἐξεώσαντο τοὺς Παίονας ἀπὸ τοῦ στρατοπέδου ἐς τοὺς τηλεβόλους. καὶ οὕτω ἐνταῦθα ἡ μάχη ἐτελεύτα πρὸς ἑσπέραν ἤδη. βασιλεὺς δὲ ὡς αὐτῷ τὰ πράγματα ἤδη πονήρως ἔχοντα, τούς τε νεήλυδας τετρωμένους καὶ ἐς φόβον καθισταμένους, D τὰ στρατεύματα αὐτῷ δρασμῷ τε ἐπεχείρει. νυκτὸς δὲ γενομένης παραγγείλας ἐς τὰ στρατόπεδα συσκευάζεσθαι καὶ προϊέναι, ᾗ ἂν αὐτὸς ἐξηγοῖτο, ἀπεχώρει ὑπὸ τὴν νύκτα, καὶ ἐξελαύνων ἐδεδίει μὴ οἱ Παίονες τῷ λοιπῷ στρατεύματι διαβάντες ἐπικέοιντο, καὶ σφίσι χαλεπὴ γένοιτο ἡ ἀπαλλαγὴ καὶ ἡ ἐπ' οἴκου αὐτῶν κομιδή. καὶ δοκεῖ ἄν μοι καὶ τοὺς Παίονας κατὰ νώτου γενέσθαι τῷ βασιλέως στρατῷ, εἰ μὴ ὁ Χω-

2. ἐν] δέ? an μέντοι. 6. φυλάξοντες P οἳ σχήσουσι? 21. νῶτον P

a Pannonibus trucidatur. fuit autem vir optimus. etiam ministri quidam eius ibidem interfecti sunt. cum Pannones in castris fortiter inhaererent Turcis eosque fugam capere compellerent, ex improviso adveniunt sex milia equitum regis, quos miserat iam ante ad custodiendam regionem suam Istro adiacentem; praeterea ut obsisterent Pannonum navibus advenientibus ne in terram exire possent. equites hi advenientes, cum iam ferveret praelium, Pannones in medium agunt, et plurimos ibidem interimunt. deinde cum verterent Pannones in fugam, eos ex castris pepulerunt et ad bombardas se recipere coegerunt. et in hunc modum finis praeliandi, cum iam instaret vesper, factus est. rex cum cerneret res suas propemodum accisas esse, fuga una cum exercitu suo evadere enititur. nam peregrini plerique saucii et timidi erant. adveniente igitur nocte iubet ut impedimenta omnia colligant, seque ad profectionem praeparent, quo parati et instructi sequantur quocunque eos ducere instituerit. et tandem noctu fuga sibi consulens abibat, cum interim male metueret ne Pannones cum reliquo exercitu transgressi ipsum persequi statuerent, atque in hunc modum discessus et in patriam reditus sibi suisque difficilis redderetur. et sane Pannones persequendi fugientem hostem admodum cupidi erant; et id fecissent, ni Choniates eos a per-

νιάτης ἀποτρεπόμενος οὐκ εἴα ἐπιδιώκειν, ἐπιστάμενος τοὺς
P. 225 Τούρκους, ἐπειδὰν σφίσι κίνδυνος ἐπιστῇ, τότε πολλῷ τῷ
μέσῳ σφῶν αὐτῶν γίνεσθαι ἀμείνους ἀεὶ καὶ ἀνεχομένους
γίνεσθαι. δοκεῖ δὲ καὶ ὑπὸ τοῦ λοιμοῦ, ὃς ἐπεγένετο τοῖς
Παίοσιν ἐς τὸ στρατόπεδον καὶ ἐπίεζεν αὐτοὺς πάνυ, ὥστε
μὴ διαπνεῦσαι ἐπὶ συχνόν τινα χρόνον. Ἰωάννης δὲ αὐτός
τε ἐτρώθη ἐνταῦθα, καὶ οὐ πολλῷ ὕστερον ἀπέθανε. δοκεῖ
δέ μοι καὶ τοῦτο μάλιστα αἴτιον γενέσθαι τοῖς Παίοσι τοῦ
μὴ ἐπιδιῶξαι τὸν βασιλέως στρατόν.

Ἰωάννης μὲν ἀπελαύνοντος βασιλέως ἐπιβιοὺς οὐ πολύν
1456 τινα χρόνον μετὰ ταῦτα ἐτελεύτησεν, ἀνὴρ γενόμενος ἄριστος
d. 11 Aug. ἐς τὰ πάντα, καὶ ἀπὸ μικροῦ τινὸς ἐς μέγα δυνάμεως, με-
γάλα τε ἀποδειξάμενος ἔργα πρός τε τοὺς Γερμανοὺς καὶ
B Βοέμους, ἐπὶ τὰ Παιόνων πράγματα ἀφικόμενος μέγα εὐδο-
κιμῶν διεγένετο. πρὸς δὲ καὶ ἐς τοὺς Τούρκους οὐκ ὀλίγα
ἀποδειξάμενος ἔργα, εἰ μὴ διὰ τὸ πλῆθός τε καὶ ἀρετὴν αὐ-
τῶν οὐκ ἐδόκει ἄν ποτε περιγενέσθαι τῆς βασιλέως δυνάμεως·
καὶ αὐτός τε ἔσω ἅμα ἐχειρώσατο τὰ τῶν Παιόνων στρατεύ-
ματα. ἀχθομένων δὲ αὐτῷ τῶν λοιπῶν τῆς Παιονίας δυνα-
τῶν, καὶ οὐκ ἀξιούντων ὑπ' αὐτοῦ ἄρχεσθαι, ὅμως ἐπεκράτει
τε τῶν πραγμάτων, ξυνομολογούντων ἤδη κἀκείνων, καὶ οὐκ
V. 176 ἐχόντων ὅπως μὴ συγχωρῶσιν ἀνδρὶ εὐδοκιμοῦντι τε ἁπαν-
ταχῇ, καὶ τήν τε ἀρχὴν ἐπὶ τὸ κράτιστόν τε καὶ ἀσφαλέστε-

1. ὑποτρεπόμενος P

secutione inhibuisset, sciens Turcos, quando discrimen anceps impenderit, duplo quam sint alias fieri fortiores et omnia perpeti. hoc accedebat et pestis, quae saevissima Pannonum invaserat castra, ut nequiverint longo tempore post vix ab illo contagio respirare. Ioannes quidem eo in praelio vulnus accepit, ex quo haud multo post mortuus est. haec quidem mihi praecipua causa extitisse videtur, quod Pannones a persecutione hostium abstinuerint.

Ioannes non diu post fugam regis vivens defunctus est, cum extitisset vir optimus, qui ex humili loco ad maximam conscendit potentiam, memorabilia designans facinora contra Germanos et Boemos; et in regnum Pannonum succedens maxima florebat gloria. praeterea praeclare rem gessit adversus Turcos, quos putabat, nisi copiis maximis suorum et virtute, superari haud posse. Pannonum regnum necnon exercitus eorum ipse quoque suscepit. cum autem ei inviderent reliqui Pannoniae principes, nec eius imperia capesserent, tamen brevi effectum est ut regnum retineret, cum etiam illi invidi confiterentur regnum esse isti viro committendum, quod non cessaret firmissimum et tutissimum praestare. apparet autem virum hunc, quae-

ρον διέποντι. δοκεῖ δὲ οὗτος ἀνὴρ σπουδῇ τὰ πάντα κατεργάζεσθαι, καὶ ἐν δέοντι χρῆσθαι τοῖς πράγμασιν αὐτίκα, ὅποι C ἂν δέοι, παραγενόμενον. λέγεται δὲ καὶ ὑπὸ λοιμοῦ ἀπενεχθέντα ἀποθανεῖν.

Περὶ δὲ Καπιστράνου τοσόνδε ἐπιστάμενος μνήμην ποιήσομαι, ὡς Βερναρδίνου τοῦ Κανιλίου γενόμενος ὀπαδός, μεγάλα ἐς τὴν τοῦ κυρίου Ἰησοῦ θρησκείαν διδάξαντος, καὶ αὐτὸς ἐπὶ μέγα δόξης τε καὶ κλέους ἐχώρησεν ἀνὰ πᾶσαν σχεδόν τι τὴν ἑσπέραν, ἐς τὰ πρῶτα ἀνήκων σοφίας τε ἅμα καὶ θεωρίας. καὶ τῷ μὲν δὴ Βερναρδίνῳ τελευτήσαντι οἱ περὶ τὴν Ἰταλίαν ἀνάγουσί τε τιμὰς ὡς ἥρωι καὶ ναοὺς ἀνοικοδομοῦσι, καὶ ἱερωμένα ἐστὶν αὐτῷ οὐκ ὀλίγα ἀνὰ τὴν Ἰταλίαν ἀγάλματα ὡς ἀνδρὶ εὐαγεῖ τε καὶ δαιμονίῳ γενομένῳ. λέγεται δὲ καὶ θαύματος ἄξια τοῦ ἀνδρὸς τοῦδε ἀποδεδειγμένα. D τούτου δὲ ὁ Καπιστρᾶνος Ἰωάννης γενόμενος ὀπαδός, ὡς εἴρηται, καὶ πολλὴν χώραν ἐπεληλυθὼς περιῄει δημοσίᾳ διδάσκων τῇ τε ἄλλῃ, ἀφίκετο δὴ καὶ ἐς Βοέμους δοκοῦντας αἵρεσιν, τὴν τοῦ πυρὸς θρησκείαν τε ἐς τὰ μάλιστα, καὶ μηδαμοῦ ἔτι συντίθεσθαι τῇ τῶν λοιπῶν ταύτῃ θρησκείᾳ, ἀλλ' ὅμως φρονοῦντάς τε καὶ μὴ πειθομένους τοῖς λοιποῖς ἀνὰ τὴν Βοεμίαν ἀδραῇ. ἐπὶ τούτους ἀφικόμενος ὁ Καπιστρᾶνος ἐς τὸ τῶν λοιπῶν Βοέμων δόγμα κατέστησε. καὶ μέγα εὐδοκιμῶν ἐπὶ σοφίᾳ τε καὶ συνέσει ἐπιτηδείως τε ἔσχε τῶν Παιό-

cunque aggressus est, effecisse, usum et diligentia singulari et celeritate, praeterea quod ubicunque occasio affulsisset, continuo praesto fuerit. sunt qui tradant hunc virum peste infectum mortem obiisse.

De Capistrano nunc quantum scimus referemus. Capistranus sectator fuit Bernardini Canilii, qui plurima et magna, quae pertinent ad religionem Iesu, docens magnam ad gloriam et claritatem emersit. nam facile princeps, quantum ad eruditionem et contemplationem attinet, per universum Occidentem apparuit. Itali in honorem Bernardini demortui festa celebrant, et templa exaedificant ceu heroi. nec paucae statuae per Italiam visuntur, quae consecratae in honorem huius viri positae sunt, quasi extiterit vir quidam sanctus et divinus. commemorantur et miracula, quae vir ille fecerit. huius sectator cum foret Capistranus, quemadmodum antea explanavimus, et ad plurimas regiones accedens publice doceret, etiam devenit ad Boemos, qui ea secta videbantur infecti ut ignem colerent nec vellent inde recedere et veram religionem apprehendere. qui pertinaces cum nollent consentire cum reliquis per universam Boemiam, adveniente Capistrano continuo cum aliis in eandem religionem commigrarunt

P. 226 νων βασιλέα, καὶ διὰ τοῦτο συνεπελάβετο καὶ τοῦ πρὸς Τούρκους πολέμου, ὥς δὴ πρότερόν μοι δεδήλωται.

Βασιλέα δὴ τοῦτον οἱ Παίονες ἐπηγάγοντο ἀπὸ Γερμανίας, ἀδελφιδοῦν γενόμενον τοῦ Σιγισμούνδου βασιλέως. τοῦτον γὰρ παῖδα ἔτι ὄντα μετὰ τὴν ἐν Βάρνῃ τελευτὴν τοῦ βασιλέως τοῦ Λαδισλάου, ἐπρεσβεύοντο πρὸς Ἀλβέρτον τὸν Σιγισμούνδου τοῦ βασιλέως ἀδελφόν, ὃς ἐπετρόπευε τοῦ παιδὸς καὶ περιάγων ἐς τὴν Ἰταλίαν εἶχε μεθ' ἑαυτοῦ. καὶ γάρ τοι καὶ ὁ Ἀλβέρτος οὗτος βασιλεὺς τῆς Γερμανίας, ἀφικόμενος ἐπὶ τὸν Ῥωμαίων ἀρχιερέα αὐτοκράτωρ τε ἀπεδείχθη ὑπὸ Νικόλεω τοῦ ἀρχιερέως, καὶ ἀπιὼν ἐπὶ τὴν ἀρχὴν αὐ- B τοῦ ὥρμητο ἐπὶ Τούρκους στρατεύεσθαι. οὗτος δὲ μέγα ὄλβιος ὤν, ἅτε αὐτοκράτορα Ῥωμαίων γενόμενον ὑπεδέξαντο οἱ ἐν τῇ Ἰταλίᾳ καὶ μεγάλως ἐτίμησαν. παρὰ τούτῳ [ἐν] τῷ βασιλεῖ Βιέννης διατρίβοντα τὸν παῖδα ᾐτοῦντο οἱ Παίονες· καὶ ὡς ἔτι παῖδά τε ὄντα, καὶ δειμαίνων περὶ αὐτῷ, οὐκ ἐδίδου ὁ βασιλεύς. καὶ καταστάντες ἐπολέμουν αὐτῷ οἱ Παίονες ἐπὶ συχνόν τινα χρόνον, καὶ δὴ καὶ πρέσβεις ἐπὶ τὸν Ῥώμης ἀρχιερέα πέμποντες ἠξίουν σφίσι τὸν βασιλέα ἀποδίδοσθαι· εἰ δὲ μή, ἐπιόντες μὴ ἀνεῖναι πολεμοῦντάς τε καὶ δῃοῦντας τὴν χώραν, ἐς ὃ ἂν ὑπάγωνται σφίσιν ὑποχείριον. ἐνεδίδου μέντοι ὕστερον, καὶ τόν τε παῖδα ἀπέπεμψεν

cum autem sapientia et intellectu plurimum valeret, regi Pannonum familiariter iunctus est. familiaritate ista permotus regem, ut supra meminimus, in Turcica expeditione enixe iuvit.

Regem tunc ab Germania accersiverunt Pannones, Ladislaum nomine: erat enim nepos regis Sigismundi ex filia. nam eum petiverunt, cum adhuc foret puer, post obitum Vladislai in Varnensi praelio, missis legatis ad Albertum Sigismundi fratrem, qui tutor erat pueri et in Italiam abductum secum habuit. siquidem et Albertus iste, cum esset Germanorum rex et venisset ad Romanum pontificem, imperator ab Nicolao pontifice declaratus est. suscepta imperatoria dignitate in animo habebat bellum inferre Turcis: hunc igitur opibus praepotentem (erat enim imperator) Itali suscepere, eique honores maximos habuere. puerum, qui Viennae apud eum morabatur, petiere Pannones. verum imperator Pannonibus puerum tradere cunctatus est (erat enim adhuc puellus), quod ne quid discriminis ei ingrueret anxius metuebat. Pannones itaque unanimi consensu bellum longo tempore cum Alberto gessere. praeterea legatos ire iusserunt ad Romanum pontificem, petentes sibi regem restitui. quod si facere abnueret, profitebantur se non prius posituros bellum quam regionem eius omnem misere pervastatam universam in dicionem accepissent. ve-

ἐπὶ τὴν βασιλείαν, ὃς ἀφικόμενος ἐς Ποῦδην, καὶ ἀπὸ Μπε- C
λογράδης τὸν βασιλέως στρατὸν ἀπωσάμενος διὰ τοῦ Χωνιά-
του, μετὰ ταῦτα οὐ πολύν τινα χρόνον βιοὺς ἐτελεύτησε. λέ-
γεται μέντοι καὶ ὑπό τινος Λαυρεντίου Χεδραχαβάρεω τοῦ
Ἀντεπάρνου κώνειον ἐμπιόντα ἀποθανεῖν. ἀγόμενος δὲ τοῦ
Κελτῶν βασιλέως θυγατέρα οὐκ ἔφθη τὸν γάμον ποιήσασθαι·
ἐτελεύτησε γὰρ πρὶν ἢ ἀφικέσθαι τὴν γυναῖκα αὐτῷ ἐς τὰ V. 177
βασίλεια. τελευτήσαντος μὲν οὖν τούτου διηνέχθησαν οἱ
Παιόνων πρῶτοι ἐς ἀλλήλους, καὶ ἐς διαφορὰν ἀφικομένων
αὐτῶν ἐπεκράτησαν οἱ τοῦ Χωνιάτου παῖδες. Ὄρλιχον γὰρ
ἡγεμόνα τῆς Παιόνων χώρας οὐ φαύλης, καὶ ἔχοντα ἀνωμά- D
λως πρὸς τὸν Χωνιάτην ἔτι περιόντα, ὡς ἐτελεύτησεν, ἠξίου,
ὡς ἀνδρὶ γενομένῳ σφίσιν αἰτίῳ μεγάλων συμφορῶν ἐς τοὺς
Τούρκους, μήτε τοὺς παῖδας διὰ τιμῆς κεκτῆσθαι ἐν τῇ συγ-
κλήτῳ, ἐκείνων ἀνοσιώτατον ἡγουμένων τοὺς παῖδας ἐξελαύνειν
ἐκ τῆς ἀρχῆς. ἐνταῦθα τοὺς Χωνιάτου παῖδας ἐν τῇ συγκλήτῳ
ἐπιπηδήσαντας τῷ Ὀρλίχῳ καὶ ἀποταμόντας τὴν κεφαλὴν αὐ-
τῷ οἴχεσθαι. τοῦτο χαλεπώτατα μὲν δὴ ἐνεγκόντες οἱ Παίο-
νες τόν τε παῖδα τοῦ Χωνιάτου καθεῖρξαν ἐς τὴν Μπελο-
γράδην· μετ' οὐ πολὺ δὲ αὖθις διεπράξατο, καὶ ἐξελθὼν P. 227
κατέστη ἐς τὴν βασιλείαν Παιόνων. βασιλεὺς δὲ ἀπεδείχθη
συναιρουμένων αὐτῷ τῶν τοῦ πατρὸς ἐπιτηδείων. δοκεῖ δὲ

12. περιόντα P

rum imperator postea Pannonibus cedebat, et puerum ad regnum capiendum misit. qui ubi venit Budam et copias Turcorum regis Belgrado ductu Choniatis submovit, haud diu supervixit. perhibent enim eum veneno sublatum esse a quodam Laurentio Chedrachabàre. et cum duxisset uxorem regis Gallorum filiam, veneno interemptus est priusquam nuptias celebrare quivisset: nam mortuus est antequam uxor in regnum eius veniret. hoc e numero viventium subtracto dissensio inter Pannoniae proceres exorta est. at in ea discordia victores evasere filii Choniatis. Orlichus enim princeps regionis in Pannonia haud poenitendae, cui intercesserant inimicitiae cum Choniate adhuc superstite, censebat filios Choniatis non in senatoria dignitate collocandos, ut quorum pater maximarum ipsis contra Turcos dimicantibus auctor calamitatum extiterit. Pannones contra impium ducebant Choniatis filios regno et magistratu expelli. filii igitur Choniatis insurgentes contra Orlichum, in curia caput eius amputarunt et abierunt. factum hoc Pannones indignissime ferebant, et Choniatis filium in vincula coniecerunt; et quo maiore custodia asservaretur, vinctum Belgradum deportarunt. verum is haud multo post effecit ut vinculis exemptus in regiam dignitatem subveheretur. nam rex creatus

καὶ χρήμασι πολλοῖς διαπραξάμενος καὶ ἀνακτώμενος, στρατόν τε ὡς μέγιστον τῶν κατὰ τὴν Παιόνων χώραν τρέφων, ἐπὶ τὴν βασιλείαν τῶν Παιόνων χωρῆσαι. Ἰλόκης μὲν καὶ πρῶτα Χωνιάτῃ διαφερόμενος, καὶ ὕστερον τῷ παιδὶ αὐτοῦ ἐς τὴν βασιλείαν παρεληλυθότι διενεχθεὶς οὐκ ἐσακούειν οὐδὲ πείθεσθαι ἤθελε, μετὰ ταῦτα δὲ συνέβη αὐτῷ ἐπὶ ῥητοῖς καὶ ἐπείθετο. οὕτω δὴ ὁ ἐπὶ τοῦ Χωνιάτου παῖς, ἐς τὸν νεώτερον περιελήλυθεν ἡ Παιόνων ἡγεμονία. καὶ πρὸς βασι-
B λέα Ῥωμαίων Ἄλβερτον ἐπολέμει, μεγάλα ἀποδεικνύμενος ἔργα, καὶ Βράγαν τε καὶ Βοέμους ὑπηγάγετο, ὥστε οἱ ἄμφω τὰς ἡγεμονίας ὑπηκόους γενέσθαι.

Ὥρμητο δὴ οὖν, ὡς καὶ πρότερόν μοι δεδήλωται, ὁ αὐτοκράτωρ οὗτος Ἄλβερτος ἐπὶ Τούρκους καὶ Μεχμέτη στρατεύεσθαι, καὶ παρασκευασάμενος στρατὸν ἐπρεσβεύετο πρὸς τοὺς Παίονας ὥστε δοθῆναί οἱ δίοδον διὰ τῆς χώρας αὐτῶν, καὶ ἀγορὰν παρέχεσθαι αὐτῷ τοὺς Παίονας προαγορεύων. οἱ δὲ ἐπιλεγόμενοι ἐν σφίσιν αὐτοῖς, ὡς ἢν ἐπικρατήσωσι τῆς Θράκης καὶ ἐπὶ μέγα χωρήσῃ δυνάμεως, ἐπανιὼν καταστρέ-
C ψεται σφᾶς, οὐκ ἔφασαν διδόναι αὐτῷ ἑκόντες εἶναι διεξιέναι διὰ τῆς χώρας. οἱ μὲν δὴ οὕτω λέγουσι γενέσθαι· οἱ δὲ αὖ λέγουσι τοὺς Παίονας ἀποκρίνασθαι τῇ μὲν πρεσβείᾳ λόγους ἐπιεικεῖς, ὑποστρεφόντων δὲ τῶν πρέσβεων ὑπείσαντας

22. ὑποίσαντες P.

est, adiutus fideli opera paternorum amicorum. etiam plurimum ad regnum parandum contulit, quod opibus exercitum sibi conciliavit, eumque in Pannonum regione aluit. et in hunc modum insigne regiae dignitatis decus acquisivit. Iloces cum iam antea discordiam fovisset adversus Choniatem, et deinde inimicitias suscepisset cum filio eius qui regno potitus erat, recusabat novo regi obedire. verum non multo post cum intercessisset pactum, regis imperium admittebat. in hunc modum regnum delatum est ad Choniatis filium iuniorem. hic bellum gerebat cum Alberto Romanorum imperatore, magna edens ubique militaris virtutis opera. Pragam et Boemiam subegit, ut iam utraque regna ei parerent.

Albertus Romanorum imperator in animo habebat armis petere Mechmetem Turcorum regem. contractis igitur copiis legationem mittebat ad Pannones, petens ut se sinerent suas copias per ipsorum regionem ducere, et commeatum praeberent. Pannones autem comitiis habitis inter se collocuti erant, si domuisset Thraciam et magnam potentiam sibi peperisset, fore ut reversus etiam Pannoniam subigere conaretur. quapropter responderunt se nequaquam voluntarios transitum per suam regionem praestare. quidam perhibent Pannones sic

ἄνδρας κατὰ τὴν ὁδόν, ᾗ ἔμελλον διεξιέναι, ἀνελεῖν αὐτοὺς ἅπαντας, καὶ οὕτω τραπομένου τοῦ αὐτοκράτορος Ῥωμαίων ἐς τὴν τῶν πρέσβεων ἔρευναν αὖθις ἐς πόλεμον καταστάντας φέρειν ἀλλήλους. ταῦτα μὲν δὴ οὕτω γενέσθαι λέγεται ἀπὸ τῶν Παιόνων ἐς τοὺς Γερμανούς τε καὶ αὐτὸν βασιλέα Ἄλβερτον.

Ταῦτα μὲν ἐν ἔτεσι πάνυ ὀλίγοις ἐγένετο. διὰ δὴ ταύ-
την τὴν διαφορὰν γενέσθαι τὴν ἐν Μαντύῃ τοῦ Ῥωμαίων
ἀρχιερέως δίαιταν προσκαλεσάμενον τῶν τε Ἰβήρων καὶ Κελ- D
τῶν βασιλέων καὶ ἡγεμόνων καὶ Γερμανῶν καὶ Παιόνων καὶ
τῶν κατὰ τὴν Ἰταλίαν ἡγεμονιῶν καὶ πολιτειῶν. καὶ ἐπεξελ-
θὼν ἀπὸ τῆς Ῥώμης ἐς Μαντύην τὴν σύνοδον ἐποιεῖτο, ᾗ
δὴ συνελέγοντο ἅπαντες οἱ τῶν ἑσπερίων βασιλέων τε καὶ
ἡγεμόνων πρέσβεις. προὐθετο περὶ τῆς Μεχμέτεω βασιλέως
Τούρκων καθαιρέσεως, καὶ ἐκέλευε γνώμην ἀποφαίνεσθαι ἕνα
ἕκαστον τῶν παρόντων πρέσβεων ὑπὲρ τῶν σφετέρων βασι- V. 178
λέων τε καὶ ἡγεμόνων. καὶ ὑπέσχοντο δὴ ἐνταῦθα οἱ μὲν
αὐτῶν χρήματα οἱ δὲ καὶ ἄνδρας συμβαλέσθαι ἐς τὸν πόλε-
μον τόνδε. ἔνθα δὴ τὴν δεκάτην τῶν προσόδων ἐδέδοκτο P. 228
κοινῇ ἐξελέσθαι πάντων τῶν εἰς τὴν ἱερατείαν τελούντων, καὶ
ἅττα δ' ἂν τῶν χρημάτων συναθροισθῇ, ἐς τὸν πόλεμον τοῦ-
τον ἀποτάττεσθαι, καὶ οὕτω ἄνδρας ἐς τὰ τοιαῦτα ἐτάξαντο.

4. ἄγειν καὶ φέρειν? 9. πρέσβεις προσκαλεσαμένου? 16. ὑπὸ P

decrevisse. verum sunt qui tradant Pannones benigne respondisse legatis. caeterum legatis revertentibus ad regem, a quo missi erant, subornarunt viros qui eos in via qua profecti erant, ex insidiis adorirentur et necarent. quod quidem contigit. imperator cum ad inquisitionem legatorum converteretur, effecit ut iterum bellum inter ipsos exoriretur et graviter se mutuo affligerent. at haec quidem a Pannonibus contra Germanos et Albertum imperatorem facta esse traduntur; quae profecto paucis annis intercedentibus contigere.

Propter istam discordiam ferunt Romanum pontificem Pium II Mantuae egisse, vocantem Iberorum et Gallorum reges et duces magistratusque per Italiam, praeterea duces Germanorum et Pannonum. egressus Roma Mantuam, quo concilium indixerat, id ibidem concelebrabat. huc conveniebant Occidentalium regum et principum legati, et consultabatur quomodo Turcorum rex Mechmetes foret debellandus. singulos legatos regum et principum, quorum auctoritate missi erant, sententiam expromere iubebat. quidam pecuniam, quidam milites se in eam expeditionem collaturos pollicebantur. Decretum est ut decimae redituum omnium, et quinquagesima pars eorum quae

μετὰ δὲ ἐδόκει τοὺς Γερμανοὺς τοῖς Παίοσι διαλλάξαι, καὶ ἐπιπέμποντες ἄνδρα τῶν παρὰ σφίσιν ἐλλογίμων τὰ πρῶτα φερόμενον, Βησσαρίωνα καρδινάλιον τὸν ἀπὸ Τραπεζοῦντος, ἐπρεσβεύοντο παρ' ἀμφοτέρους, ὥστε διαλλάξαι τούτους ἀλλήλοις καὶ τὰς διαφορὰς καταλύειν. καὶ ἄλλους ἄλλῃ διέ- B πεμπον ἐπὶ τοῖς παροῦσι πράγμασι, παρακαλοῦντες συμβαλέσθαι ἐς τὸν ἐπὶ τοὺς βαρβάρους πόλεμον.

Ταῦτα μέντοι τῷ Πίῳ ἀρχιερεῖ ἐπεποίητο ἁμιλλωμένῳ ἐς τοὺς προτέρους αὐτοῦ ἀρχιερεῖς. καὶ γάρ τοι καὶ ὁ Νικόλεως ἁλούσης τῆς Βυζαντίου πόλεως σύνοδον ἐποιεῖτο, προτρεπόμενος τοὺς πρὸς ἑσπέραν ἡγεμόνας ἐπὶ τὸν βάρβαρον, καὶ λόγον συχνὸν ποιούμενος παρεκάλει. οὐ πολλῷ δὲ ὕστερον ἐτελεύτησεν, ἀτελῆ καταλιπὼν ταύτην αὐτῷ τὴν ἀπόδειξιν. τοῦ δὲ Εὐσεβίου ἀρχιερέως μετὰ Νικόλεως τὴν ἡγεμονίαν παραλαβόντος, ὅρκον ποιήσασθαι ἰσχυρότατον, καὶ ἐν γραφῇ παραδιδόντα, ἀρτύεσθαι μὲν ναυτικὸν ἀπὸ Νεαπόλεως. C τὸν γάρ τοι Ἀλφόνσον στρατηγὸν ἑλέσθαι ἐς τὸν ἐπὶ τοὺς βαρβάρους πόλεμον. καὶ ταύτην ἀνελομένου τοῦ Παρθενόπης βασιλέως, ἐκπέμψαι τριήρεις δέκα ἐπὶ τὴν τῶν βαρβάρων χώραν, ὥστε ἀρχὴν ποιούμενος τῆς ἐξόδου. ταύτας μέντοι τὰς ναῦς, καὶ οὐδὲν ὕστερον πλείους, ξυνέβη ἀφικέσθαι ἐς Ῥόδον, καὶ ταύτῃ ὁρμισαμένας ἐντεῦθεν ὡρμῆσθαι ἐπὶ τὴν

14. Νικόλεω P

ad clerum redirent, in istam expeditionem contribuerentur. ordinatum est ut pecunia quae hinc colligeretur reconderetur. necnon viri huic negotio destinati sunt. secundum haec conclusum est ut Germani cum Pannonibus in gratiam redirent. miserunt ad concordiam istam constabiliendam Bessarionem cardinalem Trapezuntium, qui princeps eius legationis facile omnes excellebat. missi sunt utrinque legati, quorum opera concordia inter ipsos componeretur et discordia pelleretur. legati quidem alii alio ire iussi sunt, ut reliquos cohortarentur ad capessendum bellum contra Turcos.

Haec quidem sub Pio pontifice contigerunt, cum eniteretur nequaquam antecessoribus suis esse inferior. etenim capta Cpoli concilium agitabat Nicolaus V, et longa oratione habita Occidentales principes hortabatur ut bellum barbaro inferrent. verum haud multo post obiit mortem, cum ea adhortatio hauddum ad rem esset collata. Eusebius autem sive Pius ubi pontificatum suscepit, se ipse gravissimo iureiurando illigavit, et literis significavit ut classis Neapoli pararetur ad Turcicam expeditionem. nam Alphonsus creatus erat dux contra barbaros. literas has ubi accepit Parthenopes rex, triremes decem in barbarorum regionem misit, initium faciens Turcici belli.

βασιλέως χώραν, τὴν τῆς Ἀσίας παράλιον, καὶ δῃῶσαι μὲν
ὀλίγα ἄττα τῆς βασιλέως χώρας, ἐπιπλέοντας δὲ καταστρέψα-
σθαι τὴν Λῆμνον, ἔχοντος ταύτην τοῦ βασιλέως, μετὰ δὲ
ταῦτα Ἴμβρον καὶ τὰς λοιπὰς τῶν ταύτῃ νήσων ἐν τῷ Αἰ-
γαίῳ· τὴν γάρ τοι Σκῦρον καὶ Σκόπελον καὶ τὰς ἄλλας, ὡς
ἑάλω Βυζάντιον ὑπὸ βασιλέως, ἐπὶ Οὐενετοὺς ἐτράποντο, καὶ
ἔσχον ταύτας. ἐνιαυτὸν δὲ περιπλέοντες τὸ Αἰγαῖον αὗται αἱ D
τριήρεις οὐδέν τι ἄξιον λόγου ἀπεδείκνυντο. καὶ ὡς οὐδὲν
ἔτι ἐπέπλει ἀπὸ Ἰταλίας, αὖθις ἐπέπλεον ἐπὶ Ἰταλίας, σκεδα-
σθέντες ταύτῃ ἀνὰ τὰς πόλεις.

Καὶ Εὐσεβίῳ μὲν τῷ ἀρχιερεῖ ἐς τόδε ἐτελεύτα ἡ πα-
ρασκευή· μετὰ δὲ Πίος ὁ ἀρχιερεὺς ὡς ἐπὶ τὴν ἡγεμονίαν
ἀφίκετο, τὴν ἐν Μαντύῃ δίαιταν ἐποιήσατο ἅτε δὴ κατάστα-
σίν τε καὶ σύλλογον περὶ τῶν καθηκόντων αὐτῷ πραγμάτων
ἐς τὸν ἐπὶ βασιλέα Μεχμέτη πόλεμον. Βησσαρίων μὲν δὴ
ἐπὶ Παίονας ἀφικόμενος καὶ ἐς Γερμανοὺς τά τε ἄλλα διε-
λέχθη, καὶ τὴν πρὸς ἀλλήλους διαφορὰν καταλύειν πειρώμε- p. 229
νος, οὐχ οἷός τε ἐγένετο ἐς ταὐτὸ ἄμφω ξυναγαγὼν διαλλά-
ξαι. ἀλλὰ ἄπρακτος μὲν ἀπεχώρει, ἐδόκει δ' αὐτοῖς ἀπὸ Ἰτα-
λίας ὡρμημένοις τόνδε σφᾶς ἄρασθαι τὸν πόλεμον ἀπὸ τῆς
ἠπείρου.

Ταῦτα μὲν ἐς τοσοῦτον ἐγένετο κατὰ τὴν ἐν Μαντύῃ

8. ὑπεδείκνυντο P

hae quidem solae, nec plures, appulere Rhodum. unde solventes ferebantur contra regionem regis Asiae maritimam. aliquantulum damni invexere barbari regioni: nam accedentes subiecerunt Lemnum, quam ea tempestate rex tenebat. postea in dicionem acceperunt Imbrum et reliquas Aegei maris insulas. Scyrum enim et Scopelum necnon reliquas Byzantio capto ad Venetos transiisse constat, qui eas tenuere. cum autem per integrum annum triremes illae hinc inde oberrasent, nihil sane memorabile fecerunt. praeterea cum triremes aliae nullae ab Italia submitterentur, et ipsae in Italiam rediere; et navales milites qui in illis erant, per Italiae urbes dispersi sunt.

Hunc finem habuit Eusebii sive Pii apparatus bellicus. deinde etiam Pius pontifex, ubi primum pontificatum suscepit, concilium Mantuae celebravit, in quo nihil aliud actum quam quomodo Mechmetes Turcorum imperator esset domandus. Bessarion cum ad Pannones et Germanos venisset, mandata quae acceperat iis enarravit. cum instituerat discordiam, qua inter se laborabant, dissolvere et concordiam inducere, nihil efficere quivit, quamvis in unum locum eos contraxisset. verum re infecta discedebat. tandem visum est ut ex Italia profecti Turcum terra aggrederentur.

Haec quidem hactenus Mantuae in concilio gesta sunt. nunc

δίαιταν· εἶμι δὲ ἐπ' ἐκεῖνο τοῦ λόγου ὅθεν ἐπὶ τοσοῦτον
ἐτραπόμην, ἐς τοσοῦτον διεξιὼν τὸν λόγον. τοῦ γάρ τοι ἐπι-
γινομένου θέρους ἀπέχρη μὲν τῷ βασιλεῖ Μεχμέτῃ κακῶς
πράξαντι ἐς τὴν ἐπὶ Παίονας ἔλευσιν ἡσυχίαν ἄγειν, στρα-
τεύματα δὲ ἔπεμπεν ἄλλῃ τε καὶ ἐπὶ Σκενδέρην τὸν Ἰβάνεω
V.179 παῖδα, ἐφ' ὃν δὴ καὶ ὁ πατὴρ στρατευσάμενος καταστρέψα-
B σθαι οὐχ οἷός τε ἐγένετο. Ἰησοῦν δὲ τὸν Βρενέζεω παῖδα
ἀπέδειξε στρατηγόν, παραδοὺς τό τε ἀπὸ Φερρῶν στράτευμα
καὶ τὸ παρὰ Ἀξιὸν καὶ τὸ ἀπὸ Θετταλίας. ἡγουμένου δὲ
Ἰησοῦ τοῦ Βρενέζεω ἐσέβαλλε πρὸς τὸν Ἰόνιον τῆς Μακεδο-
νίας χῶρον, καὶ ἐδῄου τὰ πολλὰ αὐτῆς. Σκενδέρης δὲ οὗτος
διαπρεσβευσάμενος πρὸς τὸν Ῥώμης τε ἀρχιερέα καὶ πρὸς
βασιλέα Ἀλφόνσον τὸν Παρθενόπης ἐπιτηδείως τε ἔσχε καὶ
συνήθως τῷ βασιλεῖ τούτῳ, δι' ἃ δὴ καὶ τὸν πρὸς βασιλέα
πόλεμον τήν τε Κρούην παρέδωκε τούτῳ τῷ βασιλεῖ καὶ ἠξίου
αὐτῷ ὑπήκοον εἶναι. ἔνθα δὴ καὶ στρατὸν πεζὸν ἱκανὸν δια-
C πορθμεύσας ὁ Παρθενόπης οὗτος βασιλεὺς ἀπὸ Ἰαπυγίας ἐς
Ἐπίδαμνον, καὶ ἄρχοντα τῶν παρ' ἑαυτῷ ἐλλογίμων ἕνα στρα-
τηγὸν [ἐπὶ] τὴν βασιλέως ἐληΐζοντο χώραν. μετὰ δὲ κατα-
στάντες ἐπολιόρκουν πολίχνην Σφετόην καλουμένην, ἐξελεῖν
βουλόμενοι. ἐνταῦθα πυθόμενος παρὰ τῶν σφετέρων Ἰησοῦς
ὁ Βρενέζεω, καὶ παραλαβὼν τοὺς ἐς τὸν Ἀξιὸν ἱπποδρόμους

8. ὑπὸ P   10. πρὸς] ἐς τὸν πρὸς?   14. καὶ] καὶ κατὰ?

tempus est ut redeam ad illum sermonem, unde ad hunc digressus sum. ea aestate quae insequebatur, praeclare secum actum putabat Mechmetes, qui inauspicato rem gesserat cum Pannonibus, quod quietem agere posset. misit igitur partem exercitus contra Scenderem Ibanis filium, quem pater, quamvis saepius eum debellare occepisset, vincere nequivit. Iosuen filium Brenezis constituit ad id bellum ducem, cui tradidit exercitum qui Pherris erat, et eum qui erat apud Axium flumen, necnon Thessaliae exercitum. duce autem Iosue incursionem faciebat versus Ionium Macedoniae, et pleraque istius depopulatus est. Scenderes legationem misit ad Romanum pontificem et ad regem Parthenopes Alphonsum: nam regi huic admodum carus et familiaris erat, quia propter bellum Turcorum imminens isti regi Croiam assignarat, eamque huic subditam esse volebat. transportavit igitur ibi rex Parthenopes Alphonsus ab Iapygia pedestrem exercitum magnum in Epidamnum, cui praefecit ducem de suis virum prudentem; et regis regionem evastabant. postea coniunctis copiis obsidebant urbem Sphetoam nominatam, volentes eam expugnare. Iosue Brenezis filius cum intellexisset in quam necessitatem venissent Sphetoenses, accipiens equites qui erant in Axio et Peresbiorum exerci-

καὶ Παραβοΐων στρατόν, καὶ τὴν ταχίστην ἐπειγόμενος ἄλλην ἢ αὐτοὶ ἐφύλαττον οἱ Ἰταλοί, καὶ ἐπεισπεσὼν ἄφνω διέφθειρε σύμπαντας τοὺς Ἰταλούς, Σκενδέρης μέντοι (ἔτυχε γὰρ ἀπὼν τότε) οὐδ' ὁτιοῦν παθὼν δεινόν. ὕστερον μέντοι οὐ πολλῷ Σκενδέρης διαβὰς ἐς Ἰταλίαν ἀφίκετο ἐς τὸν Παρθενόπης βα- D
σιλέα. καὶ αὐτὸν ὑποδεξάμενος τά τε ἄλλα ἐτίμησε, καὶ ἐς τὸν Ῥώμης ἀρχιερέα ἀπέπεμψε φιλοφρονησάμενος. μετὰ δὲ ταῦτα χρήματα ἱκανὰ παρεχόμενος αὐτῷ ἀπέπεμπεν ἐπὶ τὴν ἀρχὴν αὐτοῦ. οὗτος μέντοι ἐπανιὼν ἐπὶ τῆς χώρας αὐτοῦ ἐπέμενεν ἐπιόντα τὸν βασιλέως στρατόν, καὶ ἐρυμνὴν οὖσαν τὴν χώραν κατεῖχεν, ἔχων τε στρατὸν μεθ' ἑαυτοῦ τὸν ἀπὸ τῆς χώρας διῄει διὰ τῶν ὀρέων περιιὼν τῷ στρατῷ, καὶ τάς τε γυναῖκας καὶ παῖδας ἐς τὰ ἐρυμνὰ εἰσενεγκάμενος αὐτὸς περιῄει, ἔχων περὶ τὴν φυλακὴν τῆς χώρας, ὅποι δέοι παραγενόμενος. καὶ ὁ μὲν στρατὸς καὶ οἱ ἱπποδρόμοι ἐπέδραμον τὴν χώραν, καὶ ὑποζύγια λῃσάμενος καὶ χρόνον τινὰ συχνὸν P. 230
διατρίψας ἐπῄει πᾶσαν τὴν χώραν ἐμπιπρῶν καὶ διαφθείρων. ὡς δὲ ἱκανῶς εἶχεν αὐτῷ ἐς τὴν τῆς χώρας διαφθοράν, ὁ στρατὸς ἀπήλαυνεν, οὐδέν τι πλέον διαπραξάμενος. ὁ μὲν οὖν Σκενδέρης οὗτος ἄκραν τὴν ἐς τὸν Ἰόνιον περὶ Ἐπίδαμνον ᾠκοδόμει· χερρόνησος δ' ἐστί, καὶ ἰσθμὸς βραχὺς ἀμφὶ τρία στάδια. τοῦτον τειχίσας ἐσῴκιζεν ἐς τὴν χώραν

tum, citato agmine proficiscens (reliquam regionem custodiebant Itali) et subdito adveniens Italos omnes ad internecionem occidit. Scenderes vero, ut qui abfuisset, mali nihil passus est. nec multo post Scenderes iste venit in Italiam ad Parthenopes regem Alphonsum. qui excepit eum honorifice et benigne tractavit, eumque ad Romanum pontificem misit, ut et ab ipso aliquid honoris consequeretur. postea cum ei opes dedisset maximas, eum ad principatum suum remisit. hic igitur reversus ad principatum suum expectabat regis exercitum hostiliter adeuntem. verum se in loco tenebat munitissimo. habens autem secum exercitum quem de sua regione conscripserat, iter per montes faciebat. uxores et liberos in loca munitissima deponens, ipse hinc inde cum exercitu vagabatur, ut defenderet regionem; semperque praesens erat, ubicunque eius opera desiderabatur. et quidem copiae pedestres et equestres in Scenderis regionem incursionem faciebant, praedas pecorum et aliarum rerum agere haud cessabant. et diu in ea morantes omnia corrumpebant, cum non cunctarentur aedificia et villas incendere. tandem cum satis evastata esset regio, exercitum abduxit, cum nihil sane memorabile designasset. Scenderes quidem arcem iuxta Epidamnum, quae spectat Ionium, exaedificavit. est autem eo loci chersonesus et isthmus brevis, complectens

ταύτην οὐκ ὀλίγους τῶν Ἀλβανῶν, καὶ ἐκράτυνε τὴν πόλιν,
ὡς ἄν τι νεώτερον καταλαμβάνῃ αὐτὸν ἀπὸ τῶν βασιλέως
στρατῶν, ὡς ἐπιὼν πολιορκοῖτο ἐν ταύτῃ τῇ χώρᾳ, ἐπειδὰν
B δὲ μὴ ἀντέχειν οἷός τ' ᾖ, ἐμβησόμενος ἐς τὴν θάλασσαν καὶ
ἀποπλευσούμενος ᾗ δὴ προχωροίη. ὁ μὲν οὖν στρατὸς ἀφικόμενος ἐς τὸν χῶρον τοῦτον καὶ πειρασόμενος, ὡς οὐδὲν
σφίσι προεχώρει ἡ τῆς πόλεως αἵρεσις, ἀπήλαυνεν ἐπ' οἴκου,
καὶ τῷ ἔτει τούτῳ οὐδέν τι πλέον ἐγένετο βασιλέα Μεχμέτῃ
ἐς ἐκστρατείαν φέρον.

1457 Τοῦ δ' ἐπιγενομένου θέρους ἐπεπόμφει μὲν καὶ τῶν θυρῶν αὐτοῦ ἄνδρας ἐπιλέκτους ἐπὶ τοὺς ὑποτελεῖς αὐτοῦ ἡγεμόνας τε καὶ βασιλεῖς, ἐπικαλούμενος ἐς τὴν τῶν παίδων αὐτοῦ κάθαρσιν, μετεπέμπετο δὲ καὶ τοὺς τῆς ἀρχῆς αὐτοῦ
V. 180 ἄρχοντας τῶν πόλεων καὶ ὑπάρχους καὶ τούς τε στρατηγοὺς
C καὶ στρατιώτας, ὅσοι ἐπὶ μισθῷ στρατεύονται ἅμα τῷ βασιλεῖ. ὡς δὲ παρῆν αὐτῷ τὰ στρατεύματα ἐς Ἀδριανούπολιν,
τήν τε περιτομήν, ἣν δὴ νομίζουσι κάθαρσιν, ἐποιεῖτο τῶν
παίδων αὐτοῦ, καὶ δῶρα προσῄει αὐτῷ μεγάλα ὑπό τε τῶν
ἀρχόντων καὶ τῶν ἡγεμόνων. ὁ μέντοι σύλλογος ἐγεγόνει ἐκτὸς τῆς πόλεως ἐν τῷ πεδίῳ κατὰ τὴν νῆσον, ὑπαίθριοι δὲ
διετέλουν πλὴν βασιλέως τε καὶ ἡγεμόνων. ὁ δὲ γάμος οὗτος
νομίζεται μὲν κράτιστος τῶν ἐς τὸν βίον σφίσι περιηκόντων,

20. ὑπαίθριον P

tria stadia: hunc muro cum undiquaque esset amplexus, non paucos Albanos in eam regionem transtulit, ut ibi habitarent. praeterea urbem admodum communivit, ut si quid novi ingrueret ab regis exercitibus, ibi potius quam alibi obsideretur. nam si non posset resistere aut par esse copiis regis, superesse tutissimum effugium, videlicet ut inde se proriperet in mare et quo vellet abnavigaret. exercitus igitur regis cum accessisset ad istam regionem, nec urbem quam oppugnabat capere posset, domum reversus est. isto anno quo in militiam profectus erat contra Scenderem Mechmetes, nihil aliud actum est.

Appetente autem aestate viros de ianuis suis primarios misit ad principes et reges tributarios, quos evocabat ad liberum suorum circumcisionem, quam purgationem vocant. accersivit et regni sui principes, urbium praefectos, satrapas ducesque, et milites quotquot mercede conducti penes hunc regem stipendia faciebant. cum ad eum convenissent exercitus Adrianopolim, circumcisionem, quam ipsi purgationem putant, liberorum suorum peragebat. munera capiebat magnifica ab magistratibus et satrapis. conventus ille frequentabatur extra urbem in campo iuxta insulam. omnes sub divo agebant, praeter regem et principes. nuptiae hae (sic enim appellant quoque

καὶ παιδιὰν καθιστᾶσιν ἐν τούτῳ κατὰ δύναμιν ἕκαστος. καθίσταντο δὲ καὶ ἐς τὴν τῶν βασιλέως παίδων περιτομὴν καὶ γάμον τόνδε παιδιάν, ἄλλα τε οὐκ ὀλίγα καὶ δὴ καὶ ἄνδρες D
ὀρθοὶ ἐπὶ ἵππων, ἀνὰ κράτος ἐλαύνοντες ἐς τὸν δρόμον τοὺς ἵππους καὶ οὐδαμῶς ἐπίσχοντες ἐπειδὰν θέωσιν. ἐκεῖνο μέντοι παρήσω τῶν σχοινοβατῶν, ὡς ὑπὲρ τὰ ἄλλα γένη Τοῦρκοι δεινοί εἰσι τὴν τέχνην ταύτην, ὥστε καὶ πεπεδημένους πορεύεσθαι ἐπὶ τῶν σχοινίων, καὶ τοὺς ὀφθαλμοὺς ὑποθεῖν ἐπὶ τούτων ὡς ἂν δύνωνται ἰσχυρότατα, καὶ ἐπὶ τούτων μυρία ἐργαζομένους θαύματος ἄξια, ἐπὶ ξιφῶν διιόντας τε καὶ ὑποστρεφομένους. ταῦτα μέντοι καθ' ἑκάστην ἐς τὴν Ταχταλῆ ἀγορὰν καλουμένην ἴδοι ἄν τις γιγνόμενα, καὶ τοὺς σχοινοβάτας (γένος δέ ἐστι τοῦτο παρ' αὐτοῖς καλούμενον τάμπε- P. 231
ζιν) μετιόντας τὴν τέχνην ταύτην. καὶ παραπλήσια τούτοις ἴδοι ἄν τις καὶ ἄλλους ἐργαζομένους ἐς ταύτην τὴν ἀγοράν, ἔνθα τὰ γυμνάσια νομίζεται ταύτης τῆς πόλεως. τὸ δὲ ὑπὸ γῆν θάπτειν τὸν παῖδα, ἐκ τοῦ κἀκεῖθεν διαλεγομένους, συνιέναι τε ἂν ὅ τι ἔροιτο αὐτὸν καὶ ἀποκρίνασθαι, πῶς οὐκ ἐν θαύματι ποιοῖτο ἄν τις τοιαῦτα καθορῶν; ἀλλὰ τὰ μὲν ἄλλα ὑπὸ δυνάμεώς τινος μείζονος ἀποτελούμενα ἐλάσσω ἐστὶ τῶν διιόντων δρόμῳ ἐπὶ τῶν σχοινίων. ἐγένοντο μέντοι καὶ ἄλλαι παιδιαὶ κατὰ τὴν περιτομὴν ταύτην, ἐν ᾗ Μεχμούτης, ὁ τοῦ

15. *ἀλλήλους* P

circumcisionem) creduntur ipsis optimae eorum omnium quae ad vitam pertinent. quilibet contendit in iis nuptiis aliquod proponere ludicrum. nec pauca ludicra in circumcisione regiorum liberorum exhibentur. viri erecti, insistentes equis, nulla externa ope se tenentes, manent immoti, equis in cursum effusis. omitto commemorare funambulos. nam in ista arte Turci reliquos mortales longe superant. saltantes etenim incedunt per funes suspensos, et per eos currere possunt quam citissime. innumera quaedam alia admiratione digna faciunt, euntes super his per gladios strictos et redeuntes. haec quis quotidie cernat in foro quod Tactalem nominant, ubi et funambuli ludicra sua faciunt. hoc hominum genus penes ipsos Tampezim appellant, propter eos qui artem hanc addiscunt. his similia alia plura quis videat in isto fieri foro. gymnica certamina in ista urbe quoque frequentantur. praeterea quis non ceu miraculum quoddam admiretur puerum sub terram defodi, et eum audire respondentem ad ea quae interrogatus fuerit? verum alia quae maiore quadam virtute et potentia fiunt, minora sunt his quae per funambulos fiunt. etiam alia ludicra in ista circumcisione proposita sunt. Mechumetes regii palatii praefectus et Europae simul dux, muneribus quae in

οἴκου ἡγεμὼν καὶ ἅμα τῆς Εὐρώπης στρατηγός, τοῖς δώροις B ὑπερβάλλεσθαι πάντας, τούς τε βασιλεῖς ἅμα καὶ ἡγεμόνας τῶν θυρῶν. οὗτος δὲ ὁ Μεχμούτης, παῖς Μιχαήλου γενόμενος, Τριβαλλὸς μέν ἐστι τὰ μητρόθεν Ἕλλην δὲ τὰ πατρόθεν, καὶ παῖδα ἔτι ὄντα, σὺν τῇ μητρὶ ἰόντα ἀπὸ Νεβοπρίδου ἐς Σπενδερόβην, οἱ ἱπποδρόμοι τοῦ βασιλέως καταλαβόντες ἐν τῇ ὁδῷ . . . ἡγουμένου ἀπήγαγον πανοικὶ τούτους παρὰ βασιλέα. λαβὼν δὲ τὸν παῖδα ἐς τὸν κοιτῶνα αὐτοῦ βασιλεὺς μέγαν τε ἀπέδειξεν ἐν ἀκαρεῖ, καὶ ἱπποκόμον ἐν βραχεῖ ποιησάμενος μετὰ ταῦτα ἡγεμόνα τῶν θυρῶν ἀπέδειξεν. ἔπειτα μὲν οὖν Ζάγανον τὸν ἑαυτοῦ κηδεστὴν ἐξήλασεν ἐκ τῆς C τιμῆς, τὰ πάντα οὗτος ἐγένετο, ἐγεγόνει δὲ οἷος οὐδείς πω πρότερον ἐς τόνδε τῶν ἐπὶ ταῖς Ὀτουμανίδων θύραις ἡγεμόνων μεγάλων λεγομένων γενέσθαι. λέγεται μὲν γὰρ καὶ Χαραϊτήνην καὶ Ἁλίην τὸν παῖδα μεγάλους γενέσθαι ἔν τε ταῖς Ἀμουράτεω τοῦ Ὀρχάνεω καὶ Παιαζήτεω τοῦ παιδὸς αὐτοῦ θύραις· ἀλλ' οὐδείς πω ἐς τήνδε τὴν δύναμιν καὶ τὴν χώραν τούτου ἀφίκετο. οὗτος μὲν οὖν τὰ πρῶτα τῶν ἡγεμόνων φερόμενος ἐς τὰς βασιλέως θύρας, στρατόν τε οἰκεῖον τρέφειν ἱκανώτατος, καὶ θεράποντας ἔχειν ἐπὶ μέγα δυνάμεως ἥκοντας. Ἑλληνικοὶ μὲν παῖδες ἀπὸ Βυζαντίου ἔχειν παρ' ἑαυτῷ βασιλεῖ, ἐς μέγα ἐχώρησαν δυνάμεως. τούτων δὲ Μουράτης

10. ἐπεί τε?

regem contulit, omnes vicisse videtur, reges videlicet et Ianuarum duces. hic Mechumetes filius fuit Michaelis: materno genere Triballus, paterno Graecus erat. hunc puerum adhuc, euntem una cum matre a Neboprido (Novoberda s. Novobrodo) Senderoviam, equites regii comprehensum in itinere adduxerunt cum universa familia ad regem. rex autem accipiens puerum in suum cubiculum, magnum eum brevi declaravit virum. primo equorum regiorum curatorem eum designavit; postea ducem constituit ianuae militum. nam Zaganum affinem suum ex isto dignitatis gradu detraxerat. is tandem summus erat. brevi autem eo potentiae progressus est ut facile omnes qui unquam inter ianuarum duces praeclari extitere antecesserit. ferunt Charaitinem et Halien filium maxima auctoritate polluisse inter ianuae milites tempore Amuratis et Paiazitis: neuter tamen tantam et potentiam et regionem nactus est quantam is acquisivit. nam hic cum primas inter omnes duces ianuarum ferret, exercitum proprium alere potuit. habuit et ministros plurimos, qui et ipsi ad magnam potentiam pervenerunt. nam Graeci pueri qui Byzantio abducti erant et cum rege morabantur, magnam sibi peperere potentiam opesque magnas. inter hos erat Murates, ortus genere Palaeologorum apud Grae-

τοῦ Παλαιολόγων γένους τῶν Ἑλλήνων περιφανοῦς, καὶ Μεχ- D
μέτης ὁ Μανδρομηνοῦ παῖς μετά γε τοῦτον, ὃς ὕπαρχος V. 181
πρῶτα μὲν Ἀγκύρας τῆς Πισιδίας ἀπεδείχθη. βούλεται δὲ
Μουράτης ἐπιθυμίαν, Ἁλίης δὲ τὸν Ἡλίαν Ἑλληνιστὶ λέγοιτ'
ἄν, καὶ Ἐσὲς τὸν Ἰησοῦν καὶ Ἐμπρεΐμης τὸν Ἀβραὰμ καὶ Σου-
λαϊμάνης τὸν Σολομῶντα καὶ Ἰαγούπης τὸν Ἰωσήφ, Σκενδέρην
δὲ Ἀλέξανδρον βούλονται λέγειν. καὶ ταῦτα μὲν δὴ Ἑλληνι-
κῶς λέγοιτ' ἂν οὕτω. οὕτως καὶ Ἐλεέζην τὸν Δημήτριον καὶ
Χιτήρη τὸν Γεώργιον λέγουσι. τὰ δὲ λοιπὰ τῶν ὀνομάτων
ἀπό τε τῶν ὀρνέων καὶ Σκυθῶν τὰ τέσσαρα ταῦτα φαίνον-
ται εἶναι, οἷον Παιαζήτης Ὀρχάνης Ὀρθογρούλης καὶ Τζυ-
μισκής, καὶ τὰ παραπλήσια. ἔχουσι μὲν καὶ τόδε, ὡς τοῖς P. 232
ὀνόμασι χρῶνται ποῖ μὲν ἐλάττοσι ποῖ δὲ καὶ τιμιωτέροις,
ὡς τὸν Μουσταφᾶν Μουσπλακασίτη, Χιτήρη Χαραϊτήνην.
παραπλησίως δ' ἂν λέγοιτο καὶ τὰ λοιπὰ τῶν ὀνομάτων ἐς
τοῦτον τὸν τρόπον.

Ὕπαρχοι δὲ τυγχάνουσιν ὄντες κατὰ μὲν τὴν Εὐρώπην τριάκοντα καὶ ἕξ. τούτων δ' οἱ μείζους ἔχουσι πρόσοδον ὑπὸ τοῦ βασιλέως χρυσίου στατῆρας ἐς δισμυρίους, οἱ δ' ἐλάττους τούτων ἐς μυρίους, ἐπὶ μεῖζόν τε τούτων καὶ ἐπ' ἔλαττον. ἀνὰ δὲ τὴν Ἀσίαν σημαῖαί τε αὐτῷ τυγχάνουσιν οὖσαι, καὶ ὕπαρχοι ἐφ' ἑκάστης τεσσαράκοντα. παρὰ τούτους δὲ εἰσι τῶν πόλεων ἄρ-

6. Ἰαγούπης τὸν Ἰάκωβον καὶ Ἰωσούφης τὸν Ἰωσήφ?

cos perquam celebri. post hunc Mechmetes Mandromaei filius plurimum dignitate et opibus vigebat: qui primo praefectus Ancyrae Pisidiae declaratus est. si quis autem velit nomina ista in Graecam vertere linguam, significabit quidem Murates cupiditatem, Halies Heliam, Eses Iesum, Empreimes Abrahamum, Sulaimanes Solomonem, Iagupus Iosephum, Scenderes Alexandrum. et quidem haec Graece. pari ratione Eleezen Demetrium, Chetirem Georgium vocant. quattuor autem ista nomina reliqua, Paiazites Orchanes Orthogules Tzymisses, et his similia originem trahunt ab avibus et Scythis. etiam hoc in nominibus observant, ut quandoque diminutivis quandoque vero augustioribus utantur nominibus, ut Mustapham, Musplachasitem, Cheterem, Charaitinen. eadem et in reliquis observatur ratio.

Europa habet, quos a rege accipit, praefectos, numero triginta sex. horum qui praecipui fuerunt, capiunt stipendii nomine a rege duas myriades aureorum staterum. praefecti autem minores accipiunt myriadem aureorum staterum, plus minusve. Asiam autem distribuit in semeas sive signa. singulae semeae sive signa continent praefectos quadragenos. praeter hos etiam urbes magnae, ut Therma Scopiorum

B χοντες μεγάλων, οἷα ἡ Θέρμη, ἡ τῶν Σκοπίων πόλις, ἡ Φιλιππόπολις καὶ αἱ παραπλήσιαι. οὗτοι ἐς σημαίας τελοῦσιν οἱ ἄρχοντες, ἐς τὸν τῆς Εὐρώπης στρατηγὸν τὸν μέγαν, ὡς οἱ τῆς Ἀσίας πρὸς τὸν τῆς Ἀσίας στρατηγὸν ὑποτετάχαται ἄρχοντές τε καὶ ἡγεμόνες, καὶ ᾗ ἂν ὑφηγῶνται οὗτοι, ἕπονται οἱ τῆς Εὐρώπης τε καὶ Ἀσίας ὕπαρχοι. ὑπάρχῳ δ' ἑκάστῳ προάγοντι καὶ ἐξηγουμένῳ ἐπί τινα πόλεμον οἱ τῶν πόλεων ἄρχοντες ἕπονται κατὰ τὰ ἐπεσταλμένα σφίσιν ὑπὸ τοῦ ὑπάρχου. τὸ δὲ κράτος ἔχουσι πᾶν οἱ μέγιστοι στρατηγοὶ τοῦ βασιλέως. ἔστι δὲ πρόσοδος τουτων ὑπὸ βασιλέως μεγίστη, καὶ C ταχὺ μέγα ὄλβιοι γενόμενοι ὑπό τε τῶν ὑπάρχων καὶ τῶν ἀρχόντων τῶν ἐπὶ ταῖς πόλεσιν. ἐπὶ δὲ τῶν θυρῶν οἱ ἡγεμόνες ἔχουσι τὸ κράτος, ἀγγελιαφόροι τε ὄντες καὶ ἐφεστῶτες τῷ βασιλεῖ καὶ σύμβουλοι ἐς τὰ πράγματα τῆς ἀρχῆς· ἐς τούτους γὰρ ἡ διοίκησις τῶν προσόδων, καὶ λογίζονταί γε καὶ τοὺς θησαυροὺς τοῦ βασιλέως σφραγῖδι τῇ οἰκείᾳ ἐπισκέπτονται. μετὰ τούτους μέντοι ἐστὶν ὁ γραμματεύς, ἀγχιτάτω ἱδρυμένος ἐς τούτους, καὶ τοὺς λογισμοὺς ὑποδεχόμενος ὑπὸ τῶν ἐς τὰς προσόδους καὶ εἰσπράξεις τεταγμένων, καὶ τοῦ φόρου. καὶ οὗτος μὲν ἀπολογίζεταί τε προσόδους, καὶ ἐς τοὺς ἡγε- D μόνας τε καὶ αὐτὸν βασιλέα ἀναφέρει· ἄλλοι δὲ γραμματεῖς ἐς τὰς γραφάς τε καὶ ἐπιτάγματα τοῦ βασιλέως. ἔστι δ' ὃ

9. ἱππάρχου P 13. ἀφεστῶτες P 15. λογίζοντας?

urbs, Philippopolis et aliae, principes habent qui connumerantur signis. hi principes ad semeas sive signa pertinent, et obediunt Europae duci summo, quemadmodum Asiani principes Asiae duci summo parent. praefecti et duces, quocunque duxerint, eo sequuntur Europae et Asiae principes. quando autem satrapes ad bellum aliquod proficiscitur, urbium principes ex praescripto satrapae sequuntur auxiliares. summa potestas penes regios duces summos est, quibus etiam ab rege stipendium numeratur maximum. et in hunc modum brevi plurimas opes congregant, quas ab satrapis et urbium principibus accipiunt. inter ianuae milites maximam potestatem duces obtinent, qui legati sunt, et plerumque assessores sunt regis et consiliarii earum rerum quae ad regni curam spectant. ad hos enim pertinet redituum et tributorum administratio. rationes et thesauros regios proprio sigillo signant et confirmant. his ordine et dignitate proximus est scriba, ad quem rationes referunt redituum vectigalium et aliarum rerum, quibus id negotii iniunctum est. hic rationes omnium diligenter conficit, quas deinde regi et ducibus proponit. reliqui scribae expediunt ea quae ad scripturas caeteras et regia programmata pertinent. tributum quod rex ex Europa capit, complecti-

φόρος αὐτῷ προσιὼν ἀπὸ μὲν τῆς Εὐρώπης ἐς ἐννενήκοντα
μυριάδας στατήρων. τὸν δὲ φόρον τοῦτον εἰσπράττεται μὲν
οὐκ ἀπὸ τοῦ γένους τῶν Τούρκων ἀλλ' ἀπὸ τῶν ἀλλοφύλων
σφίσιν· οὐ γὰρ νομίζεται τοὺς ὁμοφύλους χρήματα εἰσπράσ-
σειν, ἀλλ' αὐτοὺς σὺν τῷ βασιλεῖ παρὰ σφίσι νομίζεται
στρατεύεσθαι ἐς τοὺς πολέμους, σὺν τοῖς ὅπλοις τε καὶ ἵπποις
αὐτῶν ἐσομένους ἐς τοὺς πολέμους. τὴν δεκάτην δὲ τῶν ἔρ-
γων οἱ μὲν πρὸ τοῦ βασιλέως τοῦδε οὐδέν τι εἰσέπρασσον
Τούρκους, ὅτι μὴ τοὺς ἀλλοφύλους· οὗτος δ' ὁ βασιλεὺς
τὴν δεκάτην τε εἰσπράττει καὶ ἄγει ὅποι ἂν στρατεύηται.
τὴν μὲν οὖν δεκάτην καὶ παρὰ τὸν φόρον, βοστίναν οὕτω κα- P. 233
λουμένην, ἀποφέροντες οἱ τῶν πόλεων ἄρχοντές τε καὶ ὕπαρ- V. 182
χοι καὶ στρατιῶται τόνδε φόρον ἐς τὰς θύρας. νομίζεται καὶ
προβάτων τὴν νομὴν ὅσην ἀποδίδονται, ἐς τὰς βασιλέως θύρας
ἀπάγεσθαι. ταῦτα μέντοι ταύτῃ τέτακται ἐς τὰς προσόδους
τῶν τε ἀρχόντων καὶ τοῦ βασιλέως. παρὰ δὲ τὸν φόρον δα-
σμοί εἰσιν ἀνὰ τὴν Εὐρώπην τε καὶ Ἀσίαν ἀποτεταγμένοι τῷ
βασιλεῖ οὐκ ὀλίγοι, ἀπό τε τῶν ἱππέων καὶ καμήλων καὶ
ἡμιόνων καὶ βοῶν· καὶ ἔστιν αὕτη πρόσοδος ἀμφὶ τὰς τριά-
κοντα μυριάδας. ἐπὶ τούτοις δὲ ἡ τῶν ἐνοίκων πρόσοδος με-
γάλη τυγχάνει οὖσα τῷ βασιλεῖ, ἐν πέντε καὶ εἴκοσι μυριά- B
σιν. ἀπὸ δὲ τῶν τοῦ βασιλέως φορβῶν τε καὶ καμήλων καὶ
ἡμιόνων, ἁπανταχῇ τῆς χώρας ἐπινεμομένων αὐτοῖς, εἰσὶν

7. ἑπομένους?

tur nonaginta myriades staterum aureorum. tributum hoc non ab Turcis, verum ab alienigenis exigitur. nec enim fas ducunt ut Turci tributum inferant: verum horum officium est ut equis armisque instructi una cum rege in militiam proficiscantur. nec etiam operum decimas antecessores regis huius ab Turcis exegerunt, verum hoc exactionis onere usi sunt erga alienigenas. caeterum hic rex decimas exposcit, et subditos, quo vult, educit in expeditionem. decimas quoque praeter tributum, quod Boscinam vocant, solvunt urbium principes, praefecti militesque. is autem reditus ianuae militibus assignatur. etiam ovium greges, qui tributi nomine dantur, in ianuas abduci oportet. haec quidem in hunc modum, quantum attinet ad principum regisque reditus. praeter tributum etiam vectigalia non modica per Asiam et Europam habet rex, quae capit ab equis camelis mulis et bobus. hic reditus continet circiter triginta myriades aureorum. huc accedit reditus quem inquilini solvunt, qui admodum magnus est et viginti quinque myriades complectitur. ab armentis equarum camelorum et mulorum, quae regis sunt et undique per regionem pascuntur, reditus accedit, cuius summa est circiter quinque

ἀμφὶ τὰς πέντε μυριάδας. ἀπό τε τῆς τῶν ἄλλων προσόδων προσίοι ἂν αὐτῷ ἐς εἴκοσι μυριάδας. καὶ ἀπὸ τῶν ἐμπορίων καὶ τοῦ πορθμοῦ καὶ μετάλλων καὶ ὀρύζης καὶ χαλκοῦ καὶ στυπτηριῶν καὶ πενταμοιρίας τῶν ἀνδραπόδων μεγίστη ἂν λογιζομένοις εὑρίσκοιτο ἡ πρόσοδος. ἀπὸ μέντοι τοῦ πορθμοῦ καὶ ἀπὸ Φάρου ἐς εἴκοσι μυριάδας εὑρίσκω ἀναπυνθανόμενος. τῶν δὲ μετάλλων οὐκ ὀλίγη αὐτῷ ἐπιγίνεται πρόσοδος, ἐς δέκα μυριάδας. ἀπὸ δὲ ὀρύζης καὶ τῶν ἄλλων τῶν ἐς C τὰς θύρας τεταγμένων προσόδων τοῦ βασιλέως, ἃς δὴ χάσια ποιοῦνται οἱ τῶν θυρῶν, ἐς εἴκοσι μυριάδας λογιζόμενος οὐκ ἀποτυγχάνοιμ' ἂν τοῦ εἰκότος· χάσια γὰρ ἀνὰ τὴν Ἀσίαν τε καὶ Εὐρώπην αὐτῷ ὡς πλεῖστά τε καὶ ἄριστα. τούτοις δ' ἔπεστιν αὐτῷ ὁ τῶν ἡγεμόνων τε καὶ βασιλέων φόρος τῶν τε ὁμοφύλων καὶ ἀλλοφύλων σφίσιν, ἐπιγενόμενος ἐς δέκα μυριάδας. οὕτω δὲ γένοιτ' ἂν ἡ πρόσοδος τῷ βασιλεῖ, ὅση παραγίνεται αὐτῷ ἐς τὰς θύρας καὶ ἐς τὸν χασνὰν καλούμενον τοῦ βασιλέως, ἀμφὶ τὰς τετρακοσίας μυριάδας χρυσίου στατήρων. ἔστι δὲ παρὰ ταύτας πρόσοδος ἄλλη βασιλέως ἀπὸ τῶν ἀρχόντων, ἔαρος ἐπιγινομένου, ἐπειδὰν ἐξελαύνῃ βασιλεὺς στρατηλατῶν, ὑπό τε τῶν ὑπάρχων τε καὶ στρατηγῶν καὶ ἡγεμόνων D καὶ ἀρχόντων δῶρα νομιζόμενα κατὰ τὴν ἑκάστου πρόσοδον τῷ βασιλεῖ ἐς τὴν ἐξέλασιν. καὶ ἔστι μέντοι τοιαύτη πρόσο-

6. δάδου P 22. μὲν ἡ τοιαύτη?

myriades. à reliquis autem reditibus accipit circiter viginti myriades. quin etiam maximus reditus venit ab emporiis, traiectu, metallis, oriza, aere, alumine et quinta parte mancipiorum. non dubium est quin is maximus sit, si quis eum ad calculos revocet. traiectum et Pharum circiter viginti myriades suppeditare comperi. reditus metallorum, qui nec ipse modicus est, attingit decem myriades. ab oriza et reliquis vectigalibus, quae ianuae milites exigunt et in chasia secernunt, reditus colligitur, si quis rationem ineat, qui tenet viginti myriades: plurima enim chasia et optima per Europam et Asiam habentur. huc accedit tributum principum et regum, quod pendunt tam indigenae quam alienigenae; id habet circiter decem myriades. summa itaque universorum redituum, quos modo memoravimus, et ad regem et ad ianuae milites referuntur et ad eius chasnam sic dictam, complectitur circiter quadringentas myriades aureorum staterum. est praeter enarrâtos reditus et alius, quem ferunt tempore veris, quando in militiam proficiscitur rex, praesides duces praefecti, solennia munera pro singularum facultatum modo afferentes. is reditus expeditioni inservit. nec tamen hic reditus in certum numerum redigitur: verum si quis rem sedulo excutiat, inveniet istum reditum continere

δος οὐ τεταγμένη, ἀλλὰ στοχαζομένοις ἐς εἴκοσι μυριάδας γέ-
νοιτ' ἂν αὐτῷ χρήματα. ταῦτα μέντοι ἐς τὸν χασνὰν τὰ βα-
σιλέως χρήματα παραγίνεται, ἀφ' ὧν μισθοῦται τούς τε νεή-
λυδας καὶ τοὺς τῶν θυρῶν καρίπιδας σιλικτάριδας ἀλλοφα-
τζίδας τε καὶ σπαχίδας καλουμένους, καὶ ἐς τοὺς λοιπούς,
ὅσοι τῶν θυρῶν ὄντες τριμηναῖον λαμβάνουσι τὸν μισθόν.
ἄνευ δὲ ταύτης τοῦ βασιλέως προσόδου, οἱ ἀνὰ τὴν ἀρχὴν
ὕπαρχοί τε καὶ ἄρχοντες καὶ στρατηγοὶ καὶ τιμαράτοι κα-
λούμενοι μεγίστην ἀποφέρουσι τὴν πρόσοδον ἀπὸ τῆς βασι- P. 234
λέων χώρας. καὶ λογίζεσθαι μὲν οὐ πάνυ ῥᾴδιον, πλὴν τῶν
τοῦ βασιλέως γραμματιστῶν, ᾗ δὴ ἐπυθόμην, γένοιτο δ' ἂν
σύμπασα αὕτη ἡ πρόσοδος τῶν ἀνδρῶν, ὅσοι μισθὸν λαμβά-
νουσιν ἀπὸ τῆς τοῦ βασιλέως χώρας, ἐς ἐννακοσίας μυριάδας
χρυσίου. ἑνουμένη δὲ αὕτη ἡ πρόσοδος τῇ προτέρᾳ, ἥτις ἐς
τὰς βασιλέως παραγίνεται θύρας, γένοιτ' ἂν σύμπασα ἡ τῆς
βασιλέως χώρας πρόσοδος, ὅση ἐς τοὺς ἄρχοντας αὐτοῦ ἀφι-
κνεῖται καὶ ὅση ἐς τὰς θύρας, ἐς χιλίας τε καὶ τετρακοσίας
μυριάδας χρυσίου, στατῆρας τῶν Οὐενετῶν. αὕτη μὲν πρό-
σοδος, ὅσα γε ἐς ἡμᾶς εἰδέναι, παραγίνεται τῷ βασιλεῖ καὶ
τοῖς ὑπηκόοις αὐτοῦ.

circiter viginti myriades. hae quidem regis pecuniae comportantur ad chasnam, ex quibus deinde stipendium accipiunt peregrini et ianuae milites, Caripides, Silictarides, Allophatzides, Spachides, et reliqui qui ad ianuas pertinent et trimestre stipendium accipiunt. superest et alius reditus, quem uberrimum capiunt per universum regnum principes et duces et hi qui Timarati vocantur. is redit ex regione regis, nec facile a quovis (sic enim accepi) quam a regiis scribis computari potest. summa autem redituum quos viri accipiunt quibus merces ordinata est ab regis regione, excurrit usque ad noningentas myriades auri. hic reditus si addatur illi qui ad ianuae milites defertur, universorum redituum, qui ad ianuae milites et ad principes redeunt, summa excrescit usque ad myriades mille et quadringentas aureorum staterum Venetorum. tantus quidem reditus ad regem et subditos eius refunditur.

ΛΑΟΝΙΚΟΥ ΧΑΛΚΟΚΟΝΔΥΛΟΥ

ΑΘΗΝΑΙΟΥ

ΑΠΟΔΕΙΞΙΣ ΙΣΤΟΡΙΩΝ Η ΕΝΑΤΗ

LAONICI CHALCOCONDYLAE

ATHENIENSIS

HISTORIARUM

DE ORIGINE AC REBUS GESTIS TURCORUM

LIBER NONUS.

P. 235 Ὡς δὲ ἐπὶ Πελοπόννησον πέμπων ἄνδρας τῶν θυρῶν Μεχ-
V. 183 1458 μέτης ὁ Ἀμουράτεω ἠξίου τὸν φόρον οἱ ἀποδίδοσθαι, φοιτῶντες δὲ τοῦ βασιλέως ἄνδρες οὐδὲν ὑγιὲς εὕρισκον τῶν Ἑλλήνων, καὶ οὔτε τοὺς Ἀλβανοὺς κελεύοντας εἰσφέρεσθαι ἐς τὸν φόρον οὔτε τοὺς Πελοποννησίους, καὶ αὐτοὺς δὲ ἰδίᾳ τοὺς ἡγεμόνας διαφερομένους σφίσιν ἐς τὰ πράγματα κακοδαιμονιᾶν, συνεχώρει μὲν τὸν ἐπίτριτον φόρον ἀπάγοντας ἴσχειν αὐτῷ εἰρήνην, ὡς δὲ καὶ ἠμέλουν ἀγνωμοσύνῃ χρώ-

Mechmetes Amuratis filius misit viros quosdam de ianuis in Peloponnesum, petitum tributum. verum regii, ubi in Peloponnesum venerunt, nihil sani inter Graecos reperiunt. proinde nec Albanis nec Peloponnesiacis imperant ut tributum solvant. cum autem cerneret rex duces Peloponnesi privatis certare odiis, malo genio impulsos, ut tandem se resque perditum irent, tertium remisit tributum, saltem id quaerens, ut in praesentia pacem, quae convenisset, bona fide

μενοι καὶ σκαιότητι, ὥρμητο ἐπὶ Πελοπόννησον στρατεύεσθαι. καὶ Μαχμούτην μὲν τὸν Μιχαήλου παῖδα, ἡγεμόνα τε ἅμα τῶν θυρῶν καὶ στρατηγὸν τῆς Εὐρώπης, ἔπεμψεν ἐπὶ τὸν P. 236 Ἴστρον, ὡς ἂν εἴ τι νεώτερον ἀπὸ Παιόνων καταλαμβάνῃ, ὑποσταίη τε ἀντιασόμενος καὶ διακωλύῃ τούτους τὴν χώραν βλάπτειν τὴν ἑαυτοῦ ἐπιόντας. οὗτος μὲν παραλαβὼν τὸ τῆς Εὐρώπης στράτευμα, ἐς ὀκτὼ μυριάδας, ἤλαυνεν ἐπὶ Τριβαλλοὺς τοὺς παρὰ τὸν Ἴστρον χώραν νεμομένους. ὁρμώμενος δὲ ἐντεῦθεν ὡς οὐδὲν ἐπυνθάνετο νεώτερον ἀπὸ Παιόνων, κατεστρέφετο τὴν Ἰλλυριῶν χώραν, καὶ πολίσματα μὲν ἔστιν ἃ ἑλὼν κατὰ κράτος ἠνδραποδίσατο. μετὰ δὲ ὡς ἐπέδραμε τὴν Ἰλλυριῶν χώραν, διέτριβεν αὐτοῦ ταύτῃ παρὰ B τὸν Ἴστρον ἔχων ἀμφοῖν τῇ φυλακῇ τῶν πόλεων. οὗτος μὲν οὖν ἀμφὶ ταῦτα ἔχων διεγένετο· βασιλεὺς δὲ παραλαβὼν τό τε Ἀσιανὸν στράτευμα καὶ ἑῷον καὶ Εὐρώπης, τὸ ἀπὸ Θετταλίας τε καὶ Μακεδονίας, καὶ ἔχων καὶ τὰς θύρας, ἐστρατεύετο ἐπὶ Πελοπόννησον. ὡς δὲ εἰσέβαλε καὶ ἐντὸς τοῦ Ἰσθμοῦ ἐγένετο, ἐπελαύνων αὐτίκα τὴν Κόρινθον ἐπολιόρκει. περιιὼν δὲ ἐπεσκόπει ὡς ἂν τὸ τεῖχος καθελὼν τηλεβόλοις ἐσπεσεῖται ἐς τὴν πόλιν ἅμα τῷ στρατῷ. καὶ τηλεβόλους μὲν αὐτοῦ ποιεῖσθαι κατέλιπε, καὶ τὸν ἑῷον στρατὸν περικαθήμενον τὴν πόλιν πολιορκεῖν (ἐδόκει γὰρ αὐτῷ τοὺς τηλεβόλους C

13. ἀμφὶ τὴν φυλακὴν? 18. ἀπελαύνων P

servarent. ut vero id facere neglexere, nescio qua imprudentia et iniquitate usi, Peloponneso arma inferre decrevit. Machmutem Michaelis filium, quem ianuarum principem et Europae ducem designarat, ad Istrum praemisit, ut si quid rerum novarum molierentur Pannones, eos criminando a coeptis deterreret: sin in hunc modum parum proficeret, accedentes non sineret evastare regionem eius. is assumpto Europae exercitu, qui complectebatur circiter octo myriades militum, profectus est contra Triballos, qui habitant iuxta regionem Istro affusam. cum autem deprehenderet Pannones nihil innovare, verum quietem amplecti, Illyrium subigere aggressus est; et oppidula, quae vi ceperat, diripuit. postquam in Illyrium copias duxit, ibi castra prope Istrum communivit, ut urbes regis ibi sitas custodiret et ab hostili incursione defenderet. hic quidem, quemadmodum indicavi, hoc negotii sibi desumpsit. rex accepto Asiano et Orientis exercitu, necnon Europaeo, quem ab Thessalia et Macedonia conscripserat, et ianuarum robore, contra Peloponnesum profectus est. ut in Peloponnesum et intra Isthmum pervenit, continuo obsidione circumdedit Corinthum. circumiens autem spectabat qua parte murum bombardis prorueret, ut eo disiecto simul cum suis in urbem irrum-

αὐτοῦ ἐνταῦθα ποιεῖσθαι, καὶ τὴν πόλιν ἅμα ἐκπολιορκηθή-
V. 148 σεσθαι λιμῷ), αὐτὸς δὲ ἐντὸς τῆς Πελοποννήσου γενόμενος
διὰ Φλιοῦντος ἐπορεύετο. ἐς δὲ τὴν Κόρινθον οἱ Ἕλληνες
οὔτε ἐσεκομίσαντο τὸν σῖτον ὅτι μὴ ὀλίγον (Λουκάνης γὰρ
ἦν ἁρμοστὴς ὁ Λακεδαιμόνιος ἀπόντος τοῦ Ἀσάνεω) οὔτε
ἐς τὴν φυλακὴν τῆς πόλεως διέθεντο ἱκανῶς, ὥστε ἀντέχειν
ἐπὶ χρόνον τῷ βασιλέως στρατῷ. Ἀσάνης μὲν οὖν οὐ πολλῷ
ὕστερον, ὡς ἐπυνθάνετο τὴν πόλιν πολιορκεῖσθαι ὑπὸ τοῦ
Ἀσιανοῦ στρατοπέδου, ἔχων περὶ αὐτὸν ἄνδρας ἱκανούς, ὁρ-
μώμενος ἀπὸ Ναυπλίου τῆς Οὐενετῶν πόλεως, καὶ διὰ θα-
D λάσσης ἐπὶ τὸν Κεγχρεῶν λιμένα ἀφικόμενος νυκτός, λαθὼν
τὸν στρατὸν τοῦ βασιλέως ἐσῆλθεν ἐς τὴν πόλιν αὐτός τε
καὶ οἱ ἀμφ' αὐτόν, καί τινα βραχὺν σῖτον εἰσεκομίσαντο.
βασιλεὺς μὲν οὖν ἐς Φλιοῦντα ἀφικόμενος Ταρσόν τε τὴν
πολίχνην ἐπολιόρκει· Δοξίης δὲ ὁ τῆς Φλιοῦντος τῶν Ἀλβα-
νῶν προεστώς, τούς τε ὑπ' αὐτῷ ὄντας καὶ τοὺς τῆς Φλιοῦν-
τος ἄνδρας εἰσενεγκάμενος ἔς τι ἐρυμνὸν ἐς τὰ μάλιστα χω-
ρίον, παρεσκευάζετο ὡς ἀμυνούμενος. τὸν γάρ τοι Ταρσὸν
ὁ βασιλεὺς παρεστήσατο ὁμολογίᾳ, καὶ παῖδας λαβὼν ὡς
τριακοσίους καὶ ἄρχοντα ἐπιστήσας τοῖς ἐν τῇ πόλει προῄει
P. 237 διὰ τῆς μεσογαίου. πορευόμενος δὲ τρέπεται ἐπὶ τὴν πόλιν,
ἣ κεῖται ἐπὶ ὄρους ὑψηλοῦ τε καὶ ἐρυμνοῦ, ἐς ἣν πολλοί τε

1. αὐτοῦ] αὐτῷ P

peret per loca ruinis patentia. et quidem eo loci bombardas fundere omisit. verum iussit ut exercitus Orientalis omni a parte urbem circumsederet, eamque tandem fame expugnaret. nam urbe ea occupata sperabat se maximum bellicarum machinarum seu bombardarum apparatum acquisiturum. Ipse cum intra Peloponnesum accessisset, recta per Phliuntem iter faciebat. Graeci autem ne tantillum quidem frumenti Corinthum congesserant. nam Lucanes, praefectus Spartanus, absente Asane eam regebat. praeterea nec urbem satis praesidiis et propugnaculis munierant, ut vel brevi tempore resistere possent regio exercitui. Asanes quidem haud multo post cum accepisset urbem obsidione premi ab Asiano exercitu, ducens secum viros plurimos, profectus Nauplio Venetorum urbe, et mari in Cenchreensem portum advectus, noctu ingressus est urbem, apportato commeatu sane exiguo, inscio exercitu regis. rex cum venisset Phliuntem, Tarsum urbem oppugnabat. Doxies autem, qui iussu Albanorum Phliuntis erat praefectus, eos quos imperio regebat, necnon Phliuntis cives, in locum quendam munitissimum contraxit, et statuebat regi resistere. Tarsum rex in dicionem acceperat; et sumens inde pueros circiter trecentos, et civibus praefectum constituens, recta per mediterraneam

τῶν Ἑλλήνων ἅμα καὶ Ἀλβανῶν συλλεγόμενοι παρεσκευάζοντο ὡς πολιορκησόμενοι. καὶ ὕδατι μὲν οὐκ ἐχρῆτο ἀφθόνῳ ἡ πόλις, ὅτι μὴ ἐκτὸς τῆς πόλεως, ἀφ' οὗ ὑδρεύεσθαι ᾤοντο καὶ μὴ ἀφαιρεθήσεσθαι ὑπὸ τῶν πολεμίων, συμβαλλομένου τοῦ χωρίου ἐς τὸ ἀμύνασθαι ἰσχυρότατα ἐντεῦθεν. ὁ μὲν οὖν βασιλεὺς ἀπελάσας σὺν τοῖς νεήλυσι τοῦ τε ὕδατος ἐπεκράτησε, καὶ ἐξεπολιόρκει τὴν πόλιν. λέγεται δὲ ἐνταῦθα τοὺς ἐν τῇ πόλει κτείνοντας τὰ ὑποζύγια τῷ αἵματι φύρειν τε τὰ ἄλφιτα καὶ ἕψειν τὸν ἄρτον. ὡς δὲ δίψει συσχεθέντες ἐν ἀπόρῳ ἐγίγνοντο, B ἐτράποντο μὲν ἐπὶ ὁμολογίαν καὶ πρέσβεις ἔπεμπον ἐπὶ ὁμολογίᾳ. ἐνταῦθα ὀλιγωρούντων τῶν ἐν τῇ πόλει περὶ τῶν φυλακῶν τῆς πόλεως διὰ τοὺς πρέσβεις, κελεύοντες οἱ νεήλυδες εἰσέπεσον καὶ εἰσεχέοντο ἐς τὴν πόλιν καὶ κατέσχον καὶ τήν τε πόλιν κατὰ κράτος ἐξελόντες ἐξηνδραποδίσαντο. μετὰ δὲ ταῦτα ἀφικόμενοι ἐπὶ Ἀκριβὴν πόλιν, καὶ ταύτῃ ὑποστάντων τῶν ἐν τῇ πόλει καὶ οὐκ ἐκλιπόντων, ἐπελθόντες οἱ νεήλυδες ἐπέβησάν τε τοῦ τείχους καὶ εἷλον, ἑλόντες δὲ ἠνδραποδίσαντο καὶ ταύτην. μετὰ δὲ ταῦτα ἐλαύνων ἀφίκετο ἐς Ῥούπελην τῆς Φλιασίας πολίχνην, ἐς ἣν Ἀλβανοί τε καὶ Ἕλληνες καταφυγόντες διεσώζοντο αὐτοί τε ἅμα καὶ αἱ γυναῖκες. προσέ- C βαλλε μὲν ἐνταῦθα καὶ τῇ προτεραίᾳ καὶ τῇ ὑστεραίᾳ, καὶ ὡς οὐκ ἠδύνατο ἑλεῖν, πεσόντων ἐνταῦθα οὐκ ὀλίγων τῶν

regionem incedebat. Incedens autem cum agmine belli molem avertit in urbem, quae sita est in monte excelso et munito, in quam Graeci pariter et Albani plurimi convenerant, obsidionem regis ibi toleraturi. maxima urbis huius erat aquae penuria. nam extra urbem fons erat, quo aquatum ire solebant. ne aquandi facultatem adimeret hostis, eum locum admodum communierant. rex accedens ad hanc urbem cum peregrinis militibus aqua potitur, et urbem obsidione cingit. ferunt oppidanos, cum aqua deficeret, interfecisse iumenta, et iumentorum sanguine subegisse farinam, et hinc coxisse panes. cum autem saevissima premerentur siti, dubii quid agerent, ad deditionem coeperunt animi inclinare. miserunt itaque legatos ad regem, qui orarent ut in deditionem acciperentur. hic, cum negligentius oppidani propter missos legatos stationes solitas obirent, peregrini advenientes irruerunt in urbem, eamque obtinuere et diripuerunt. postea venientes ad urbem Acribam, cum oppidani eam fortiter tutarentur nec eam deserere vellent, peregrini conscenderunt murum eamque occuparunt; quae militum praedae cessit. hinc ducens exercitum venit Rupelam Phliasiae urbem. in hac servabantur Albani et Graeci qui eo confugerant cum uxoribus. hanc rex biduo oppugnavit; et cum ea potiri non posset, quamvis pauci de suo exercitu cecidissent, caeterum plurimi

βασιλέως, καὶ συχνῶν τῶν τοῦ στρατοπέδου τετρωμένων, ἀπήγαγε τὸν στρατὸν ὡς ἀπιών. ἐπεὶ δὲ συνεσκευάζετο ὡς ἀπιών, ἐνταῦθα προσέφερον λόγους τῷ βασιλεῖ, ξυμβῆναί τε ἐθέλοντες καὶ παραδιδόναι τὴν πόλιν. ὁ δὲ ὡς παρέλαβε τὴν πολίχνην, οὔτε ἀνδραποδισάμενος οὔτε ἄλλο ἀεικὲς ἐργασάμενος, σὺν γυναιξί τε ἅμα καὶ παισὶν ἐς Βυζάντιον κατέπεμψε κατοικήσοντας. τῶν τε Ἀλβανῶν τῶν ἐν τῷ Ταρσῷ παραδεδωκότων σφᾶς καὶ ἐνταῦθα δεύτερον αὖθις ἀποφυγόντων,
D ξυντυχίᾳ τινὶ χρησαμένων οὐκ ἀγαθῇ, λαβὼν τούτους τούς τε πόδας καὶ χεῖρας ἔκλασε, καὶ οὕτω ἀνεῖλε κακίστῳ ὀλέθρῳ παραδοὺς ἀμφὶ τοὺς εἴκοσιν. ἐντεῦθεν ἐλαύνων διὰ Μαντινείας χώρας ἀφίκετο ἐπὶ Παζενίκην πόλιν, καὶ ἔπεμπε Καν-
V. 185 τακουζηνόν, ὅν ποτε οἱ Ἀλβανοὶ ἡγεμόνα ἑλόμενοι ἐστρατεύοντο ἐπὶ τοὺς Ἕλληνας· παρῆν γὰρ τότε ἐν τῷ στρατοπέδῳ μετάπεμπτος ὑπὸ βασιλέως, ὥστε ἐπιλαβέσθαι αὐτῷ ἐς τοὺς ἐν τῇ Πελοποννήσῳ Ἀλβανούς, μετιόντα τε καὶ λόγους ἐπιπέμποντα περὶ προδοσίας. ὡς δὲ ἐνταῦθα πέμπων ἐκέλευε προσφέρειν τοῖς ἐν τῇ πόλει ὥστε προσχωρῆσαι· παρῆσαν δὲ ἅμα αὐτῷ καί τινες τοῦ βασιλέως, αἰτιασάμενοι παρὰ βα-
P. 238 σιλεῖ ὡς δι' ἐκεῖνον σφίσι νεύματι χρησάμενον οὐ παρέδωκαν σφᾶς, ἀχθεσθῆναί τε συνέβη τὸν βασιλέα, καὶ προϊὸν ἀπιέναι ὅτι τάχιστα ἐκ τοῦ στρατοπέδου ἐξήλασεν. ὡς δὲ ἀδύ-

20. δι'] δὲ P παρέδωκε P 22. ἀδύνατος?

vulnerati essent, abduxit exercitum quasi abiturus. cum iam accinctus esset ad iter, superveniunt legati petentes pacem, dicentes se paratos esse ipsi tradere urbem. rex urbem in deditionem, quemadmodum petebatur, suscepit; nec eam diripuit vel quicquam damni ei inflixit. caeterum eos cum uxoribus et liberis Byzantium, ut ibi habitarent, transmisit. Albani vero qui semetipsos Tarsi dediderant et denuo aufugerant, usi sunt fortuna non admodum secunda: nam rex eos cepit, manus pedesque eorum crudeliter fregit. huic turpissimae et crudelissimae morti Albanos circiter viginti adiudicavit. hinc profectus per Mantineae regionem venit ad urbem Pazenicam. in hanc misit Cantacuzenum; quem quondam ducem creantes Albani bello lacessiverunt Graecos. is ea tempestate aderat in castris, accersitus ab rege, ut eius opera uteretur adversus Albanos qui in Peloponneso erant. volebat enim ut eos adiret et ad proditionem quosdam clandestinis sermonibus permoveret. hic cum missus foret ad eos qui urbem istam tenebant, iussus est dicere ut se urbemque regi dederent. apud hunc aderant etiam quidam regii, qui criminabantur eum apud regem, quasi illi consilio et nutu Cantacuzeni urbem non tradidissent. hinc ira percitus rex eum continuo ex castris excedere

νατα προσβαλεῖν τῷ ἐρύματι (ἐκλελοιπότες γὰρ οἱ ἐν τῇ πόλει ἔρυμα αὐτοῦ ταύτῃ, ὅτι ἐγγυτάτω ὄν, κατέλαβόν τε καὶ διεσώζοντο) συσκευασάμενος ἀπῄει ἐντεῦθεν, καὶ τῇ ὑστεραίᾳ ἐτέλεσεν ἐς τὸν Τεγεάτην χῶρον καὶ ἐπηυλίσατο. ἐνταῦθα ἐβουλεύετο ἐπ' ἀμφότερα, εἴτε ἐς Σπάρτην ἐλαύνοι καὶ Ἐπίδαυρον· δεινὸς γὰρ αὐτὸν ἐσῄει πόθος, ἰδεῖν τε Ἐπίδαυρον καὶ παραστήσασθαι πόλιν ἐρυμνὴν πασῶν δὴ πόλεων ὧν ἡμεῖς ἴσμεν, ἐς ταύτην καταφυγὼν ὁ ἕτερος τῶν ἡγεμόνων, B τοῦ ἑτέρου ἐς τὴν Μαντίνειαν τῆς Λακωνικῆς πρὸς τῇ θαλάττῃ οὖσαν καταφυγόντος σὺν τῇ γυναικί. καὶ πυνθανόμενος τὴν χώραν τραχεῖάν τε οὖσαν καὶ χαλεπὴν διαπορεύεσθαι, ἐπέσχε μὲν ταύτην πορεύεσθαι, συστραφεὶς δὲ ἐτράπετο ἐπὶ Μουχλὴν τῆς Τεγέης πόλιν. προειστήκει δὲ αὐτῆς Ἀσάνης ὁ Δεμήτριος. ἐνταῦθα στρατοπεδευόμενος ἐν χώρῳ χαλεπῷ τε καὶ δυσβάτῳ (ἀνέχει γὰρ ἡ πόλις ἐπὶ ὀχυροῦ τε ὄρους καὶ ἐρυμνοῦ ᾠκημένη) παρεσκευάζετο μηχανάς τε καὶ κλίμακας ὡς τῇ πόλει προσοισόμενος, καὶ αὐτίκα μὲν τοῦ ὕδατος ἐπεκράτησεν, ὃ ἐκτὸς ἦν τῆς πόλεως, ἐπὶ χωρίου ἐρυμνοῦ πάνυ. καὶ ὡς οὐκ εἶχον οἱ τῆς πόλεως ὑδρεύσασθαι, χαλεπῶς ἤδη ἔφερον τὴν πολιορκίαν, μὴ ἀπὸ φρεάτων καὶ C τῶν ἐν τῇ πόλει οὐκ ἐξεγένετο σφίσιν ἀφθόνῳ τῷ ὕδατι χρῆσθαι διὰ τὸ πλῆθος τῶν τε ἀνθρώπων ἅμα καὶ ὑποζυγίων. ἐπεὶ δὲ ἐπέλιπεν αὐτοὺς ἤδη τὸ ὕδωρ καὶ πρὶν ἢ προσβάλλειν τῷ τείχει, ἐπεκηρυκεύετο ὁ τῆς πόλεως ἄρχων, καὶ ξυνέβαινεν ἐφ' ᾧ παραδιδόναι τὴν πόλιν καὶ αὐτοὺς παθεῖν. βασιλεὺς μὲν ἐδωρήσατο Λεοδωρίκη τὸν παῖδα αὐτοῦ, καὶ ἐξελὼν αὐ-

12. ὑπέσχε P 20. μὴ] ἐπεὶ? 21. ἐξεγένετο τῷ σφίσιν P

iussit, et ipse contra urbem perrexit. cum autem frustra aggrederetur vallum (nam relicta urbe vallum occuparant munitissimum urbique proximum, et eo se tenebant satis tuti), impedimentis omnibus collectis discedebat; et secundo ab eo die Tegeatarum regionem ingressus est, ibidemque castra firmavit. maxima proposita erat consultatio ductandi in Laconiam et Epidaurum. magna enim cupido eum incesserat videndae Epidauri et capiendae urbis, quam scimus esse munitissimam omnium quas novimus urbium. in hanc confugerat alter e ducibus, et alter se cum uxore receperat Mantineam Laconiae, mari finitimam. rex cum intelligeret eam regionem esse asperam et transitu difficilem, abstinuit latius progredi. verum reversus exercitum movebat contra Muchlam Tegeae urbem. huic praeerat Asanes Demetrius. castra igitur hic posuit in loco aspero et invio. urbs autem prominet, sita in monte

τὸν ἀπὸ τῆς πόλεως ἤλαυνεν ἐπὶ Κόρινθον καὶ ἐπὶ τὸ Ἀσιανὸν στρατόπεδον· ἤδη γὰρ τὰ ἐς τοὺς τηλεβόλους αὐτῷ παρεσκεύαστο, καὶ λίθους τε ἀπὸ τῆς παλαιᾶς πόλεως τῆς Κορίνθου εὑράμενοι οἱ τοῦ βασιλέως ἐνετάμνοντο ἱκανούς.

Ὡς δὲ ἐπελάσας ἐστρατοπεδεύετο, προσέφερε μὲν αὐτίκα D λόγους τῷ Ἀσάνῃ ὁ βασιλεύς, καὶ πέμψας Ἰησοῦν τὸν τοῦ Βρενέζεω παῖδα, ἐλλόγιμον ὄντα ἐν τῷ στρατοπέδῳ, καὶ ἑρμηνέα τε ἅμα αὐτῷ, ἐκέλευε παραδοῦναι τὴν πόλιν. Ἰησοῦς μὲν ἀφικόμενος ἔλεγε τοιάδε. "Ἀσάνη καὶ οἱ παρόντες Ἕλληνες, βασιλεὺς τάδε πέμπων ὑμᾶς λέγει, ὡς σὺ ἐς τοὺς Ἕλληνας ἥκεις ἐς τὰ πρῶτα συνέσεως, καὶ Ἑλλήνων μάλιστα δὴ ἔμπειρος εἶ τῶν βασιλέως θυρῶν. οἶσθα δὲ καὶ σὺ μᾶλλον τῶν ἄλλων οἷος ὢν ὁ βασιλεὺς οὗτος, καὶ τοῦ Ὀτουμανίδων γένους, καὶ ᾗ ἂν ἀφίκηται, οὐκ ἀπανίσταται πρὶν ἂν ἐκπορθήσῃ τὴν πόλιν. παρέχει οὖν σοι ἐν τῷ τοιῷδε κάλλιστα καταλυσαμένῳ πρὸς βασιλέα τήν τε πόλιν τήνδε παραδιδόναι, καὶ χώραν ἣν ἂν ὑμεῖς ἕλοισθε λαβεῖν παρὰ βασιλέως ἀλλαξαμένους. καὶ ἢν τοῦτο ποιήσῃς, ἐπιτήδειόν τε δὴ νομιεῖ βασιλεύς, καὶ P. 239 ξένον ποιεῖται δή, ὥστε ὕστερον καταθεῖσθαι χάριν αὐτῷ σοί τε καὶ τοῖς παισίν. ἢν δὲ μὴ παραδῷς, οἶσθα μὲν αὐτός, νὴ τὴν βασιλέως ψυχήν, ὡς τήν τε πόλιν ἐξανδραποδιεῖται καὶ

11. δὴ] δὲ P   19. δὴ] σε?   κατακεῖσθαι?

firmo et munito. nec mora: expediunt scalas et machinas bellicas, urbemque oppugnant. etiam aquam, quae erat extra urbem in loco munito, obtinuit, ut oppidani non possent amplius eo aquatum accedere.

Cum autem advenisset rex ad urbem et castrametatus esset, confestim legationem ad Asanem misit. nam ire iussit ad Asanem Iosuam Brenezis filium, virum prudentem, ex omni suorum numero, cum interprete; eique praecepit ut ageret cum Asane, qui urbem traderet. Iosue igitur ubi venit ad Asanem, huiuscemodi orationem exorsus est. "Asanes et Graeci omnes, quotquot praesto estis, rex misso legato haec vobis expromi iubet. tu, qui prudentissimus es Graecorum etiam in iis quae ad Graecos pertinent, expertus ianuae milites scis, et magis quam reliqui, qualis quantusque sit rex ille Otomanidarum. quocunque tempestatem belli verterit, haud prius bellum ponit quam urbes expugnarit et victoria potitus fuerit. cuiusmodi autem condicionem vobis proponat, audite. si pacem feceritis cum rege, eidemque urbem vestram permiseritis', regionem aliam, quamcunque elegeritis, a rege accipietis. si in hoc morem gesseris regi, amico et hospite te admodum familiariter utetur, gratiamque tibi et vobis omnibus referet cumulatissimam. si autem parere regi recusaris, nec urbem tradideris, scito, animam regis tibi iuro, eam brevi et capiet et

δὴ τοὺς πέριξ κακίστῳ παραδώσει ὀλέθρῳ." ταῦτα μὲν Ἰησοῦς ἔλεγε δι' ἑρμηνέως, Ἀσάνης δὲ ὑπολαβὼν ἔφη "ὦ παῖ V. 186 Βρενέζεω, ἀπάγγειλε δὴ τῷ βασιλεῖ ὡς τήν τε ψυχὴν αὐτοῦ ἴσμεν που γενναιοτάτην οὖσαν πάντων τῶν πρότερον γενομένων ἀπὸ τῶν Ὀτουμάνων βασιλέων, καὶ τήν τε δύναμιν μεγίστην τε οὖσαν τῶν ἐν τῇ οἰκουμένῃ, παντί που τῶν εὖ εἰδότων τὰ βασιλέως πράγματα κατάδηλον. καὶ ταῦτα μὲν ξυνομολογοῦμέν τε αὐτοὶ τῷ βασιλεῖ, ὡς μέγιστά τε εἶναι. καὶ ταύτην μὲν οὖν τὴν πόλιν ὁρᾷ τε δή που ὡς ἐν ὀχυρῷ B που οἰκεῖται πασῶν δὴ μάλιστα πόλεων ὧν ἡμεῖς ἴσμεν. καὶ αὐτοὶ οἱ ἀπὸ τοῦ Ὀτουμάνου βασιλεῖς, καὶ αὐτὸς δὲ βασιλεύς, ἐξ ὅτου γε ἐς τὴν βασιλείαν κατέστη, τοιάνδε πόλιν οὔτε πολιορκῶν ἐξεῖλε κατὰ κράτος, ἀλλ' οὔτε ἐξεγένετο ἐπὶ τοιάνδε πόλιν ἐλαύνειν. ὁρᾶτε γὰρ ὡς κύκλῳ ἡ πόλις ἐρυμνή τε οὖσα ἐς τὰ μάλιστα ταύτῃ μόνον ποιεῖται τὴν εἴσοδον, τετειχισμένην τρισί τε ἅμα τείχεσιν ὀχυρωτάτοις καὶ τρισὶ πύλαις. ἣν μὲν οὖν τὴν μίαν ἐξέλητε τηλεβόλοις, τήν τε ἑτέραν πῶς ἂν ὑπερβάλλοισθε; ἣν δὲ καὶ ταύτην ὑπερβάλλησθε, ὑπολείπεται αὖθις ἡ ἰσχυροτέρα τούτων. ὡς οὖν ταύτῃ διανοουμένων καὶ παρασκευαζομένων, εἰ δέοι C ἀπολεῖσθαι, ὥστε ἀμύνεσθαι, οὕτω ἀπαγγείλατε τῷ βασιλεῖ, ὡς μάτην ἂν εἴημεν ὧδε ἐλθόντες ἐς φυλακὴν τῆς πόλεως, εἰ μηδ' ὁτιοῦν χαλεπὸν ἐπιδόντες τὴν πόλιν παραδοίημεν."

foede diripiet, eos qui hic assistunt crudelissimae morti subiiciet." haec quidem locutus est per interpretem. Asanes autem respondens in hunc modum verba fecit: "o fili Brenezis, renuntia regi haud nobis occultum esse, animum eius generositate excellere omnes reges, quotquot ab Otomanidis originem traxere. potentiam eius esse in orbe maximam norunt omnes, quotquot rerum eius periti sunt: etiam nos et agnoscimus et confitemur potentiam eius esse maximam. verum enimvero cernitis urbis huius situm, quam natura et arte sit munitus, ut non facile invenire sit urbem aeque munitam. reges Otomanidae, nec etiam ipse rex, ex quo in regnum hoc processit, talem urbem neque oppugnarunt neque ceperunt nec bello petiverunt. videtis enim urbem undique quam maxime munitam. aditum hic unum habet: caeterum cinctum muris tribus firmissimis tribusque portis. si igitur unam dirueritis bombardis, alteram quomodo superabitis? et si alteram occupaveritis, relinquetur tertia caeteris multo validior. quapropter haec cogitantes, et scientes nos sic instructos, fortiter bellum quod ab rege infertur sustinebimus, etiamsi moriendum sit. nuntiate itaque regi vestro, frustra ad urbem hanc defendendam accessissemus, si pericula reveriti urbem tradere voluissemus."

Ταῦτα εἰπόντος τοῦ Ἀσάνεω, ὡς ὑποστρέψας Ἰησοῦς
ἀπήγγειλε τῷ βασιλεῖ, αὐτίκα κατεβίβασε τοὺς τηλεβόλους ἐς
τὰς πύλας τῆς πόλεως, ᾗ δὴ ἡ ἐς τὴν πόλιν εἴσοδος στενωτάτη γινομένη πρὸς αὐτήν τε ποιεῖται τὴν εἴσοδον, καὶ τείχη
τρία ἀλλήλων οὐ πολὺ διεστηκότα ἐς τὴν εἴσοδον ταύτῃ παρέχεται. καὶ τὸ μὲν τελευταῖον τεῖχος ἀσθενὲς ὂν καὶ οὐ
Ὡς μὲν οὖν ἀφικομένου Ἀσάνεω παρὰ βασιλέως ἐπυνθάνετο C τὰ κατὰ τὴν Πελοπόννησον, ἐπυνθάνετο δὲ καὶ παρ' Ἀχμάτεω τοῦ τῆς Πελοποννήσου ὑπάρχου, ἐν Κορίνθῳ διατρίβοντος, Δημήτριον τὸν ἡγεμόνα ἀφεστηκότα τοῦ ἀδελφοῦ αὐτοῦ κατὰ χώραν μένειν, πολεμούμενον καὶ αὐτὸν ὑπὸ τοῦ ἀδελφοῦ, ἐδωρήσατο μὲν αὐτίκα αὐτὸν ταῖς ἐν τῷ Αἰγαίῳ νήσοις, Λήμνῳ τε καὶ Ἴμβρῳ καὶ Θάσῳ καὶ Σαμοθράκῃ. ταύτας μέντοι πρότερον, μετὰ τὴν Βυζαντίου αἵρεσιν, παρείχετο τῆς Λέσβου τὰ ἡγεμονικά, Λῆμνον καὶ Αἶνον, τῷ Παλαμήδῃ δὲ τυράννῳ Ἴμβρον. ὡς δὲ εἷλέ τε τὴν Αἶνον, ἀποθανόντος τοῦ Παλαμήδου καὶ τοῦ παιδὸς αὐτοῦ Ντορίου τὴν πόλιν παραλαβόντος, ἐπελάσας ὁ βασιλεὺς εἷλέ τε τὴν Αἶνον, προσχωρησάντων αὐτῷ τῶν ἐν τῇ πόλει. αὐτίκα. ἔπεμπέ τε D Ἰοναύζην τὸν τῆς Καλλιουπόλεως ὕπαρχον, παραληψόμενος τὰς νήσους. ἡ μὲν Ἴμβρος αὐτίκα προσεχώρησε καὶ ἡ Λῆμνος, καὶ φρουρὰ βασιλέως ἀφίκετο ἐς τὰς νήσους. μετὰ δὲ πυθόμενοι οἱ Τοῦρκοι τὸν ἀπὸ τῆς Ἰταλίας στόλον ἅμα τῷ καρδινάλει ἀφικόμενον, προσδόκιμον δὲ καὶ ἄλλον ἀφίξεσθαι ἀπὸ Ἰταλίας, ἡ μὲν φρουρὰ ἀνεχώρησε, Τοῦρκοι δὲ ἐπετρόπευον τὰς νήσους. Λῆμνος μέν, ὡς ἐπέπλευσε σφίσιν ὁ στόλος, προσεχώρησε, καὶ ἡ Ἴμβρος ἐποίει παραπλησίως, καὶ ἡ Θάσος ἔτι καὶ Σαμοθράκη. οὐ πολλῷ δὲ ὕστερον οἰχομένου τοῦ στόλου ἐς Ῥόδον, Ἰσμαήλης ὕπαρχος καταστὰς ὑπὸ βα- P. 250

1. ὡς μὲν οὖν] cf. Hammer 2 p. 22. b.

Asanes ubi ad regem accessit, quid in Peloponneso evenisset, enarravit. percunctabatur quoque de Achmata Peloponnesi principe, quia eius frater decreverat manere in ea regione, quamvis hostilibus armis a fratre peteretur. continuo eum donavit insulis in Aegaeo mari sitis, Lemno Imbro Thaso et Samothrace. has quidem donavit ante captum Byzantium. capto autem Byzantio Lesbi principatum, Lemnum et Aenum, defuncto Palamede, filius eius Dorius urbem occupavit. rex autem accedens hostili animo Aenum continuo in deditionem accepit, dedentibus se illico iis qui in urbe erant. missus est et Ionuzes Callipolis praefectus, ut insulas reciperet. Imbrus et Lemnus continuo deditionem fecerunt qua facta, continuo regis praesidia insulis imponebantur. postea cum audirent Turci classem, cuius dux foret cardinalis, ab Italia advenire, et etiam alia ab Italia expectaretur classis, praesidia ex insulis decedebant. Turci vero eas tutabantur. Lemnus, quamprimum classis ad eam appulisset, in dicionem venit. similiter Imbrus Thasus et Samothrace in dicionem acceptae sunt. nec multo post, cum ea classis attigisset Rhodum, Ismael praefectus regius adnavigans Imbrum et Lemnum recuperavit.

σιλέως ἄρτι, ἐπιπλεύσας τήν τε Ἴμβρον καὶ Λῆμνον παρεστήσατο, καὶ τοὺς ἐν αὐτῇ ἄνδρας τῶν Ἰταλῶν συλλαβὼν ἀπέπεμψεν ὡς βασιλέα. οὗτοι μὲν οὖν ὡς ἀπήχθησαν, διεχρήσατο πάντας βασιλεύς, διατρίβων ἐν Φιλιπποπόλει· ὑπεξεχώρει γὰρ ἐκ τῶν βασιλείων διὰ τὸν λοιμὸν τότε ἐπιγινόμενον μέγαν. Θάσος δὲ καὶ Σαμοθράκη οὐ προσεχώρησαν, ἀγνωμοσύνῃ χρησάμεναι. καὶ ὡς οὐ πολλῷ ὕστερον Ζάγανος ἀπήλλαξέ τε Ἰσμαήλην καὶ κατέστη ἐς τὴν Καλλιούπολιν B ἀρχήν, ἐπιπλεύσας Σαμοθράκην τε καὶ Θάσον ἐξελὼν ἠνδραποδίσατο. καὶ τούτους μὲν κατῴκισε βασιλεὺς ἐς τὸ Βυζάντιον· τὰς δὲ νήσους, καὶ ὅσοι ἐς τὰ ἄκρα τῶν ὀρέων διέφυγον μὴ ἀνδραποδισθῶσι . . . . .

Ἀσάνης δὲ λαβὼν τὸν στρατὸν ὡς ἐσέβαλλεν ἐς τὴν Πελοπόννησον, καὶ Θωμᾶν περὶ Λεοντάριον ἐτρέψατό τε ὁ στρατός, καὶ συνελάσας ἐπολιόρκησε μὲν ἐπὶ βραχύ, πιεζόμενος δὲ ἀνεχώρει, αὖθις ἀνῄει παρὰ βασιλέα, ἐπικουρίας δεόμενος. ξυνηνέχθη δὲ καὶ μετὰ Ὁμάρεω τοῦ Θετταλίας ὑπάρχου, στασιάσαντος διὰ διαφοράν, ἀφικόμενον ἀναβῆναί τε παρὰ βασιλέα, καὶ οὐ πολλὰς ὕστερον ἡμέρας Ὁμάρη βασιλέα ἀφελόμενον τὴν ἀρχὴν ἐπιτρέψαι Ζαγάνῳ τῷ τότε Καλλιουπόλεως C ὑπάρχῳ. Ζαγάνῳ δὲ τούτῳ, ἀνδρὶ εὐδοκιμήσαντι ἔν τε ἄλλοις καὶ Μορεζίνην, τὸν ἐς τὴν καθ' ἡμᾶς θάλασσαν

9. ἄρχων?

viros Italos qui in hac erant, captos ad regem transmisit; quos omnes, cum in conspectum regis adducti essent, interfecit. ea tempestate rex Philippopoli versabatur. nam regni sedem reliquerat propter pestem, quae in ea crudeliter grassabatur. Thasus autem et Samothrace se non dedidere imprudenter. nam cum haud multo post Zaganus abegisset Ismaelem, et declaratus esset praefectus Callipolis, navibus adveniens Samothracen et Thassum in dicionem redegit, easque penitus diripuit. incolas eorum Byzantium, ut ibi habitarent, traduxit. insulas vero, et quotquot confugerant in montes, ne captivi abducerentur.

Asanes cum copiis ingressus est Peloponnesum, et Thomam iuxta Leontarium in fugam egit. ipse vero fugientem insecutus parumper obsedit. cum autem premeretur ab adversariis, discessit et ad regem reversus est, petiturus auxilium. fuit huic acris contentio cum Omare Thessaliae praefecto, cum autem studiis inter se graviter dissentirent, ipse ea dissensione motus ad regem profectus est. nec multo post rex Omarem se principatu abdicare coegit. eum autem principatum commisit Zagano, qui eo tempore Callipolis erat praefectus. Zaganus iste brevi ad maximam claritatem evasit, inter caetera quod

τὰ πρῶτα τῶν λῃστῶν φερόμενον, ἑλόντι αὐτόν τε καὶ τὴν τριήρη, ἐγένετο αὐτῷ οὐχ ἥκιστά τε ἐν τούτῳ [ἐν τῷδε] εὐδοκιμῆσαι. οὗτος μὲν οὖν ὡς παρέλαβε τὴν Θετταλίαν καὶ Πελοπόννησον ὑπὸ βασιλέως, εἰσέβαλεν ἐς τὴν Ἀχαΐαν, καὶ ἀπανίστατο τὸ Ἑλληνικὸν στράτευμα ἐπιόντος τοῦ Ζαγάνου, ὡς ἐπολιόρκει τὴν ἀκρόπολιν. καὶ Ἰταλῶν οὓς μετεπέμψατο Θωμᾶς, παρῆσαν αὐτοῦ τιμωροῦντες τοῖς Ἕλλησιν, ἀπὸ Μεδιολάνου παραγενόμενοι ἐς συμμαχίαν τοῖς Ἕλλησιν. οἱ μὲν V. 195 οὖν Ἕλληνες παρασκευάσαντες τηλέβολον ἔπαιον τὴν ἀκρόπολιν, D οὐδὲν μέντοι διεπράττοντο, οὔτε τηλεβολιστοῦ παρόντος σφίσιν ἀγαθοῦ οὔτε παρασκευῆς ἐς τὴν πολιορκίαν. οἱ μὲν οὖν Ἀχαιοὶ ἄραντες ἀπὸ τῆς πόλεως ἐς Ναύπακτον ἐνταῦθα διέτριβον, Θωμᾶς δ' ὁ ἡγεμὼν ἐπιὼν τὴν Λακωνικὴν κατεστρέφετο καὶ Καλαμάτην πόλιν τὴν ἐν Μεσήνῃ. Μαντίνειαν ἐπολιόρκει, καὶ οὐδὲν αὐτῷ προεχώρει ἐς τὴν τῆς πόλεως αἵρεσιν. πρεσβείαν δὲ πέμπων ὡς βασιλέα ἐπειρᾶτο τῆς βασιλέως γνώμης, εἰ εἰρήνην αὐτῷ ποιήσαιτο. ἔνθα δὴ βασιλεύς, ὡς ἀγγελία ἀφικνεῖτο αὐτῷ ἀπὸ τῆς Ἀσίας περὶ Χασάνεω τοῦ μακροῦ, ὥρμητο μὲν ἐς σπονδὰς τῷ ἡγεμόνι τούτῳ, ὥστε P. 251 ἐπὶ Χασάνῃ στρατεύεσθαι καὶ ἐπὶ Ἰσμαήλην τὸν Σινώπης ἡγεμόνα, ἐπιτηδείως ἔχοντα πρὸς Χασάνῃ τὸν μακρόν, ἐπηγγέλλετο δὲ σπονδὰς ἐφ' ᾧ ἀπάγειν τὸν στρατὸν ἀπὸ τῶν βασιλέως ἀκροπόλεων, καὶ ἀποδοῦναί οἱ ὅσα ὠφείλετο τῶν πο-

etiam Morezniam, qui potentissimus in mari nostro erat pirata, cepit. hinc non modica viro illi accessit gloria. hic igitur Thessaliae principatu inito, et Peloponneso ab rege accepta, cum exercitu Achaiam hostiliter ingressus est. Graecorum autem exercitus accedente Zagano et arcem oppugnante diffugit. Itali, quos accersiri iusserat Thomas, iam aderant eo loci, ut suppetias ferrent Graecis, profecti Mediolano ut subsidio venirent Graecis. Graeci paraverant bombardam, qua urbem feriebant, verum parum proficiebant: haud enim peritum habebant bombardarium. nec etiam alius machinarum apparatus sufficiebat ad istam expugnationem. Graeci igitur moventes ab ista urbe profecti sunt Naupactum, atque hic se tenuere. Thomas cum exercitu superveniens Laconiam subigebat et Calamatam Messenae urbem. Mantineam quoque obsidione circumvenit. nec tamen quicquam ea obsidio succedebat, ut urbe potiretur. interea misit Thomas legationem ad regem, ut eius animum tentaret, velletne secum pacem componere. rex, cum eo tempore nuntiatum esset quid in Asia moliretur Chasanes Longus, pacem dare haud abnuit, ut posset liberius arma inferre Chasani et Ismaeli Sinopes principi, cui familiaritas cum Chasane intercesserat. caeterum rex his condicionibus pacem con-

λισμάτων, φόρον δὲ ἀπάγειν αὐτίκα ἐς τρισχιλίους στατῆρας, παρεῖναι δὲ ἐντὸς ἡμερῶν εἴκοσιν, ἐπὰν ἐς Κόρινθον παραγένηται τοῦ βασιλέως ὁ πρέσβυς. ταῦτα ὡς ἠγγέλθη τῷ ἡγεμόνι, παρεσκευάζετο ἰέναι ἐς τὰ παραγγελλόμενα ὑπὸ βασιλέως. ἐπειδὴ δὲ ἀγνωμοσύνῃ χρησαμένων τῶν ὑπηκόων οὐκ εἶχε τοὺς χρυσίνους ἀπαγαγεῖν, ἦν τε ἐνταῦθα ὁ βασιλεὺς
B μεγάλως τεθυμωμένος. τὴν μέντοι ἐς Ἀσίαν ἔλασιν ἐπὶ Χασάνην ἀνεβάλλετο ἐς τὸ ἐπιὸν ἔτος, αὐτὸς δὲ ἐστέλλετο ἐπὶ
1460 Πελοπόννησον. ἐπεὶ δὲ ἐς Κόρινθον παρεγένετο ἐσβαλών, παρῆν Ἀσάνης ἀπὸ Δημητρίου τοῦ ἡγεμόνος, ἐπὶ τοὺς πολεμίους ἀπάξων τὸν βασιλέως στρατόν. ὡς δὲ ἐς Τεγέαν ἀφίκετο, ἐνταῦθα τὸν μὲν Ἀσάνην ἐς φυλακὴν ἐποιήσατο, καὶ τοὺς τῶν Ἑλλήνων θεράποντας, καὶ ὅσοι αὐτῷ εἵποντο, δεσμίους ἔχοντες ἀπήλαυνον ἐπὶ Σπάρτην. πρῶτα μὲν Μαχουμούτης ἔχων τούς τε ἱπποδρόμους μεθ' ἑαυτοῦ καὶ τὸ τῆς Εὐρώπης στράτευμα ἤλαυνε κατὰ κράτος ἐπὶ τὴν Σπάρτην. ἐνταῦθα ἀφικόμενος τήν τε πόλιν αὐτίκα ποιησάμενος ὑπέ-
C λαβεν ἐντὸς τὸν ἡγεμόνα. ὁ μὲν οὖν ἡγεμὼν ἀπὸ τῆς ἐς βασιλέα ἐλπίδος καταβληθεὶς ἐπολιορκεῖτο. καὶ ὥρμητο μὲν ὡς διὰ τὴν τῆς πόλεως ἀκρόπολιν ἀναβησόμενος· μετὰ δέ, ὡς ἐπύθετο ἐν φυλακῇ ὄντα τὸν γυναικὸς ἀδελφὸν Ἀσάνη ὑπὸ βασιλέως, ὑπεχώρει τῆς πόλεως, καὶ ἐς τὸ στρατόπεδον ἀφι-

venire posse respondit, si exercitus abduceret ab regis arcibus, si restitueret oppida quae ademisset, si illico tributi nomine numeraret tria milia staterum aureorum. adesse autem deberet intra dies viginti Corinthi, donec eo veniret regius legatus. haec ubi nuntiata sunt principi, pacis condiciones oblatas haud aspernatus est. cum autem admodum imprudenter in transversum agerentur principis subditi, factum est ut non posset regi pendere quemadmodum imperaverat tributum. hinc ira exardens rex expeditionem adversus Thomam sumpsit, et bellum contra Chasanem reiecit in futuram aestatem et contra Peloponnesum accingebatur. cum venisset Corinthum, aderat Asanes ab Demetrio principe, ducturus contra hostes regis exercitum. ubi pervenit Tegeam, Asanem in carcerem coniecit: etiam fautores qui eum secuti fuerant, vinctos detinens, profectus est contra Spartam. primo quidem Machumetes habens equites et Europaeum exercitum, summis viribus contra Spartam contendit. huc cum iam accessisset et urbem oppugnare occoepisset, sensit principem in ea esse. princeps autem spe, quam sibi in rege sitam putabat, deiectus, obsidebatur, et conabatur per urbis arcem ascendens evadere. ubi vero intellexit in carcere teneri uxoris suae fratrem Asanem, et in eam necessitatem ab rege esse detrusum, excessit urbe, et veniens in

κόμενος ἐς ὄψιν ἀφίκετο τῷ βασιλεῖ. καὶ αὐτόν τε μεγάλως
ἐτίμησε βασιλεύς, καὶ παρεμυθεῖτο ὡς οὐδὲν ἀηδὲς ἐσαῦθις
ἔσοιτο διὰ ταῦτα, ἄλλην δὲ χώραν ἱκανὴν εὐδαίμονα ὑπέσχετο
δώσειν αὐτῷ ἀντὶ τῆς Σπάρτης. οὐδὲν μέντοι ἧττον εἶχεν
αὐτὸν ἐν φυλακῇ [ἐποιήσατο]. ἐπί τε μὲν οὖν τὴν Σπάρτην,
ἐς τὴν ὑπώρειαν τοῦ Ταϋγέτου, οἰκεῖται πόλις Ἑλληνικὴ εὐ-
δαίμων, διέχει δὲ ἀπὸ τῆς Παλαιᾶς πόλεως καὶ τοῦ Εὐρώτα D
σταδίους ὡσεὶ ὀκτωκαίδεκα. ταύτην μὲν οὖν ὁ βασιλεὺς προ-
σπαρειλήφει, φρουράν τε ἔφαινεν ἐν τῇ μητροπόλει, καὶ ἄρ-
χοντα ἐπέστησε Χαζάνην τὸν Ζενεβίσαν, Μαχουμούτεω θερά-
ποντα. αὐτὸς δὲ ἐλαύνων ἐπὶ Καστρέην πόλιν, διέχουσαν
ἀμφὶ τὰ ὀγδοήκοντα στάδια ἀπὸ τῆς νῦν πόλεως, ἐπολιόρκει
ταύτην· οἱ γὰρ ἄνδρες τε καὶ γυναῖκες φραξάμενοι ἐν ὀχυ-
ρῷ πάνυ, καὶ θαρροῦντες τῇ χαλεπότητι τοῦ χωρίου, παρε- V. 196
σκευάζοντο ἀμύνεσθαι τοὺς ἐπιόντας σφίσι πολεμεῖν, τὸν βα-
σιλέως στρατόν. οἱ μὲν οὖν νεήλυδες, ὡς ἐσημαίνετο αὐτοῖς
ἡ προσβολή, προσέβαλλόν τε αὐτίκα, καὶ τὸ ἐκτὸς τεῖχος P. 252
ὑπερεβάλοντο, καὶ τούς τε ἄνδρας καὶ γυναῖκας ἠνδραπο-
δίσαντο, ἐξελόντες τὸ χωρίον τοῦτο. ἑλόντες δὲ τὴν πόλιν
ἀνήεσαν ἐπὶ τὴν ἀκρόπολιν, μετέωρόν τε οὖσαν καὶ ἀνέχου-
σαν ἐς ὕψος ὡσεὶ σταδίους τέσσαρας. ἡ δὲ ἄνοδος στενή τε
ἦν καὶ χαλεπὴ ἀναβῆναι τῇ τε δυσχωρίᾳ καὶ προσάντης καὶ

11. Καστρίζην Hammer 2 p. 41 i.

castra prodiit in regis conspectum. rex advenientem magnifice tractavit et plurimum honoravit. praeterea eum consolatus est, ut bonum animum gereret: se nolle delictorum poenas exigere. promittebat se ei daturum opulentam regionem aliam, nullius rei egentem, pro Sparta. attamen eum in custodia asservans detinuit. supra Spartam in radice Taygeti sita est urbs Graeca, opibus florens. distat a Palaeopoli et ab Eurota stadiis ferme decem et octo. hanc rex in dicionem accepit, et praesidium metropoli imposuit, eique principem dedit Chazanem Zenebisam, Machumetis ministrum. hinc profectus est Castriam urbem, quae remota est a praedicta urbe stadiis octoginta, eamque oppugnabat. nam viri pariter et mulieres cum essent inclusi in loco munitissimo, confidentes locorum difficultati, parabant sese ut resisterent exercitui regis adeunti. at peregrini, ubi signum irruptioni datum est, confestim aggressi sunt urbem; et superantes murum exteriorem, viros pariter et mulieres ceperunt, locumque in quo fuerant destruxerunt. urbe capta perrexerunt contra arcem, quae admodum excelsa erat: nam altitudo eius complectebatur circiter quattuor stadia. ascensus autem erat arduus et superatu difficilis. ad loci difficultatem accedebat acclivitas et inaequalitas. praeterea in

ἀνώμαλος ἐς τὰ μάλιστα, καὶ διακωλυόντων τῶν ἀνδρῶν χαλεπὰ ἦν ὑπερβῆναι καὶ ἐς τὴν ἀκρόπολιν ἀφικέσθαι. ἐνταῦθα ἐβιάζοντο τὴν ἄνοδον, ἀλλήλους ὑπεμβαίνοντες. πολλοὶ δὲ ἐς τὴν ἄνοδον ταύτην φορᾷ ὑποφερόμενοι ὑπ' ἀλλήλων βίᾳ ἐς τὸν
B κρημνὸν ἐγένοντο, καὶ ἀπώλοντο τῶν νεηλύδων ὡς πλεῖστοι. οἱ δὲ ἄλλοι ὑπερέβησαν καὶ ἐγένοντο ἐν τῇ ἀκροπόλει καὶ προσέβαλλον. οἱ δὲ Ἕλληνες χρόνον ἤδη πολὺν μαχόμενοι οὐκ ἠδύναντο οἱ ἀμύνεσθαι πρὸς ἄλλους καὶ ἄλλους τῶν βασιλέως. ἀπεῖπον δή, προσῴκησαν δὲ ἐς ὁμολογίαν τῷ βασιλεῖ. τούτους μὲν οὖν, ὡς τὴν ἀκρόπολιν παρέλαβε, πάντας ἀπαγαγὼν εἰς ἕνα χῶρον κατέσφαξε, γενομένους τοὺς σύμπαντας ἐς τριακοσίους, καὶ τὸν ἄρχοντα αὐτῶν τῇ ὑστεραίᾳ χωρὶς ἔτεμε τὸ σῶμα ποιησάμενος. ἐντεῦθεν ἤλαυνε διὰ Λεονταρίου τῆς πόλεως, καὶ στρατοπεδευσάμενος, ὡς ἐπυνθάνετο πάντας εἰσενεγκαμένους γυναῖκάς τε καὶ παῖδας καὶ αὐτοὺς
C ἐς ἐρυμνήν τινα πόλιν Καρδικίην καλουμένην, αὐτίκα ἐπεισπεσὼν ἐστρατοπεδεύετο. καὶ τῇ ὑστεραίᾳ προσέβαλλε μὲν ἀπὸ τῆς ἀκροπόλεως καὶ ἐτειχομάχει σὺν τοῖς νεήλυσι, τοὺς δὲ ἀζάπιδας ἐκέλευε κατὰ τοῦτο τῆς πόλεως προσβάλλειν ᾗ βάσιμα ἦν αὐτοῖς ὑπερβῆναι. καὶ οἱ μὲν ἀζάπιδες εἰσπεσόντες αὐτίκα ὑπερέβησαν τοὺς Ἕλληνας καὶ ἐτρέψαντο, φερόμενοι δὲ ἅμα αὐτοῖς εἰσέβαλλον ἐς τὴν πόλιν, καὶ

8. ἀλλήλους καὶ ἄλλους P   16. ἐς om. P

arcem ascendere difficile erat propter eos qui aditu advenientes prohibebant. verum regii milites violenter aggrediebantur iter, cum alius alium praevenire cuperet. plurimi in isto ascensu, cum alii in alios inciderent, per praeceps volvebantur, et peregrini complures ibi cadebant. reliqui tamen victa itineris difficultate subierant ad arcem, et in eam impetum dedere. Graeci, quod tempore longo pugnassent, non amplius regiis militibus, cum novi et recentes usque succederent, resistere potuerunt. fatigati igitur dedidere se regi. hos omnes, ubi primum arcem occupavit, in unum locum contractos occidit. numero autem erant trecenti. ducem horum die postero in duas secuit partes. hinc profectionem instituit per Leontarium; et castris positis, cum accepisset quod uxores et liberos collocassent in urbem quandam munitam nomine Cardiceam, confestim eo pergens ibi castrametatus est. die postero urbem oppugnare statuebat ab arce, murumque una cum peregrinis proruere volebat. Azapides iussit irruptionem facere eo loci ubi palatium regium est, et inde in hostem descendere. Azapides confestim, ut imperatum erat, irrumpentes Graecos vicerunt, et in fugam abire compulerunt. interim reliqui una cum praedictis ingrediebantur in urbem. et tru-

ἐφόνευον ἀφειδέστατα, παραγγείλαντος, καὶ ἄνδρας καὶ γυναῖκας καὶ ὑποζύγια καὶ κτήνη, οὐδενὸς φειδόμενοι. αὐτίκα καὶ οἱ ἐν τῇ ἀκροπόλει παρέδωκαν σφᾶς, ἐς ὁμολογίαν χωρήσαντες. Μποχάλης δ' ἦν ὁ τῆς πόλεως ἄρχων, καὶ οἱ προσήκοντες αὐτῷ. ἐνταῦθα κήρυγμα ποιησάμενος ὁ βασιλεὺς ἐς τὸ στρατόπεδον, ἀνδράποδον ὅστις ἀπήγετο,
ἂν μὴ αὐτίκα ἥκῃ ἄγων, τὸ μὲν ἀνδράποδον κελεύσει ἀνε- D
λεῖν τὸν δεσπότην, μετὰ δὲ ἀναιρήσει καὶ τὸ ἀνδράποδον. μετὰ δὲ ταῦτα οὐδὲν σπανιώτερον ἦν ἐν τῷ στρατοπέδῳ ἀνδραπόδων τῶν τῆς πόλεως ταύτης· συναπήχθησαν γὰρ ἐς χιλίους μάλιστα καὶ διακοσίους, τούτους δὲ σύμπαντας ἀπάγων ἐς ἕνα χῶρον αὐτοῦ ταύτῃ διεχρήσατο, ὥστε μηδένα τῶν τῆς πόλεως Λεονταρίου προσόντων λειφθῆναι, μήτε ἄνδρα μήτε γυναῖκα. ἐπυθόμην δὲ μετὰ ταῦτα τῶν περιοίκων γενέσθαι τὰ σώματα ἀμφὶ τὰ ἑξακισχίλια, ὑποζύγια δὲ πολλαπλάσια. ταῦτα γενόμενα ὑπὸ βασιλέως ὡς
ἐπυνθάνετο καὶ τὰ λοιπὰ τῆς Πελοποννήσου, αὐτίκα προσε- P. 253
χώρησεν ὑπὸ δέους, πρέσβεις πέμποντα ὡς βασιλέα, ἄλλα τε καὶ Σαλβάριον καὶ Ἀρκαδία, ἐπίνειον τῆς ταύτῃ χώρας, πρὸς τῇ Πύλῳ ᾠκημένη, πόλις ἐχυρωτάτη. τούτους μὲν ὡς παρέλαβε βασιλεύς, τοῖν πολέοιν τοὺς ἄνδρας τε καὶ γυναῖκας, ἐς φυλακὴν ἐποιήσατο σύμπαντας, ἐς μυρίους μάλιστα συναθροισθέντας, καὶ ὥρμητο μὲν ὡς ἀποκτενῶν, μετὰ δὲ ἔπεμ-

cidabant, nemini parcentes, viros mulieres iumenta et pecora. etiam hi qui arcem tenebant, continuo deditionem fecerunt. Bochales autem cum suis propinquis urbem istam regebat. rex illico per praeconem in castris edici iubet, si quis mancipium abduxerit, si non illico accedat id secum adducens, mancipium dominum interficiat; postea interficiatur et mancipium. hoc edicto promulgato, nihil rarius erat in castris quam mancipia urbis istius. abducta erant inde mancipia mille et trecenta. haec iussit in unum locum congregari et omnia necari. atque adeo in mancipia saevitum est ut nullus Leontarii civis relictus sit, neque vir neque mulier. audivi postmodum ex finitimis cadavera hominum fuisse circiter sex milia, et iumenta plurima. cum caeterae Peloponnesi urbes hoc crudele regis factum accepissent, confestim metu in potestatem regis concessere, mittentes legatos ad regem. inter caetera Salvarium Arcadiae, navale eius regionis, ex adverso Pyli situm, urbs munitissima, se regi tradidit. urbem hanc ubi suscepit rex, viros et mulieres civitatis in carcerem misit. hi congregati, seu in unam summam collecti, erant decem milia, quos se interfecturum rex simulabat. tandem eos transportavit in Byzantii regionem, ut in Byzantii suburbanis degerent. ducem sive principem De-

πεν ἐς τὴν Βυζαντίου χώραν ἐς τὰ προάστεια ὡς οἰκήσοντας. τὸν δὲ ἡγεμόνα Δημήτριον περιῆγεν ἐνταῦθα, ἄχρι προσόδου
V. 197 περιελαύνων. ἔπεμπε δέ, συναινοῦντος καὶ αὐτοῦ τοῦ ἡγεμόνος, Ἰησοῦν τὸν Ἰσαακίου παραληψόμενόν τε τὴν Ἐπίδαυρον καὶ ἄξοντα τήν τε ἡγεμόνος γυναῖκα καὶ θυγατέρα, ἣν ἔφα-
B σκεν ἀγαγέσθαι ἐς γυναῖκα ἑαυτῷ βασιλεύς. ἔπεμπέ τε καὶ ἄρχοντα τῶν ἑαυτοῦ ὁ ἡγεμὼν τῶν Ἑλλήνων, πείσοντα μὲν τοὺς ἐν τῇ Ἐπιδαύρῳ παραδιδόναι τὴν πόλιν, καὶ τὴν γυναῖκα αὐτοῦ ἀπάξοντα καὶ τὴν θυγατέρα. Ἰησοῦς μὲν παραλαβὼν τοὺς Ἕλληνας ἤλαυνεν ἐς Ἐπίδαυρον. ὡς δὲ ἀφίκετο ἐπὶ τὴν πόλιν, ἐνταῦθα ὁ τῆς πόλεως ἄρχων, ἐναγόντων ἅμα καὶ τῶν ἐν τῇ πόλει, ἀφίστη ἀπὸ τοῦ ἡγεμόνος, καὶ οὐκ ἔφη παρ' αὐτῷ διδόναι τὴν πόλιν. τὴν μέντοι ἡγεμόνος Ἑλλήνων γυναῖκά τε ἅμα καὶ θυγατέρα ἐπέτρεψεν ἐξιέναι. καὶ ταύτας μέντοι, ὡς ἐξῆλθον τῆς πόλεως, παραλαβόντες ἤλαυνον ἐς τὸ στρατόπεδον. βασιλεὺς δὲ πυθόμενος ὡς ἕκαστα ἐγένετο τὰ
C περὶ Ἐπίδαυρον, τὴν μὲν γυναῖκα τοῦ ἡγεμόνος καὶ θυγατέρα ἐκ τῆς Πελοποννήσου εὐθὺ Βοιωτίας ὑπάγειν ἐκέλευσεν, ἐπιστήσας εὐνοῦχον τῇ θυγατρὶ τοῦ ἡγεμόνος· μετὰ δὲ ταῦτα, οὐ πολλῷ ὕστερον, καὶ αὐτὸν τὸν ἡγεμόνα ὑπάγειν ἔξω Πελοποννήσου ἐπέταξε παρὰ τὴν γυναῖκα. αὐτὸς δὲ ἤλαυνε μὲν αὐτίκα, μετὰ τὴν Γαρδικίης αἵρεσιν, ἐπὶ τὰς Οὐενετῶν πόλεις, καὶ Κορώνην ἀφίκετο ἐψόμενος. καὶ ὁ μὲν ἀμφὶ ταῦτα εἶχε· Ζάγανος δὲ ὁ τῆς Πελοποννήσου ὕπαρχος, ὡς τήν τε

metrium circumduxit vinctum, donec eum iterum ad colloquium admitteret. eodem principe monente misit rex Iosuen Isaaci filium, ut reciperet Epidaurum, et principis uxorem et filiam, quam rex se uxorem ducturum dicebat, secum inde adduceret. Graecorum princeps de suis ducem misit, qui persuaderet Epidauri incolis ut urbem traderent regi et paterentur principis tum uxorem tum filiam inde abduci. Iosue cum Graecorum robore profectus est Epidaurum. cum venisset ad urbem, civitatis iudex, suadentibus id et aliis civibus, deficit a principe; nec in se esse situm respondit ut urbem regi traderet. verum Graecorum principis cum uxorem tum filiam passus est exire urbe. has, ubi egressae erant, accipientes rediere in castra. rex ubi intellexit ut singula circa Epidaurum accidissent, principis uxorem et filiam ex Peloponneso recta in Boeotiam subduci iussit, addito in custodiam virginis eunucho. nec multo post etiam principem ab Peloponneso ad uxorem pergere iubet rex illico capta Cardicea profectus est contra Venetorum urbes. venitque, visurus Coronam. Zaganus Peloponnesi praefectus, cui mandatum erat ut in dedi-

Ἀχαΐαν ἐπετέτραπτο καταστρέφεσθαι καὶ Ἤλιδος τὴν πλείονα χώραν καὶ τὴν ταύτῃ μεσόγαιον, παραλαβὼν τὸ Θετταλίας στράτευμα καὶ ἱπποδρόμους τοῦ βασιλέως, τήν τε Καλαβρίτων πόλιν ὑπηγάγετο, παραδόντος Δόξα ἄρχοντος, τῶν ἐν D τοῖς Ἀλβανοῖς ἐπιφανῶν τὰ πρῶτα φερομένου. καὶ αὐτὸς μὲν αὐτίκα προσεχώρησε καὶ οἱ προσήκοντες, τῷ Ζαγάνῳ παραδόντες τὴν πόλιν· οὓς ξύμπαντας τούτους ὕστερον βασιλέως ἐπιτάξαντος διεχρήσατο. ἐλαύνων δὲ ἐπὶ Γρεβενὸν ὀχυρὰν πόλιν, ταύτην μὲν προσέβαλλέ τε, καὶ ἐξεκρούσθη τῇ χαλεπότητι τοῦ χωρίου. ἀπόπειραν δὲ ποιούμενος τῶν ἄλλων χωρίων, Σανταμέριον πόλιν, ἐς ἣν ὡς πλεῖστοι τῶν ταύτῃ περιοίκων ὄλβιοι κατέθεντο τὸν πλοῦτον καὶ τὴν ἄλλην εὐδαιμονίαν, ὡς αὐτὸν ἐνταῦθα ἀφικόμενοι διεσώζοντο, προσφέροντες λόγους τῷ Ζαγάνῳ περὶ ξυμβιβάσεως, σπονδάς τε ἐποι- P. 254 οῦντο καὶ τὴν ἀκρόπολιν παρεδίδοσαν. ταύτην δὲ ὡς παρέλαβε, δόλῳ ἐξαπατήσας, τῇ ὑστεραίᾳ μενόντων τῶν ἐν τῇ πόλει κατὰ χώραν ἐπαφεὶς τὸν στρατὸν ἠνδραποδίσατο, καὶ πολλοὺς αὐτοῦ ταύτῃ διέφθειρε. ταῦτα ὡς ἠγγέλλετο καὶ ἐς τὰς ἄλλας πόλεις, ὡς οὐδὲν σφίσιν ἔτι ἔμπεδον εἴη τῶν πρὸς βασιλέα πραγμάτων, ὥρμηντο ἀμύνεσθαι ὡς ἕκαστοι ἐν ταῖς ἑαυτῶν πόλεσι, καὶ οὐδὲν ἔτι τῶν πολισμάτων ἤθελε προσχωρεῖν. καὶ ὁ μὲν Ζάγανος οὕτω πράξας τὰ μὲν τοῦ Σαν-

2. ταύτην? 20. ἕκαστα P

tiònem regis redigeret Achaiam et Elidis regionem plurimam, necnon mediterranea Elidis, accipiens Thessaliae exercitum et regium equitatum, subiugavit Calauritam urbem, quam tradebat Doxas, qui inter Albanos facile primas ferebat. ipse cum necessariis suis continuo in dicionem regis concessit, Zagano urbem dedens. omnes tamen hos deinceps, cum sic imperaret rex, trucidavit. postea profectus est contra Grebenum urbem munitissimam, et hanc oppugnare instituit: verum loci difficultate impeditus eam expugnare nequivit. tentabat deinde et reliquas Albanorum urbes, inter quas et Santamariam; in quam urbem plurimi regionis eius opulenti divitias et opes contulerant, et ibi servabantur. evocantes autem Zaganum ad colloquium foedus pepigerunt, et eidem arcem dediderunt. hac accepta, dolo circumvenit omnes: nam immisso exercitu omnes cepit et in mancipiorum condicionem traduxit; plurimos eorum etiam occidit. haec ubi fama pertulit ad caeteras Albanorum urbes, nullam amplius spem salutis sibi in rege cernebant. quapropter singuli in suis urbibus hosti resistere parabant, nec ullum amplius oppidulum deditionem facere volebat. et Zaganus quidem cum talia faceret, maximam calamitatem Santamariae invexit. caeterum non multo post et ipse suo

ταμιείου, ἐδυστύχησεν δὲ πολλῷ ὕστερον καὶ ἀπέβαλε τὴν
B ἀρχήν. βασιλεὺς μὲν δὴ ἀπὸ Κορώνης ἐς Πύλον ἀφικόμε-
νος ἐνταῦθα ἐστρατοπεδεύετο, ᾗπερ καὶ ὁ Θωμᾶς σὺν τῇ
νηί· ἐς ἣν ἐμβὰς καὶ ἀναγόμενος ἐκαραδόκει ᾗ χωρήσει τὰ
Πελοποννήσου πράγματα. τούτῳ μὲν ἐπιπλέουσαι νῆες τῶν
Οὐενετῶν προηγόρευον ἐντεῦθεν ἀπαλλάττεσθαι, μηδὲ ἐναν-
τίον βασιλέως ἀνέχειν ἐπὶ τοῦ σφετέρου λιμένος. οὗτος μέν,
ὡς βασιλεὺς ἐστρατοπεδεύετο, ἀπηλλάττετο ἀναγόμενος ἐς τὸ
πέλαγος· οἱ δὲ Οὐενετῶν πρέσβεις ἀφικόμενοι ἐνταῦθα παρὰ
βασιλέα τάς τε σπονδὰς ἐπεκύρουν σφίσι καὶ τὴν ξενίαν τε
V. 198 καὶ εὔνοιαν ἐνεδείκνυντο βασιλεῖ. οἱ μὲν οὖν ἱπποδρόμοι
C ὅμως ἐς τὴν Πύλον ἐπιδραμόντες τινὰς οὐκ ὀλίγους ἐνταῦθα
τῶν ταύτῃ Ἀλβανῶν τῶν περιοίκων ἑλόντες διέφθειρον. ἐλά-
σαντος δὲ ἵππῳ τοῦ βασιλέως ἐπὶ Μεθώνην καὶ θεασαμένου,
τινὲς τῶν τῆς πόλεως ἐπεξῆλθον ὡς ἐπὶ σπονδαῖς, καί τινες
αὐτῶν διεφθάρησαν ὑπὸ τῶν βασιλέως. βασιλεὺς δὲ ἀπὸ
Πύλου συσκευασάμενος τὸν μέντοι Ἑλλήνων ἡγεμόνα ἐκέλευε
τὴν μεσόγαιον ὑπάγοντα εὐθὺ Βοιωτίας ἐλαύνειν, ὡς πρότε-
ρόν μοι δεδήλωται· αὐτὸς δὲ ἐπὶ Ἀχαΐδος γενόμενος, καὶ
τὰ ταύτῃ χωρία παραλαβὼν παραδόντων τῶν ἀρχόντων, πα-
D ρεγένετο ἐς Ἀχαΐαν, περιάγων καὶ Ἀσάνη τὸν τοῦ ἡγεμόνος
γυναικὸς ἀδελφόν. ἐνταῦθα δὲ ἀφικόμενος, ὡς ἐπύθετο τὰ

officio excidit. rex interea Corona relicta profectus est Pylum, et ibi castra ponebat. aderat ibidem et Thomas cum navi; quam conscendens solvebat, expectaturus quonam res Peloponnesi essent evasurae. huc cum appulissent naves Venetorum, edixerunt ut hinc decederet, nec in ipsorum portu resistere regi institueret. illic quidem, ubi castrametatum esse audierat regem, abibat, committens pelago navem. Venetorum autem legati accedentes huc ad regem foedera inita confirmarunt, et hospitalitatem benevolentiamque maximam regi exhibebant. nihilominus tamen regii equites incursionem in Pylum facientes haud paucos Albanos, qui in ea regione agebant, ceperunt, et finitimos necaverunt. equitatus regis deinde pergebat Methonam, ut videret quinam urbe essent egressi, ut se dederent regi. verum quidam ab equitibus perempti sunt. rex collectis omnibus Pylo decedens, Graecorum principem Demetrium recta in Boeotiam procedere iussit, ut in dicionem redigeret mediterraneam, quae ibi est, regionem, sicuti supra docuimus. ipse vero cum haereret in Achaiae regione, loca quae ibi erant in dicionem accipiens, dedentibus sese principibus, venit in Achaiam, vehens secum Asanem, uxoris quam princeps habebat fratrem. huc veniens accepit miserabilem calamitatem, quae contigisset Santamariae. graviter ea audita succensuit Zagano: nam me-

περὶ Σανταμέριον γενόμενα, ἐχαλέπαινε τῷ Ζαγάνῳ καὶ ἤχθετο, ὅτι διὰ τὴν ἐκείνου παράβασιν ἐς τοὺς Ἕλληνας χαλεπῶς ἂν αὐτῷ προσχωρήσειε τὰ λοιπὰ τῶν πολισμάτων. κήρυγμα δὲ ἐποιεῖτο ἀνὰ τὸ στρατόπεδον ὥστε ἀφιέναι τὰ ἀπὸ Σανταμερίου ἀνδράποδα. ἐνταῦθα ὅσα ἦν ἠλευθεροῦντο, τὰ μέντοι πλείω ἔφθησαν διαβάντα ἐς τὴν Αἰτωλίαν ἀπὸ τῆς Ἀχαΐας· Ζάγανος δὲ τὰ πλείω διεβίβασεν ἀπαγόμενος οἴκαδε. τὴν μὲν οὖν Γρεβενοῦ πόλιν πέμψας Ἰησοῦν τῶν Σκοπίων ὕπαρχον, παρεστήσατο· καὶ τούτων τὴν τρίτην μοῖραν ἀνδραποδισάμενος, καὶ ἐπιλεξάμενος εἴ τι καλὸν ἦν ἀνδράποδον P. 255 ἐν τῇ πόλει, ἀφαιρεῖτο. καὶ πρότερον μὲν ὁ τῆς Πατρῶν πόλεως ἄρχων Ἰσακάλης τοὔνομα παρεστήσατο ἔνια τῶν περιοίκων αὐτοῦ πολισμάτων. οἱ γὰρ Ἕλληνες ὡς ᾔσθοντο βασιλέα καταστρεψάμενον τὴν μεσόγαιον καὶ διαφθείραντα ἄνδρας ὡς πλείστους τῶν πόλεων, ὥρμηντο μὲν αὐτός τις ἕκαστος φθῆναι βουλόμενος παραδοῦναι σφᾶς, πρὶν ἢ ἀφικόμενον τὸν βασιλέα ἐξελεῖν σφᾶς, τὰ μὲν ἀνδραποδισάμενον, τὰ δὲ καὶ ἐπισφάξαντα. οἱ δὲ Τοῦρκοι παρελάμβανον μὲν τὰς πόλεις, ἀπρικοὶ μὲν οὖν, ἐπιλεγόμενοι δὲ τὰ κάλλιστα τῶν πόλεων ἀνδράποδα ἀφῃροῦντο. καὶ τὰ μὲν αὐτοὶ ἠνδραποδίζοντο, B τὰ μικρὰ τῶν πολισμάτων, τὰ δὲ μεγάλα παρελάμβανον, ἐπιλεγόμενοι τὰ κάλλιστα τῶν πόλεων σφίσιν. ὡς δὲ λύκοι ἐπὶ

4. ἐφιέναι P

rito indignabatur, siquidem propter errorem sive crudelitatem Zagani in Graecos reliquae urbes cunctabantur ad deditionem spectare. iussit igitur rex per praeconem in castris edici ut mancipia Santamariae conquirerentur. omnia quae in castris reperiebantur, libertatem pristinam recipiebant. plurima, antequam id fieret, transcenderant ab Achaia in Aetoliam. Zaganus quoque plurimos captivos in mancipiorum numerum relatos domum transmiserat. urbem dehinc Grebenum, misso Iosue Scopiorum praeside, cepit; et tertiam hominum, qui in ea urbe erant, partem ad mancipiorum miserabilem fortunam deduxit. hinc ipse eligens pulcherrimum quodque mancipium, ea auferebat. etiam antequam haec evenirent, Patrarum praefectus nomine Isocales oppidula quaedam finitima subegerat. nam Graeci ubi intellexerunt regem populari mediterraneam regionem et necare plurimos, ibi tum singulae civitates contendebant summis studiis ut se traderent regi, priusquam ipse adveniens urbes dirueret, quasdam in mancipiorum numerum redigeret, et alios leto daret. Turci igitur urbes susceperunt, et eligentes pulcherrima mancipia, quae in iis erant et vocantur Apsici, sibi conservabant urbes quidem minores foede diripiebant, at maiores in dicionem accipiebant, eligentes sibi ea

πρόβατα νομέων ἔρημα ἐσβαλόντες αὐταρκῶς οὐδέποτε κορέννυνται τοῦ φόνου, ἐλεεινῶς δὲ πάσχουσιν ἀπὸ τῶν θηρίων τούτων τῶν λύκων, οὕτω δὴ καὶ ἡ Πελοπόννησος ἐν τῷ τοιῷδε κάκιστα ἀπώλλυτο, διαφθειρομένη ὑπὸ τῶν βασιλέως ἀνδρῶν, οἰκτρότατα ἄλλων ἄλλῃ ἀπολλυμένων. βασιλεὺς μὲν οὖν ἀφικόμενος ἐς Πάτρας τῆς Ἀχαΐας ἐστρατοπεδεύετο, τό
C τε Καστριμένον πόλισμα προσεχώρησεν αὐτῷ. καὶ πρὸς Σαλμενίκην πέμπων κήρυκα ἐκέλευεν αὐτοὺς παραδοῦναι τὴν πόλιν. οἱ δὲ οὐκ ἔφασαν ἑκόντες εἶναι σφᾶς παραδοῦναι, εἰδότες ὡς ὅμοια πείσονται τοῖς ἄλλοις Ἕλλησι. ταῦτα μὲν ὡς ἀνήχθη ἐς βασιλέα, συσκευασάμενος τῇ ὑστεραίᾳ ἀφίκετο ἐπὶ τὴν Σαλμενίκην. ἔστι δὲ ἡ πόλις αὕτη ἐν ἀκμῇ, καθήκουσα ἀπὸ ὀρέων ὑψηλοτάτων, ἐρυμνὴ μὲν ἐς τὰ μάλιστα, ἀκρόπολις δ' ἀνέχει ἐπὶ πολὺ τοῦ κρημνοῦ ἀνατείνουσα. ἐς ταύτην τῶν περιοίκων Ἑλλήνων τε καὶ Ἀλβανῶν οἱ πλεῖστοι διασώζοντες αὐτοί τε καὶ αἱ γυναῖκες καὶ τὰ παιδία. βασιλεὺς οὖν ὡς ἐπέλασεν, ἐπολιόρκει τὴν πόλιν, τηλεβόλοις τε παίων τὸ
D τεῖχος τῆς πόλεως, ἐρυμνὸν ὂν καὶ αὐτὸ πάνυ. καὶ οἱ νεή-
V. 199 λυδες προσέβαλλον μὲν ἐγγύτατα τοῦ τείχους, καὶ ἐπειρῶντο καὶ ἄλλῃ ᾗ προεχώρει· οὐ μέντοι προεχώρει αὐτοῖς οὔτε ἡ τῆς πόλεως αἵρεσις οὔτε τἄλλα ἀξίως τῆς παρασκευῆς. τηλεβολίσκοις μέντοι ἐτίτρωσκον οὐκ ὀλίγους τῶν ἐν τῇ πόλει.

12. ἀκτῇ? 14. ἂν ἔχει P

quae in urbibus erant pulcherrima. quemadmodum in oves a pastoribus desertas irruunt lupi, nec caede unquam satiantur, verum misere luporum saevitia oves pereunt, sic ea tempestate Peloponnesus crudelissime interibat, vastata et corrupta ab regiis militibus, cum alii alibi miserandum in modum occumberent. rex cum advenisset Patras Achaiae, castra communivit et Castrimenum urbem in deditionem accepit. misit quoque praeconem ad Salmenicam, qui iuberet eos urbem dedere. verum hi responderunt se nondum satis paratos esse ut deditionem facerent. scire enim se, si deditionem facerent, se idem quod accidisset reliquis Graecis passuros. haec ut relata sunt ad regem, postero die omnibus collectis venit Salmenicam. urbs haec sita est in cacumine montium excelsorum, locique natura est munitissima. arx praeterea urbis exaedificata est in praecipitio montis, erigens se supra urbem. in hac servabantur, putantes se tutos fore ab imminenti discrimine, finitimorum Graecorum et Albanorum plurimi cum uxoribus et liberis. rex ubi ad eam urbem accessit, bombardas expediri iussit, quibus murum, qui firmissimus erat nec bombardis cedebat, quassavit. tandem in aliis locis periculum fecit, si quid promovere posset. quamvis tamen omnia tentaret, urbem capere nequibat, nec quicquam tanto apparatu dignum efficie-

ἡμέρας δὲ ἑπτὰ πολιορκῶν, καὶ τὸ ὕδωρ τοῦ ποταμοῦ κατασχόντων τῶν νεηλύδων, οὐ πολλῷ ὕστερον οἱ ἐν τῇ πόλει ἐν ἀπόρῳ καθεστηκότες, ὡς δίψει συνείχοντο ἀπαύστῳ, παρέδωκαν σφᾶς τῷ βασιλεῖ. τούτους μέν, αμφὶ τοὺς ἑξακισχιλίους ὄντας, ἐς ἀνδράποδα διελόμενος τοῖς ἀρίστοις κατὰ τὸ στρατόπεδον, ἐπιλεξάμενος παῖδας ὡσεὶ ἐνακοσίους εἰς τοὺς νεήλυδας, P. 256 τοὺς ἄλλους ἀπέδοτο ἐν τῇ ἀγορᾷ. ὁ μέντοι ἐν τῇ ἀκροπόλει τῶν Ἑλλήνων (Παλαιολόγος ἦν τοὔνομα) λόγους τε ἐποιεῖτο ἐφ' ᾧ παραδοίη τὴν ἀκρόπολιν, ἂν μέντοι συσκευασάμενος σταθμὸν ἕνα ἀπιὼν στρατοπεδεύοιτο. βασιλεὺς δὲ προσίετό τε τοὺς λόγους, καὶ ὁμήρους λαβὼν ἀπανέστη ἐντεῦθεν, κατιὼν δὲ ἐς τὸ Αἴγιον ἐστρατοπεδεύετο, καταλιπὼν αὐτοῦ Χαμουζᾶν τὸν Πελοποννήσου τε καὶ Θετταλίας ὕπαρχον· τοῦτον γὰρ ἐπιστήσας ἀφείλετο τὴν ἀρχὴν Ζαγάνου διὰ τὴν Σανταμαρίου ἀποτυχίαν. οὗτος μέντοι ὡς κατελέλειπτο αὐτοῦ ἐφ' ᾧ παραλαβεῖν τὴν πόλιν, διέτριβε τῇ ὑστεραίᾳ. B καὶ οἱ μὲν Ἕλληνες ἀπόπειραν ποιούμενοι ἐξέλιπόν τινας τῶν ἐν τῇ ἀκροπόλει, ὥστε ἀπιέναι ἀποφερομένους τὰ ἔπιπλα σφῶν ἐς τὴν ἀντίπεραν τῆς Πελοποννήσου ἤπειρον, οἳ διενοοῦντο διαβῆναι ἐπὶ τοὺς Οὐενετούς· ἐς τοῦτο γὰρ σφίσιν ἐπεποίηντο αἱ σπονδαί. τούτους μέντοι ἐξιόντας ἐκ τῆς πό-

11. ἐπανέστη P

bat. bombardarii interim haud paucos oppidanos vulnerabant globulis. cum autem urbem diebus septem obsidione urgeret, et peregrini milites aquam fluminis, unde obsessi aquam hauriebant, obtinuissent, non multo post siti expugnati oppidani se regi dediderunt. hos igitur ad miserandam mancipiorum fortunam redactos, rex in omnes exercitus sui proceres partitur. inde quoque elegit pueros circiter nongentos, quos in peregrinorum ordinem transtulit. reliquum vulgus veniit in publico foro. is autem qui arci praeerat, erat dux Graecorum, nomine Palaeologus. indicabat regi se arcem traditurum, si ipse hinc profectus miliare unum castra posuisset. rex condicionem hanc haud abnuit, acceptisque in rei fidem obsidibus inde digressus est, et veniens Aegium castra locavit, relicto illic Chamuze Peloponnesi et Thessaliae praefecto. hunc Peloponneso et Thessaliae praefecerat rex, cum ex ea dignitate expulisset Zaganum propter Santamariae calamitatem. ille autem iussus manere ut arcem in deditionem caperet, postero die moratus est, nihil faciens. Graeci autem periculum facturi num satis omnia tuta sint, quosdam eorum qui in arce fuerant dimiserunt, ut abirent portantes suam supellectilem in continentem, quae ex adverso Peloponnesi erat. nam inde cogitabant transire ad Venetos. hac enim condicione foedus ictum erat. hos igitur egressos urbe et ad abitum instructos comprehendit Chamuzes,

λεως καὶ παρασκευαζομένους ἀπιέναι συλλαμβάνει ὁ Χαμου-
ζᾶς, καὶ εἰς ἀνδραπόδων λόγον ποιησάμενος ἐπέσχε τοὺς ἐν
τῇ ἀκροπόλει παραδιδόναι τὴν ἀκρόπολιν. γράμματα δὲ πέμ-
ποντες ὡς βασιλέα ἀπήγγελον τὴν τοῦ ὑπάρχου ἀγνωμοσύ-
C νην, καὶ ὡς αὐτίκα παραβαίη τὰς βασιλέως σπονδάς. πυν-
θανόμενος δὲ ἕκαστα τὸν μέντοι Χαμουζᾶν ἐξέλασεν ἀπὸ τῆς
ἀρχῆς, Ζάγανον δὲ αὖθις ἀπέδειξε Θετταλίας τε ἅμα καὶ
Πελοποννήσου ἄρχοντά τε καὶ ὕπαρχον. ἐπιτρέψας δὲ αὐτῷ
ἄμφω τὼ χώρα, αὐτὸς ἤλαυνε διὰ τοῦ Φεναοῦ. ἐνταῦθα οὖν
ἀφικόμενος ἔπεμπε κήρυκα ἐς τὰ πολίσματα, ὡς βασιλεὺς
αὐτοῖς τῶν παρεληλυθότων συγγνώμην τε ἴσχοι, καὶ κελεύοι
κατιόντας ἀπὸ τῶν πολισμάτων ἀγορὰν παρέχειν τῷ βασιλέως
στρατῷ. οἱ μὲν οὖν τινὲς αὐτῶν ἐπείθοντο, καὶ κατιόντες ἐς
τὸ στρατόπεδον συνέμισγον τοῖς Τούρκοις. βασιλεὺς δὲ συν-
αγαγὼν τούς τε τῶν θυρῶν καὶ ἱπποδρόμων ὅσοι παρῆσαν,
D ἠφίει ἐπὶ τοὺς Ἀλβανοὺς ὡς ἀναρπασομένους. οὗτοι μὲν
οὖν ὅσοι ἐπείθοντο τῷ λόγῳ, ἐξαπατηθέντες οὕτω ἀπώλοντο.
καὶ τά τε ὑποζύγια καὶ κτήνη τῆς χώρας ἐξελαύνοντες ἐκο-
μίζοντο ἐπὶ Κόρινθον. ἐπὶ λόγῳ τοιῷδε ἐπέδραμε τὰ Φλι-
οῦντος χωρία. οἱ γὰρ ἐν τούτοις κατῳκημένοι τῶν Ἀλβανῶν,
ἅτε ἐν ὀχυρῷ πάνυ ᾠκημένοι, ἦγον καὶ ἔφερον τὰ Ἑλλήνων
πράγματα, καὶ τοὺς λοιποὺς τούσδε ἐς τὰ κάτω χωρία τῆς
Πελοποννήσου εἶχον ἑπομένους σφίσιν ᾗ ἂν οὗτοι ὑφηγήσαιν-

et ad mancipiorum condicionem eos trahens, auctor fuit iis qui in arce erant non tradendae arcis. literis enim missis significarunt regi ducis imprudentiam et inscitiam, quod illico foedera regis violaverit. rex quid actum esset ubi rescivit, Chamuzam officio suo eiecit, Zaganum vero iterum praefectum Peloponnesi et ducem Thessaliae constituit. cum huic regiones istas commisisset, iter fecit per Phaeanum. huc cum venisset, praeconem dimisit per oppidula finitima, qui diceret regem praeteritorum veniam dare, et iubere ut descendentes in castra suis militibus commeatum vendant. quidam igitur dicto audientes fuere, et venientes in castra admiscebantur Turcis. rex congregans ianuarum milites, quotquot praesto erant, et equites, eos emisit in Albanos quasi omnes rapturus. quotquot praeconis voci paruerant, in hunc modum occumbebant, et iumenta pecoraque, hac occasione usi, abigentes advenere Corinthum. pari fraude usus etiam in Phliuntis regionem incursionem fecit. nam Albani incolentes loca ista munitissima Graecorum res agebant et ferebant. reliqui Albani, qui habitabant in inferiore Peloponnesi regione, accedebant praedictis Albanis auxiliares, et sequebantur quocunque bellum aver-

τὸ ἐπὶ τὸν πόλεμον. ὥστε ἀσθενῆ ἔγνω ποιῆσαι δεῖν τὰ χωρία ταῦτα, καὶ ὡρμημένους ἐντεῦθεν τοὺς Ἀλβανοὺς νεωτερίζειν ἐς τὴν βασιλέως χώραν. καὶ τό γε πλέον τῆς ἀποβάσεως οὕτως ἐλέγοντο ποιεῖσθαι, καὶ ἄγειν τοὺς λοιποὺς ὅποι P. 257 ἂν ἐξηγήσαιντο.

Ταῦτα μὲν ἐς τὴν Πελοποννήσου ἅλωσιν ἐς τοσοῦτον ἐγένετο· βασιλεὺς δὲ Ἀθήναζε ἀφικόμενος περιιὼν ἐπεσκόπει τήν τε παλαιὰν πόλιν καὶ τοὺς λιμένας. V. 200 ἐξηγουμένων δὲ οἱ τῶν ἐν τῇ ἀκροπόλει νεηλύδων ὡς Ἀθηναίων τινὲς συνθέμενοι προδοσίαν Φράγκῳ τῆς Βοιωτίας ἄρχοντι, πρότερον γενομένῳ Ἀθηναίων τυράννῳ, ἐς κίνδυνον ἀφίκοντο αὐτοί τε καὶ ἡ πόλις, ἐνταῦθα ἀναπεισθεὶς βασιλεὺς συλλαμβάνει δέκα τῶν ἀστῶν, ἄνδρας τοὺς ὀλβιωτέρους, καὶ ἀπαγαγὼν τούτους κατῴκισεν ἐς Βυζάντιον. κομιζόμενος μέντοι ἐπ' οἴκου καὶ πέμπων κήρυκας ἐκέλευε τὸν ἡγεμόνα Δημήτριον ὑπάγειν B πρόσθεν σὺν τῇ γυναικί, καὶ αὐτὸς σχολῇ ἐπορεύετο. τῷ μέντοι ἡγεμόνι ἐπέτρεψεν Αἶνον πόλιν καὶ πρόσοδον ἀπὸ τῆς αὐτοῦ ταύτῃ ἁλικῆς καὶ ἀπὸ τῶν θυρῶν, ἐς ἑξήκοντα μυριάδας ἀργυρίου. τὸν μὲν οὖν Φράγκον τοῦ Ἀντωνίου παῖδα, παιδικά τε αὐτοῦ γενόμενον, ὥς λέγεται, καὶ παραδόντα τὴν Ἀθηναίων ἀκρόπολιν, πέμπων Ζαγάνῳ τῷ τῆς Πελοποννήσου ὑπάρχῳ ἐκέλευεν ἀνελεῖν. Ζάγανος δὲ ἐς τὴν σκηνὴν συγκα-

tissent. itaque rex decrevit loca ista reddere infirma. Albanos praeterea hinc digressos noluit amplius quid in sua regione rex innovare: nam plerumque Albanos, quemadmodum modo diximus, defectionem fecisse aiunt et reliquos defectionis socios traxisse.

In hunc modum in dicionem regis rediit Peloponnesus. rex autem veniens Athenas, obambulans hinc inde, veterem illam urbem et portus spectabat. interea quidam peregrini, qui in arce erant, exponunt regi quosdam Athenienses coniurationem fecisse, ut proderent urbem Franco Boeotiae principi, qui antea princeps Atheniensium extiterat. sic urbs et Athenienses in magnum discrimen venere. nam rex huic indicio fidem dans capit cives decem opulentissimos, eosque inde abducens deportavit Byzantium, ut ibi habitarent. rediens autem domum praecones misit, iubens Demetrium ducem praecedere cum uxore: ipse vero per otium sequebatur. duci quidem tradidit urbem Aenum et vectigal quod ab salinis istius urbis solvebatur. praeterea a ianuis regis accipiebat circiter sexaginta myriades librarum argenti. Francum Antonii filium, quo per amorem abusus fuerat, ut fertur, eique crediderat Atheniensium arcem, eum, inquam, misit ad Zaganum Peloponnesi praefectum, quem occidi iussit. Za-

λέσας αὐτὸν ἐς ὁμιλίαν καθίστατο ἄχρι νυκτός, μετὰ δέ, ὡς ἀπιὼν ὥρμητο ἐπὶ τὴν ἑαυτοῦ σκηνήν, κελεύσαντος δὲ αὐτοῦ C ταύτῃ ἀπέκτεινεν. τούτου μὲν ἡ τελευτὴ οὕτως ἔσχε· βασιλεὺς δὲ κομιζόμενος ἐπ' οἴκου σχολῇ ἐπορεύετο, καὶ ἐπὶ Φερρὰς ἀφικόμενος ἡμέρας τε διέτριψεν αὐτοῦ· ἠγγέλλετο γὰρ ἀπὸ Παιόνων στρατὸν ἐλαύνειν ἐπιόντα ἐπὶ τὸν Ἴστρον. ὡς δὲ κατάδηλα ἐγένετο οὐδὲν ὄντα, παρῆν ἐς Ἀδριανούπολιν οὐ πολλῷ ὕστερον, ἅμα ἄγων καὶ τῶν Ἑλλήνων βασιλέως ἀδελφὸν Δημήτριον καὶ γυναῖκα. ἐς μὲν οὖν τὰ βασίλεια ἀφικόμενος, πέμψας τόν τε εὐνοῦχον ἀπήγαγεν ἀπὸ τῆς τοῦ ἡγεμόνος θυγατρός. Ζάγανος δὲ καταλειφθεὶς ἐν Πελοποννήσῳ, ἔχων μετ' ἑαυτοῦ καὶ τὸ τῆς Θετταλίας στράτευμα D ἄνευ τῶν ἱπποδρόμων, καθίστη περιιὼν τὰ τῆς Πελοποννήσου πράγματα, καὶ μεγάλα ἀπέφερε κέρδη, αὐτός τε καὶ οἱ τῆς Πελοποννήσου ἄρχοντες, ἀπό τε ἀνδραπόδων, ἃ κρύφα ἀποφερόμενοι διεβίβαζον ἐς Θετταλίαν, καὶ δῶρα εἰσπραττόμενος τοὺς ἐν τῇ Πελοποννήσῳ. καὶ Σαλμενίκην ἐπελαύνων ἐπολιόρκει, λόγους τε προσφέρων ἐπιεικεῖς εἰς τὴν παράδοσιν. οὗτοι μὲν οὐκ ἐπείθοντο, συνέβη δὲ ὕστερον ἀσινῆ ὑπεξελθεῖν ἐκ τῆς ἀκροπόλεως ταύτης Ἑλλήνων ἄρχοντα, ἐνιαυτὸν ἐπιμείναντα, γενναιότατα ὑποστάντα τὸν πρὸς βασιλέα πόλεμον, ὥστε Μαχουμούτῃ τὸν τοῦ βασιλέως οἶκον ἡγεμόνα φάναι

ganus invitans istum in tentorium suum, cum eo collocutus est usque ad noctem. postea autem cum abiret Francus pergens ad suum tentorium, ibi interfectus est a Zagano, cum ut ibi necaretur precibus impetrasset. Franci mors talis fuit. rex autem per otium revertebatur domum. cum advenisset Pherras, diem ibi moratus est. nam fama erat Pannones cum exercitu accedere ad Istrum. ubi autem cognitum est famam hanc esse falsam, non multo post Adrianopolim pervenit, ducens secum Graecorum regis fratrem Demetrium cum uxore. ubi processit in regiam sedem, misso nuntio eunuchum abduxit a custodia filiae ducis. Zaganus qui relictus fuerat in Peloponneso, habens sub se Thessaliae exercitum, equitibus exceptis res Peloponnesi circumiens componebat. plurimum lucri tum huic tum Peloponnesi ducibus accedebat ab mancipiis, quae clam ferentes transmiserant in Thessaliam. Peloponnesiaci quoque plurima munera in istum virum congerebant. Salmenicam quoque exercitu circumsedit, et aequas condiciones, quibus oppidani urbem dederent, obtulit. caeterum oppidani eas condiciones respuere, nec iis obtemperare voluerunt. contigit autem postmodum ut impune et illaesus exiret ab arce ista Graecorum dux, qui per annum ibi manserat, quam fortissime et generosissime sustinens bellum quod ab rege inferebatur.

ἐπὶ τούτῳ τἀνδρὶ ὡς ἐς Πελοπόννησον τοσαύτην χώραν ἀφι- P. 258 *κόμενος ἀνδράποδα μὲν πολλὰ εὕροιτο, ἄνδρα δὲ ἕνα ὅτι μὴ τοιοῦτον.*

Βασιλεὺς μὲν τότε ἀμφὶ τοῖς βασιλείοις ἦν. Θωμᾶς δὲ ἐκ τῆς Πελοποννήσου, καὶ Ἐπίδαυρον παραλαβών, ἀφίκετο ἐπὶ Κέρκυραν, καὶ ἐκβαλὼν γυναῖκάς τε καὶ παῖδας ἔπλει ἐπὶ Ἰταλίαν παρὰ τῶν Ῥωμαίων ἀρχιερέα, καὶ πρέσβυν ἀπὸ Κερκύρας ὡς βασιλέα ἔπεμπε, πειρώμενος εἰ καὶ αὐτῷ χώραν ἐπιδῷ ὁποιανοῦν τῆς Εὐρώπης παράλιον, ὥστε τὴν Ἐπίδαυρον παραδοῦναι τῷ βασιλεῖ. τὸν μὲν οὖν πρέσβυν συλλαβὼν ἐν πέδαις τε ἐποιήσατο, καὶ οὐ πολλῷ ὕστερον ἀφῆκεν ἀβλαβῆ ἀπιέναι· ἀφικόμενος δὲ Θωμᾶς ὁ ἡγεμὼν παρὰ B *τὸν ἀρχιερέα τὴν δίαιταν εἶχεν ἐκ τούτου, ἑξακισχιλίους χρυσίου τοῦ ἔτους στατῆρας.*

Τοῦ δὲ ἐπιγινομένου θέρους, ὡς τὸ ἔαρ ἐπεγένετο, ἐστρα- 1461 *τεύετο Μεχμέτης ἐπὶ τὸν Κασταμόνης τε καὶ Σινώπης ἡγεμόνα, αἰτιασάμενος ὅτι Χασάνῃ τῷ μακρῷ ἐπιτήδειός τε ἦν,* V. 201 *καὶ ἐδόκει ἂν μεταστῆναι μετ' αὐτοῦ ἐπὶ τὴν Μεχμέτεω χώραν, ἐπιόντα ἅμα ἐκείνῳ στρατεύεσθαι. λέγεται μὲν δὴ καὶ ἄλλα, ὡς ὁ Ἀμάρλεω ἀδελφὸς διατρίβων ἐν ταῖς βασιλέως θύραις συνεβούλευε βασιλεῖ στρατεύεσθαι ἐπὶ τὸν ἀδελφόν. πληρώσας δὲ ναῦς πλοῖά τε καὶ τριήρεις ἀμφὶ τὰ πεντήκον-*

2. rectius *οὐδένα ὅτι μὴ τοῦτον.*

nam Machumetes regiae domus princeps de isto viro talem sententiam protulit. "veni in Peloponnesum, quae admodum magna regio est, et mancipia repperi plurima, nullum vero virum praeter istum."

Rex ea tempestate in regia sede versabatur. Thomas ab Peloponneso profectus et Epidaurum assumens accessit ad Corcyram, et eiectis inde mulieribus et liberis navigabat in Italiam ad Romanum pontificem. misit quoque legatum ad regem, periculum facturus num reddere sibi vellet pro Epidauro, quam tradere volebat, regionem omnem Europae maritimam. rex legatum istum comprehendi et in vincula duci iubet. nec tamen multo post eum inviolatum et illaesum dimisit. Thomas veniens ad Romanum pontificem, apud eum victum habuit et quotannis sex milia staterum argenti.

Insequenti aestate, ubi apparuit ver, expeditionem sumpsit Mechmetes contra Castamonae et Sinopae principem. huic dabat crimini amicitiam quam fecerat cum Chasane Longo; praeterea quod parabat, Chasani adiunctus, incursionem facere in suam regionem, una cum eo hostiliter accedens. feruntur et alia: videlicet Amarles frater, agens in ianuis regis, regi non cessavit suadere ut fratri suo bellum indiceret. implens igitur rex naves et triremes circiter quinquaginta

τα καὶ ἑκατὸν κατὰ θάλασσαν, καὶ αὐτὸς διαβὰς ἐς τὴν
C Ἀσίαν, ἐκομίζετο πεζῇ διὰ τῆς ἠπείρου, καὶ ὁ στόλος αὐτῷ διὰ θαλάσσης ἐν χρῷ παραλαβὼν τὴν Ἀσίαν, ἐς ὃ ἀφίκετο ἐπὶ Σινώπην. καὶ ὁ βασιλεὺς στρατευσάμενος διὰ τῆς Κασταμονίης πόλεως διελαύνων ἀφίκετο ἐπὶ Σινώπην. ἔστι δ' ἡ πόλις αὕτη προκειμένη περὶ τὸν Εὔξεινον πόντον, διατείνει δὲ χερρόνησος οὖσα ἐς τὴν θάλασσαν ἐπὶ σταδίους εἴκοσι καὶ ἑπτά, καὶ παρὰ τῷ ἰσθμῷ οἰκεῖται ἡ πόλις, ἐφ' ἑκάτερα ἔχουσα τὴν θάλασσαν καὶ λιμένα αὐτοφυῆ. ἡ δὲ ἐπέκεινα τῆς πόλεως ἔσω διατείνουσα χερρόνησος διήκει ἐπὶ σταδίους εἴκοσιν, ἔμπλεως δέ ἐστι παραδείσων τε καὶ δένδρων παντοδαπῶν, ἡμέρων τε καὶ ἀγρίων, Πόρδαπας ὀνομαζομένη, ἔχουσά τε ἐντὸς
D δορκάδας λαγωούς τε καὶ ἄλλ' ἄττα κυνηγέσιμα. ἡ δὲ πόλις ἐρυμνὴ μέν ἐστιν ἐφ' ἑκάτερα τῆς θαλάσσης ἐς τὰ μάλιστα, περικαλλεστάτη τε καὶ ὡραία· ἀπὸ δὲ τῆς ἠπείρου ἀνέχει μὲν ἡ πόλις ἐπὶ ἀκτήν τινα, ἡ δὲ ἀπὸ τῆς χερρονήσου χώρα τῆς πόλεως πεδεινή τε καὶ οἷα προσβάλλειν τῷ τείχει ὡς ῥᾷστα. Μαχουμούτης μὲν οὖν ἐλάσας ἐπὶ τὴν πόλιν πρὶν ἢ βασιλέα ἀφικέσθαι ἐς τὸ στρατόπεδον, προσέφερε λόγους τῷ Ἰσμαήλῃ, λέγων τοιάδε. "ὦ παῖ Σκενδέρεω, σὺ μὲν γένους εἶ τῶν Τούρκων ἐπιφανοῦς, καὶ τόν γε βασιλέα οἶσθα ὡς τοῦ γένους τούτου ὢν πρός τε τοὺς πολεμίους τοῦ Μεχμέτεω ἥρωος οὐ παύεται διαπολεμῶν. τί οὖν οὐχ ἡσυχίαν ἄγων, καὶ

et centum, eam classem mari profectionem facere iussit. ipse vero transiens in Asiam itinere pedestri per continentem incedebat. classis regia Asiae oram tenebat, donec veniret Sinopam. at rex iter faciens per Castamonam urbem cum exercitu, tandem pervenit Sinopam. urbs haec praeiacet Euxino Ponto. extendit se, cum sit chersonesus, in mare stadiis viginti septem; et in isthmo sita est. hortis et arboribus abundat. plantas et arbores producit omnigenas, tam mansuetas quam silvestres. nomen eius est Pordapas. sunt ibi damularum et leporum vivaria, nec desunt aliae ferae, quas venari solemus. urbs admodum munita est: nam utrinque mari cingitur, cum sit speciosa et pulchra. ab continente vergit urbs ea in locum arenosum. ea vero regio quae in chersonesum panditur, campestris est; et hinc facile urbis moenia aggredi licet. Machumetes profectus ad urbem istam, ante adventum regis in Turcorum castra, huiusmodi orationem cum Ismaele habuisse fertur. "o fili Scenderis, tu quidem ex illustri Tyriorum genere natus es. praeterea non te fugit etiam regem ex isto genere prodiisse, et contra Mechmetae hostes haud cessare bellum gerere. quidni igitur pacem et tranquillitatem am-

τἀδελφῷ τῷ σῷ τὴν ἡμίσειαν ἀρχὴν ἐπιτρέπων, ἐς τὸ ἥμισυ P. 259 βασιλεύειν ἐθέλεις, ἀλλ' ἀφελόμενος τὸν ἀδελφὸν τὸν σὸν σύμπασαν ἤδη τὴν ἀρχὴν διέπεις, ἐναντία βασιλέως φερόμενος; νῦν οὖν ὅπως ταῦτα ἐπὶ τὸ βέλτιον καταστῇ, ἴθι, ἐξιὼν ἐλθὲ ὡς βασιλέα, σαυτὸν ἐπιτρέψων τε ἅμα καὶ τὴν ἡγεμονίαν. καὶ οὕτω σαφῶς ἴσθι ὡς οὐδὲν ἄχαρι πεισόμενος πρὸς βασιλέως, οὐδὲ τὸ ὑπερβαλεῖν χάριν τοιάνδε αὐτῷ καταθέμενος. καὶ ἔσται σοι χώρα οὐκ ἐλάττων τῆσδε τῆς σῆς χώρας, καὶ ἅμα ἐν ἀσφαλείᾳ βιοτεύων εὐδαιμονίαν μὲν ἄλυπον ἕξεις, πράγματα δὲ οὔτε πρὸς τῶν πολεμίων ἡμῖν τε καὶ σοὶ ἔσται τοῦ λοιποῦ, οὔτε πρὸς τοῦ ἀδελφοῦ ἐπιτιθεμένου σοί ἀεὶ καὶ B ἐς τὴν ἀρχὴν ἐπιβουλεύοντος. ἴθι οὖν, αὐτὸς ἐξηγοῦ ὁποίαν σοι ἐν τῇ Εὐρώπῃ ἀρχὴν ζητεῖς παρὰ βασιλέως, ὡς ἂν διαπράξωμαι περὶ αὐτῆς ἐς τὸν βασιλέα." ταῦτα μὲν Μαχουμούτης ὁ Μιχαήλου ἡγεμὼν ἔλεγεν· Ἰσμαήλης δ' ὑπολαβὼν ἔλεγεν "ἀλλ' ἐχρῆν μέν, ὦ Μαχουμούτη, ἐς τοὺς ἥρωος πολεμίους στρατευόμενον τὸν βασιλέα ἐλαύνειν, καὶ οὐκ ἐπὶ τοὺς ὁμοφύλους καὶ ὁμοπίστους· οὐ γὰρ θέμις ἄνδρα ὁμόφυλον καὶ ὑπόσπονδον, μὴ ὑπάρξαντα ἀδικίας, πρότερον καταλύειν ἐλθόντα. ἡμεῖς δὲ οὔτε ἄδικόν τι ἐς βασιλέα ἐπράξαμεν οὔτε τὰς C σπονδὰς παραβαίνομεν. εἰ δὲ ταῦτα μὲν οὖν καὶ αὐτὸς ἐντεθύμηται βασιλεύς, πρὸς δὲ Χασάνη τὸν πόλεμον ταύτην οἱ

4. ἴσθι P

plecteris, et fratri tuo dimidium principatum concedens, alteri dimidio principatui imperare non vis? sed spolias fratrem dimidia principatus parte, et totum gubernas, nec interim abstines iniuriis adversum te provocare regem. nunc igitur, ut res tuae meliore sint loco, consulo ut egressus ad regem te et principatum ei tradas. nec ingratum experiere regem. proinde ne cuncteris huiusmodi beneficio tibi regem devincire. nam satis scio, aliam accipies ab rege regionem tua nequaquam minorem, et beate secureque vives; nec ulla tibi interveniet tristitia. nec negotia tibi erunt deinceps aut cum nostris aut cum tuis hostibus. etiam ab fratre tuo tutus eris. nec erit hostis qui principatui tuo insidietur. ipse igitur profer quem tibi ab rege in Europa principatum dari velis, eumque tibi apud regem impetrabo." haec quidem locutus est Machumetes dux, filius Michaelis. at Ismael respondens inquit "verum oportebat, o Machumeta, regem bello lacessere Mechmetae herois hostes, nec nos bello affligere qui eiusdem et nationis et fidei sumus. haud enim fas censetur ut bellum moveat contra virum eiusdem nationis, et in foedus susceptum; praeterea qui non prior iniurias fecerit et eum e medio tollere statuat. nos quidem iniuria nulla affecimus regem, nec foe-

τὴν χώραν ἐθέλει γενέσθαι, φέρε ἐπιδότω ἡμῖν Φιλιππόπολιν
ἀντὶ τῆσδε τῆς χώρας, ὥστε μὴ ὑπόφορον ἔχειν ἀλλ' ἀτελῆ,
καὶ χωρήσομεν ὡς βασιλέα, πιστεύοντες αὐτοῦ τῇ ἐπιεικείᾳ.
V.202 ὁρᾶτε οὖν τὴν πόλιν, ὡς ἐν ὀχυρῷ πάνυ ᾠκημένη καὶ κεκοσμημένη ὅπλοις. τετρακοσίους μὲν τηλεβόλους, τηλεβολίσκους
δὲ ἀμφὶ τοὺς δισχιλίους καὶ ἄνδρας ὑπὲρ τοὺς μυρίους παρέχει, ὡς ἀσφαλέστατα μὲν ἡμῖν τε αὐτοῖς ἀμύνεσθαι, καὶ
τοῖς πολεμίοις ὡς ἐπιζήμια." ταῦτα ἀκούσας ὁ Μαχουμού-
D της, καὶ ἡσθεὶς πάνυ τοῖς Ἰσμαήλεω λόγοις, προήλαυνεν ἐπὶ
βασιλέα ὡς ἐπὶ τῇ ξυμβάσει τῆς πόλεως συνησθησόμενος βασιλεῖ. βασιλεὺς μὲν ὡς ἐπύθετο ἕκαστα τὰ ἀπὸ Ἰσμαήλεω,
ἕτοιμος ἦν σπένδεσθαι ἐφ' οἷς προΐσχετο Ἰσμαήλης αἰτῶν,
καὶ τήν τε Φιλιππόπολιν παρείχετο. καὶ Ἰσμαήλης ξύμπαντα
τὸν ὄλβον ἀποφερόμενος ὑπεξεχώρει ἐκ τῆς πόλεως, ἐς τὴν
Εὐρώπην διακομιζόμενος ἐπὶ τὴν χώραν ἣν αὐτῷ παρέσχε
βασιλεύς. ἐνταῦθα ὡς παρέλαβε τε τὴν πόλιν ὁ βασιλεύς,
καὶ Ἰσμαήλην τε ἔπεμπεν ἐς τὴν Εὐρώπην, τάτε ἄλλα ὅσα
ἐς τὴν ἀρχὴν αὐτοῦ διετέλει προσεχώρησεν αὐτίκα τῷ βασιλεῖ, καὶ δὴ καὶ Κασταμώνη πόλις εὐδαίμων ἐρυμνή τε ἐς τὰ
P.260 μάλιστα, ἐς ἣν γυναῖκά τε καὶ παῖδας ὑπεξέθετο καὶ αὐτὸς
παρεσκευάζετο ἐν Σινώπῃ πολιορκησόμενος.

5. τετρακοσίοις μὲν τηλεβόλοις, τηλεβολίσκοις δὲ ἀμφὶ τοῖς δισχιλίοις R 6. ἀνδράσιν P

dera violavimus. sin rex nobis succenset, quod Chasanem coluerim, age, in hunc belli molem avertat. ergo si hanc regionem rex sibi tradi postulat, pro ea nobis tribuat Philippopolim: at ita, ne eam tributariam, verum immunem possideam. quod si fecerit, ad regem pergemus, eius aequitati fidem habentes. videtisne quam egregie urbs munita sit loci natura et armis instructa? bombardae in circuitu positae sunt quadringentae. bombardarii iaculatores adsunt circiter bis mille. habet supra decem milia virorum haec urbs. hinc datur nobis quam tutissime resistere et hostes gravissime laedere." his auditis Machumetes plurimum delectatus est Ismaelis oratione; et processit ad regem, ut ei persuaderet, qui urbem istam in dicionem acciperet. rex ubi singula, quae commemorasset Ismael, intellexit, paratus erat pacem componere his condicionibus quas obtulisset Ismael. proinde Philippopolim ei praebuit. Ismael universas suas opes ferens excedebat urbe, et proficiscebatur in eam Europae regionem quam ei rex assignaverat. rex cum in dicionem accepisset urbem et Ismaelem in Europam ablegasset, etiam reliqua quae ad istum principatum pertinebant, in regis dicionem devenere. et sane Castamona urbs erat opulenta et inprimis munita. in hanc princeps collocaverat uxorem et liberos. ipse vero obsidionem Siuopae tolerare volebat.

Ἡ δὲ χώρα αὕτη τοῦ Ἰσμαήλεω ἄρχεται μὲν ἀπὸ τῆς ἐς τὸν Πόντον Ἡρακλείας πόλεως τοῦ βασιλέως, διατείνει δὲ διὰ τοῦ Πόντου ἐς τὴν Παφλαγόνων χώραν καὶ ἐπὶ τὴν Τουργούτεω χώραν, ὀλβιωτάτη δὲ οὖσα πρόσοδον ἔχει ἐς τὰς εἴκοσι μυριάδας χρυσίου τοῦ ἔτους στατῆρας. χαλκὸν δέ, ὡς καὶ ἄλλοθι μοι τοῦ λόγου, φέρει ἡ χώρα αὕτη μόνη τῶν ἐν τῇ Ἀσίᾳ, χαλκὸν δὲ κάλλιστον μετά γε τὸν Ἰβηρίας χαλκόν, ἀφ' οὗ δὴ προσήει τῷ βασιλεῖ ἐπέτειος φόρος χρυσίου πέντε μυριάδες στατήρων. πλοῖα δὲ ἐπῆν ἐν τῷ λιμένι τῆς Σινώπης B ἄλλα τε καὶ ναῦς στρογγύλη, ἣν ἐναυπηγήσατο Ἰσμαήλης, ἐνακοσίων πίθων. ταύτην μὲν οὖν ἐς Βυζάντιον . . . ᾗ δὴ καὶ βασιλεὺς ἐναυπηγεῖτο ναῦν μεγίστην δὴ τῶν πώποτε γενομένων νεῶν μετά γε τὴν Οὐενετῶν καὶ βασιλέως τοῦ Ταρακωνησίων Ἀλφόνσου. Ἀλφόνσος γὰρ δὴ πρῶτος ναῦν ἐναυπηγήσατο πίθων ὡς τετρακισχιλίων· καὶ ὕστερόν τε ἡ Οὐενετῶν πόλις, ἐπείτε εἰρήνη ἐγένετο σφίσι πρὸς τὸν Λιγυρίας τύραννον καὶ Ταρακώνων, ἐναυπηγήσαντο καὶ αὐτοὶ ναῦς δύο, μεγίστας δὴ ἁπασῶν τῶν γενομένων νεῶν. αἱ μὲν δὴ τοῦ Ταρακώνων βασιλέως νῆες ὑπὸ μεγέθους σφίσιν αὐταῖς ἐμπεσοῦσαι διεφθάρησαν ἐν τῷ λιμένι, καὶ οὐκ ἔφθησαν ἐκπλεῦσαί ποι ἐς πέλαγος C γενόμεναι. βασιλεὺς δὲ καὶ αὐτὸς πυνθανόμενος ταῦτα ἐναυπηγεῖτο ναῦν ὡς τρισχιλίων πίθων· καὶ οὐ πολλῷ ὕστε-

5. χρυσίους P

Regio autem Ismaelis incipit ab urbe Ponti Heraclia, quae regis est. porrigit se per Pontum usque ad Paphlagoniam et ad Turgutis regionem. cum autem opibus per se sit florentissima, attamen reditum habet annuum, qui praebet circiter viginti myriades staterum argenteorum. sola ista Asiae regio aes fert, ut alibi annotavimus. aes autem hoc secundum Iberiae aes optimum perhibetur. ex eo quotannis tributi nomine accipit rex quinque myriades staterum auri. naves plurimae stabant in portu Sinopensi, inter quas erat rotunda, quam extruxerat Ismael. ea capiebat dolia noningenta. hanc Byzantium abduxit. etiam rex paraverat navem quae ea tempestate, exceptis Venetorum navibus et Alphonsi Taraconensium regis navi, maxima erat. Alphonsus etenim primus fabricavit navem capacem doliorum quattuor milium. Venetorum urbs deinde, ubi pax cum Liguriae tyranno intervenit, naves aedificavit. etiam Taraconensium rex composuit naves duas, quae magnitudine autecessere naves omnes quae unquam fuere. at Taraconensium regis naves in sese incidentes prae magnitudine in portu confractae sunt, nec in mare deduci potuere. rex Turcorum haec audiens et ipse fabricavit navem doliorum trium milium capacem. nec multo post interiit ea propter

ρον ὑπὸ μεγέθους τοῦ ἱστοῦ ἀπώλετο, ὅτε καθότι ἐς τὴν ναῦν ἠνεψύχθη, καὶ ἄντλον ποιουμένη πολὺν ἐπὶ συχνόν τινα χρόνον, ὡς ἐξέχυτο ὑπὸ τετρακοσίων τεταγμένων ἐς τοῦτο, μετὰ ταῦτα κατέδυ αὐτὴ ἐν τῷ λιμένι καὶ ἠφανίσθη ὑπὸ θαλάσσης. καὶ ὁ ναύκληρος τῆς νηὸς ἀπέδρα, δείσας βασιλέα Μεχμέτην.

Ἀλλὰ τοῦτο μὲν ὕστερον ἐγένετο· τότε δὲ βασιλεὺς παραλαβὼν τὴν Ἰσμαήλεω τοῦ Σκενδέρεω χώραν ἵετο ὁμόσε ἐπὶ Χασάνη τὸν μακρὸν καὶ ἐπὶ Κολχίδα, ὡς καθαιρήσων βασιλέα τῆς Τραπεζοῦντος, ὃς ἐπιτηδείως ἔχων τὸν Χασάνη καὶ
D συνήθης γενόμενος, καὶ μᾶλλον ὁ ἀδελφὸς αὐτοῦ βασιλεὺς Ἰωάννης, καὶ αὐτὸς βασιλεὺς Δαβὶδ ἐξέδοτο ἐς γάμον θυγατέρα Ἰωάννου καὶ Δαβὶδ ἀνεψιὰν Χασάνῃ τῷ μακρῷ. καὶ προσεδεῖτο βασιλεὺς Δαβὶδ τὸν Χασάνη διαπράξασθαι τὸν Χασάνην ἐς τὸν βασιλέα Μεχμέτην τοῦ λοιποῦ μὴ ἀπάγειν
V.203 τὸν φόρον τῆς Τραπεζοῦντος πρὸς αὐτόν, ἀλλὰ ζητῶν μᾶλλον ἀποχαρίσασθαι τῷ Χασάνῃ βασιλεὺς Μεχμέτης. οἱ μὲν οὖν Χασάνεω πρέσβεις ἐς βασιλέα ἀφικόμενοι διελέγοντο μὲν καὶ ἄλλα ὑπερηφανῆ, ἐν δὲ δὴ καὶ τόδε ἠξίουν, σφίσιν ἀφεθῆναι τὸν τῆς Κολχίδος χώρας φόρον. τούτους μὲν οὖν ἀπέπεμψε
P.261 βασιλεὺς ἐπαπειλήσας ὡς τοῦ λοιποῦ εἴσονται οὐκ εἰς μακράν, ὅτου δέοι τοῦ βασιλέως προσδεῖσθαι. τότε δὴ οὖν τὰ τῆς Καππαδοκίας ἐλαύνων, καὶ διεξελαύνοντι ὅ τε παῖς αὐτῷ

19. δὴ] τῇ P

mali magnitudinem. nam postquam in navem adaptatus est, et quidam eam haurirent tempore longo, tandem ubi exhausta est a quadringentis quibus id negotii datum erat, in ipso portu submersa et mari obtecta est. navis autem gubernator aufugit, timens regem Mechmetem.

Sed haec quidem succedenti tempore acciderunt. rex igitur sub idem tempus occupans regionem Ismaelis, qui Scendere patre natus erat, recta profectus est contra Chasanem Longum et contra Colchida, ut debellaret regem Trapezuntis, qui erat amicus et familiaris Chasanis. in primis autem eo familiariter utebatur frater eius Ioannes. ipse quoque rex David suam consobrinam, quae erat Ioannis filia, Chasani Longo in matrimonium collocavit. rex David rogavit Chasanem ut sibi efficeret apud regem, ne in posterum tributum ferre cogeretur ad ipsum Trapezuntis, sed magis quaerebat gratificari Chasani rex Mechmetes. caeterum Chasanis legati cum venissent ad regem, inter caetera loquebantur fastuosa: postulabant quoque sibi remitti Colchidis tributum. rex hos dimittens minitando "haud multo" inquit "post vestro periculo experiemini quid ab rege petendum sit"

προσήει δ' ὁ πρεσβύτερος, ὁ τὴν Ἀμασίαν διαιτώμενος, δῶρα τε μεγάλα ἔφερε τῷ πατρί, καὶ προσεκύνησεν αὐτὸν ἐπὶ γῆς, ὥς γε τούτους νομίζεται. παρεγένετο δὲ τῷ βασιλεῖ καὶ ὁ πενθερὸς αὐτοῦ Τουργούτης, οὗ τὴν θυγατέρα ἀγόμενος ὅ τε βασιλεὺς καὶ ἀρεσκόμενος ταύτῃ ἐχρῆτό τε δεύτερον, μετά γε τὰς ἐν τῷ κοιτῶνι αὐτοῦ γυναῖκας, καὶ τόν τε ἀδελφὸν τῆς γυναικός, ἐς τὰς θύρας αὐτῷ παραγενόμενον καὶ διατρίβοντα ἐν ταῖς θύραις, περιάγειν ὅπου ἂν στρατεύηται. τότε μὲν B δὴ διελαύνοντι ὑπήντα τῷ βασιλεῖ δῶρα φέρων ὡς μέγιστα. ἐπεὶ δὲ παραμειψάμενος τὴν Σεβάστειαν ἐσέβαλεν ἐς τὴν Χασάνεω χώραν, πολίχνην μὲν . . . . τοὔνομα ἐπιὼν παρεστήσατο· μετὰ δὲ προϊόντι ἀφικνεῖται ἐς αὐτὸν βασιλέα ἡ τοῦ Χασάνεω μήτηρ, φέρουσά τε δῶρα λαμπρὰ καὶ ὑπὲρ τοῦ παιδὸς διαπρεσβευομένη. ἐλθοῦσα δὲ ἐς ὄψιν τῷ βασιλεῖ ἔλεγε τοιάδε. "ὦ βασιλεῦ Ὀτουμάνεω Ἀμουράτεω παῖ, ἐμὲ τήνδε ἀπέστειλε Χασάνης ὁ ἐμὸς παῖς, εὐνοῶν μὲν τοῖς σοῖς πράγμασι, καὶ οὔτε ἀχθόμενος τῇ εὐδαιμονίᾳ τῇ σῇ, οὔτε ἀπαγορεύων χαρίζεσθαί σοι, ἐφ' ὅ τι ἂν αὐτῷ παραγγέλῃς. ἐγὼ C δέ σοι ἀπ' ἐμαυτοῦ τάδε. δαιμόνιε ἀνδρῶν, τί οὕτω προσφέρεις ἡμῖν τοῖς ὁμοφύλοις ὑπεναντίως πόλεμον; ἢ οὐκ οἶσθα ὡς Παιαζήτη τὸν λαίλαπα, Ἀμουράτεω παῖδα, περὶ ταῦτα πλημμελοῦντα καὶ ἐξαμαρτόντα τὰ μέγιστα ἐς τοὺς

20. ὑπεναντίως] καὶ ἀναιτίοις?

sub idem tempus cum iter per Cappadociam faceret filius eius natu maximus, qui Amasiam imperio moderabatur, accedebat munera maxima patri offerens; eumque in terram procumbens, ut mos gentis est, adoravit. hic adiit ad regem, necnon socer eius Turiutes, cuius filiam uxorem duxerat rex, quam plurimum diligebat, eaque secunda post mulieres, quas in cubiculo suo tenebat, utebatur. fratrem uxoris iussit, qui ad ipsum adierat et in ianuis agebat, sequi quocunque profectionem instituisset. tunc igitur in militiam proficiscenti regi occurrit filius munera quam maxima ferens. ubi autem transivit Sebastiam, irruptionem fecit in Chasanis regionem, urbemque occupavit nomine * * * * rex cum ulterius pergeret, obviam habuit Chasanis matrem, munera amplissima portantem et nomine filii legatione apud regem fungentem. progressa autem in conspectum regis sic infit. "o rex Otomanidarum, fili Amuratis, me quidem misit Chasanes filius meus, qui admodum rebus tuis favet, nec invidet felicitati tuae, nec recusat tibi gratificari in omnibus quaecunque imperaveris. quae autem nunc sequuntur, ex memetipsa profero, vir divine. quid nos, qui eiusdem tecum gentis sumus idemque populus, bello persequeris? an ignoras Paiazitem Laelapa, Amuratis filium,

ὁμοφύλους, ἡ δίκη φέρουσα ἐπέβαλεν αὐτῷ τὴν χεῖρα καὶ ἀπώλεσε ὑπὸ βασιλέως Τεμήρεω; καὶ σοὶ μὲν ἐς τόδε ἠπίως προσφερομένῳ τοῖς ὁμοφύλοις, καὶ οὐδενὶ κατά τε ἀνήκεσιν ἐργασαμένῳ, πολλὴν μὲν καὶ ἄφθονον τὴν εὐδαιμονίαν παρέχεται ὁ θεός, διδόντος σοι ταῦτα τοῦ ἥρωος, πολλὴν δὲ καὶ εὐδαίμονα χώραν καὶ πόλεις καὶ βασιλεῖς παρέχεται ὑποχει-
D ρίους σοι γίγνεσθαι καὶ αἰχμαλώτους. καὶ ταῦτα δὴ σὺ ἐπίστασαι, ὡς οὐκέτι δὴ ἐς τόδε ἐξυβρίσαντι ἐς τοὺς αὐτοὺς ἄνδρας παρέχεταί σοι καταστρέφεσθαι, ὡς ἔνιοι τὴν φύσιν τε καὶ ψυχὴν αὐθαδέστατοι καὶ ἀναιδεῖς οἴονται ὡς δίκη οὐδαμοῦ γῆς ἀνθρώποις ἐπεξέρχεται, ἀλλ' αὐτὰ εἰκῇ χωρεῖν πέφυκε σφίσι τὰ πράγματα. μὴ ἐφ' ὅ τι ἂν γένοιτο ἕκαστος τραπόμενος, τοῦτο αὐτῷ θεμιτὸν εἶναι καὶ δίκαιον. καὶ τοῦ δυνατοῦ τυράννῳ καὶ βασιλεῖ προσχωρεῖ ἕκαστα σὺν δίκῃ ἐπιγενόμενος αὐτοῖς. ἀλλὰ θεῶμεν τὰς μοίρας διανειμάμενος, τήν τε φαύλην καὶ ἀγαθήν, ἐς ἄμφω ταύτας διακρίνει
P. 262 τοὺς τῇδε ἀνθρώπων παραγινομένους. οἷς δ' ἂν διανέμηται ἀρίστην μοῖραν, καὶ μετὰ θάνατον οὕτω δεσμούμενος τιμωρεῖταί τε ἐς τὰ μάλιστα. πέφυκε δὲ ἄλλως τὸ θεῖον, ὅτῳ ἄν τις ξυνομολογῇ, τούτῳ συντίθεσθαι· ἢν δὲ παραβαίνῃ, ἐπιτρίβεσθαι τὸ παράπαν. σὺ δὲ ἐς μέγα ἥκεις εὐδαιμονίας τῶν γε νῦν ὄντων ἀνὰ τὴν οἰκουμένην βασιλέων διὰ τὸ πεί-

15. θεὸς μέν.

qui cum circa haec eadem erraret et plurimum delinqueret in gentis suae homines, tandem sensit ultionem? nam iustitia accedens eique manus iniiciens effecit ut trucidaretur ab Temire rege. tibi quidem hactenus, quia mansuete et clementer tractasti tuae gentis homines, nec cuiquam intoleranda fecisti, deus maximam et copiosam largitus est felicitatem, auctore heroe. praeterea praebet amplam et opulentam regionem, urbes et reges, qui omnes tuum imperium agnoscunt et contremiscunt. certe haud te clam est fore, si contumeliis et iniuriis lacessiveris homines qui heroa colunt, ut nequeas amplius hostes tuos vincere; quamvis quidam natura et animo male feriati homines et impudentissimi censeant iustitiam nullibi terrarum homines punire, verum casu quodam sive fortuito res humanas gubernari. nec ad quodcunque se contulerit quilibet sive rex sive tyrannus, fas iustumque est: sed si iustitia accesserit. verum enimvero cernimus Parcas utramque sortem, bonam et malam, distribuere, et in utramque hanc secernunt homines, qui in terram advenerint. quibus melior sors in hoc saeculo a Parcis fuerit attributa, hi post mortem vincti poenis subiiciuntur. solet autem alias numen sedulo id procurare, ut quod quis intercedente iureiurando pactus fuerit praestet.

θεσθαι τῷ ἥρωι καὶ μὴ παραβαίνειν τὰ νομιζόμενα, καὶ τοῦ V. 204 γε λοιποῦ ἄρχειν ἁπάντων ἀνθρώπων. καὶ οἷς δ' ἂν ξυντιθοῖτο ὁ ἄνθρωπος, εἴτε θεῷ εἴτε ἥρωι, ἐς ὃ ἂν τελευτήσῃ πείθεσθαι ἀνάγκη. καὶ σὺ ἡμᾶς τούσδε ὁμοφύλους μὴ καλῶς ποιεῖς, δούλους ὄντας τοῦ ἥρωος, πρὸς ὃν τὰς συνθήκας ἡ B μοῖρα ἐτάξατο· οὐ γὰρ περιόψεται ἡμᾶς ἐκ σοῦ περιυβριζομένους καὶ ἠδικημένους περινοστεῖν." ταῦτα ἔλεγε. καὶ ὑπολαβὼν ὁ βασιλεὺς ἔλεγε τοιάδε. "ὦ γύναι, ἐν δίκῃ μέντοι εἴρηταί σοι ἕκαστα, εὖ μέντοι ἐπίστασο ὡς καὶ τῷ βασιλεῖ πλέον τι χαρίζεται ἡ συνθήκη καὶ τῷ τυράννῳ. φέρειν δὲ τοῦτο τὰ πράγματα πέφυκεν· ἢν δὲ καὶ τοὺς ὁμοφύλους ἐξαμαρτάνων τις φαίνηται, ἀνάγκη ἐπὶ μαρτυρίαν τοῦτο αὐτό τις ὁδεύεται καὶ ἐπιόντα ἀμύνεσθαι. καὶ ἡμεῖς δὲ τοῦτο ποιησάμενοι, καὶ προειπόντες αὐτῷ μὴ παρέχειν τῇ ἡμετέρᾳ χώρᾳ, οὔτε ἀπείχετο τὸ παράπαν καὶ ἐπιὼν ἐνοχλεῖν οὐκ ἐπαύσατο. C ὅμως τάδε ἐπιτέλλοντες τῷ σῷ υἱῷ, ἀπεχόμεθα μὲν τοῦ λοιποῦ τῆς χώρας, ἐφ' ᾧ μὴ ἐπιβῆναι ἐσαῦθις τῆς χώρας ἡμῶν καὶ μηδὲ τῷ βασιλεῖ Τραπεζοῦντος ἐπαμύνειν καὶ ὑπερμαχεῖν." ταῦτα εἰπόντος τοῦ βασιλέως συνετίθετο αὐτίκα ἡ γυνὴ καὶ σπονδὰς ἐποιεῖτο.

sin praevaricatur, praevaricantem illico comminuit. tu quidem maximam consecutus es felicitatem, adeo ut nullus omnium qui in orbe sunt regum tibi sit conferendus. causa vero in promptu est: nam paruisti heroi, et solennia quae semel visa sunt non es transgressus; et in posterum imperabis, si sic perrexeris agere. pactis autem omnibus, quae quis fecerit sive cum heroe sive cum deo, donec moriaris, standum est. verum non honeste nobiscum agis, qui sumus de tua natione et servi herois. nam etiam Parca tecum pacta est. satis scio, haec nos non despiciet, nec nos contumeliis et iniuriis abs te affectos aberrare vagos sinet." haec locuta est. rex autem in hunc modum respondit. "o mulier, non eo infitias quin iusta sint quae commemorasti omnia: verum haud te clam est pactum conventum amplius quidpiam quam privato gratificari regi et tyranno. id autem rerum experientia demonstrare consuevit. nam si quis in eiusdem nationis homines peccare apparet, eius rei testimoniis fides accipienda est. deinde accedentem oportet ultionem exigere. hoc a nobis factum est. siquidem praediximus filio tuo nos nolle amplius ei nostram praebere regionem. at non acquievit nostro imperio, nec regione nostra abstinuit: verum nostra interturbare accedens non cessavit. caeterum utut haec facta sunt, tamen filio tuo haec nuntiamus; quae si fecerit, ab eius regione exercitum abducemus. de operam ne in nostram regionem incursiones faciat, nec auxilio veniat regi Trapezuntis, ut simul cum ipsa capessat bellum." haec ubi narravit rex, mulier paciscebatur et pacem componebat.

Τὸ δὲ ἐντεῦθεν ἤδη ἐπορεύετο ἐπὶ Τραπεζοῦντα καὶ κατὰ βασιλέως Δαβίδ, ὃς τελευτήσαντος τοῦ βασιλέως τοῦ ἀδελφοῦ αὐτοῦ Ἰωάννου, καὶ καταλειφθέντος αὐτῷ ἐγγόνου ἑνός,
D ἐπαγόμενος τοὺς Καβαζιτιανοὺς ἄρχοντας τῶν περὶ τὴν Τραπεζοῦντα Μεσοχαλδείων κατέσχε τὴν βασιλείαν καὶ ἐβασίλευεν, ἀδικήσας τὸν ἀνεψιὸν αὐτοῦ τετραετῆ ὄντα. ὁ μέντοι στόλος ἄρας ἀπὸ Σινώπης, ἐπεὶ ταύτην προεδουλώσαντο, ἐπορεύετο ἐν δεξιᾷ ἔχων τοὺς Καππάδοκας, καὶ ἀφικόμενος ἐς τὴν πόλιν Τραπεζοῦντα τά τε προάστεια ἐνέπρησε, καὶ ἐπολιόρκει τὴν πόλιν ἐπὶ ἡμέρας τριάκοντα δύο. μετὰ δὲ ταῦτα ἐπελαύνων ἐπῄει βασιλεύς. προελαύνων δὲ Μαχουμούτης ἐς Τραπεζοῦντα, καὶ αὐτοῦ που σκηνώσας ἐν τῇ λεγομένῃ Σκυλολίμνῃ, καὶ λόγους
P. 263 προσφέρων πρὸς τὸν αὐτοῦ ἐξάδελφον Γεώργιον πρωτοβεστιάριον, ἔλεγε πρὸς αὐτὸν εἰπεῖν τῷ βασιλεῖ Δαβὶδ τάδε." βασιλεῖ Τραπεζοῦντος, γένους τοῦ Ἑλλήνων βασιλείου, βασιλεὺς μέγας τάδε λέγει, ὡς ὁρᾷς μὲν ὅσην χώραν διαπορευόμενος, ἐπειδὴ διεξῄει, ὥστε ἐνταῦθα γενέσθαι. ἢν οὖν αὐτίκα τὴν πόλιν παραδῷς τῷ βασιλεῖ, καὶ χώραν μέν σοι παρέχεται, ὡς καὶ τῷ Ἑλλήνων ἡγεμόνι τῆς Πελοποννήσου Δημητρίῳ εὐδαιμονίαν τε ἐδωρήσατο καὶ νήσους καὶ Αἶνον πόλιν εὐδαίμονα,
B καὶ ἐν ἀσφαλεῖ ὢν κάθηται εὐδαιμονῶν. ἢν δὲ μὴ πειθόμενος ἀντέχειν ἐθέλῃς, ἴσθι τήν τε πόλιν ἐξανδραποδίσαι οὐ

18. τοι P

Qua conventa, rex duxit recta Trapezuntem contra regem Davidem; qui defuncto nepote uno, congregans Cabazitianos, qui imperant Mesochaldiis circa Trapezuntem, regnum invasit, eoque potitus est regnans, cum iniuria affecisset fratris filium, tunc demum quattuor annos natum. classis autem solvens a Synopa, postquam eam subegerant, tendebat Trapezuntem: dextra Cappadociam tenens, et veniens Trapezuntem, suburbana incendit et diebus triginta duobus urbem obsedit. postea etiam rex cum exercitu accessit. Machumetes autem dux praecesserat regem, et ante hunc venerat Trapezuntem. castris positis ibi in eo loco qui Scylolimne dicitur, in colloquium veniens cum Georgio protovestiario patruele eius, iussit ut sic alloquatur regem Trapezuntis Davidem. "regii Graecorum generis rex magnus haec dicit. cernis quam longum iter et quam longam regionem emensus sit rex, postquam expeditionem sumpsit contra te ut huc veniret? si igitur illico urbem regis permiseris arbitrio, ne dubites, praebebit aliam, ut Demetrio Graecorum principi, qui Peloponnesum rexerat. donavit vero hunc opibus plurimis insulisque. eidem et urbem opibus florentem Aenum tradidit. is igitur nunc omni metu vacuus securus vivit, maxima felicitate fruens. sin non obtemperaveris, ve-

πολλῷ ὕστερον· οὐ γὰρ ἂν ἀπαναστήσεται, μὴ ἐξελὼν πρότερον ὑμᾶς καὶ αἰσχίστῳ παραδοὺς θανάτῳ." ταῦτα εἰπόντος τοῦ Μαχουμούτεω, ὑπολαβὼν ὁ βασιλεὺς Κολχίδος ἔλεγε τοιάδε. "ἀλλ' ἡμεῖς καὶ πρότερον τὰς βασιλέως σπονδὰς οὐ παραβαίνοντες, τόν τε ἀδελφὸν τοῦ βασιλέως πέμψαντες ἕτοιμοι ἦμεν, ἐφ' ὅ τι ἂν ἄρα κελεύοι βασιλεύς, ἴεσθαι αὐτίκα
πειθόμενοι, καὶ νῦν τῷ ναυάρχῳ τοῦ βασιλέως τόδε ἐλέ- V.205
γομεν, ὡς ἂν μὴ τὴν χώραν κακῶς ποιοῦντες ληΐζωνται, ὡς
ἢ ἐπίῃ βασιλεύς, προσχωρήσειν αὐτῷ παρεσκευάσμεθα." C
ταῦτά τε ἔλεγε, καὶ ἠξίου σπένδεσθαι αὐτῷ βασιλέα, ἐφ' ᾧ τήν τε θυγατέρα αὐτοῦ βασιλέα ἄγεσθαι καὶ χώραν αὐτῷ παρέχεσθαι, ὅσῳ ἴσην τὴν πρόσοδον αὐτοῦ τῆς χώρας ἀποδοίη τε. ταῦτα λέγων ἠξίου σπένδεσθαι. Μαχουμούτης μέν, ὡς ἐς τὸ στρατόπεδον ἀπήλαυνε βασιλεύς, ὑπήντα ἀγγέλλων τὰ παρὰ τῆς πόλεως. ἐπαρθεὶς δὲ τοῖς λόγοις τοῖσδε ὥρμητο κατὰ κράτος ἐξελεῖν τὴν πόλιν καὶ ἀνδραποδίσασθαι· ἤχθετο γὰρ ὅτι ἡ γυνὴ τοῦ βασιλέως, πρὶν ἢ ἀφικέσθαι τὸν στόλον, ἀφίκετο παρὰ τὸν ἑαυτῆς γαμβρὸν τὸν Μαμίαν προεξιοῦσα. μετὰ δὲ ταῦτα βουλευομένῳ οἱ ἐδόκει ἐς τὴν ξύμ-
βασιν τοὺς ὅρκους ποιεῖσθαι, καὶ ἐγίνοντο οἱ ὅρκοι τοῦ βα- D
σιλέως. μετὰ δὲ καὶ τὴν πόλιν παρελάμβανον Τραπεζοῦντα οἱ τοῦ βασιλέως νεήλυδες, ὡς ἐπέταξε βασιλεύς. τὸν δὲ βα-

12. ὅσῃ?

rum regis vires experiri volueris, scito urbem tuam brevi direptioni obnoxiam fore. nec enim prius ab oppugnatione desistet, quam urbem ceperit et vos omnes ignominiosissimae morti subiecerit." his dictis ab Machumete respondit rex Colchidis in hunc modum "verum enimvero nos, cum haud dum foederum fidem violassemus, fratrem regis mittentes, prompti et parati eramus, quocunque iussisset rex, obedientes ire. etiam regiae classis duci locuti sumus, rogantes ne regionem nostram populationibus affligeret: paratos enim nos esse, ubi primum advenerit rex, deditionem facere." haec dicens rogabat ut pax inter se et regem conveniret, hac tamen condicione, ut rex ipsius filiam uxorem duceret, et regionem redderet, ex qua aequalem reditum huic, qui ex Colchide veniret, quotannis acciperet. his expositis pacem orabat. Machumetes reversus in castra occurrit regi, et quae ex urbe cognita haberet enarrat. caeterum rex elatus his sermonibus urbem vi capere et diripere nitebatur: aegre enim ferebat uxorem regis Davidis, priusquam appulisset classis, venisse ad suum generum Mamiam et urbe egressam esse. postea cum consultatio proponeretur quid agendum foret, visum est ut congressus fieret utrorumque, et iuramento interposito in dicionem susciperentur

σιλέα Τραπεζοῦντος ἐμβάντα ἐς τὰς ναῦς ἅμα τοῖς παισὶν αὐτοῦ καὶ τῇ θυγατρὶ καὶ συγγενέσιν αὐτοῦ, ὅσοι παρῆσαν αὐτῷ, ἐκέλευσεν ἀποπλεῖν ἐς τὸ Βυζάντιον, ὡς αὐτίκα παρεσομένου καὶ αὐτοῦ βασιλέως διὰ τῆς ἠπείρου. τὴν μὲν οὖν πόλιν ἐπέτρεψε τῷ ναυάρχῳ, τῆς Καλλιουπόλεως ὑπάρχῳ, νεήλυδάς τε καθίστη ἐς τὴν ἀκρόπολιν καὶ ἀζάπιδας ἐς τὴν πόλιν. μετὰ δὲ ταῦτα πέμψας Χιτήρη τῆς Ἀμασίας ὕπαρ-
P. 264 χον, παρεστήσατο τὰ περὶ τὴν πόλιν χωρία καὶ τὰ περὶ τὸ Μεσοχάλδειον, Καβαιζηταίων ὄντα τῶν ὑπάρχων τοῦ τε πανσεβάστου καὶ τοῦ υἱοῦ αὐτοῦ. καὶ ἕκαστα προσεχώρησεν. ὃς καὶ φυλακὴν ἐγκατέλιπεν, ἀναζεύξας διὰ τῆς ἠπείρου, καὶ ἀπήλαυνε, καὶ διὰ τῆς τῶν Τζανίδων χώρας ἐκομίζετο, χώραν ἐρυμνήν τε καὶ ἄβατον ἐς τὰ μάλιστα. γενόμενος δὲ ἐπὶ Βυζαντίου, βασιλέα μὲν αὐτοῦ ἐπέταξεν ἀπάγειν ἐς Ἀδριανούπολιν, καὶ αὐτὸς οὐ πολλῷ ὕστερον ἐκομίζετο ἐπὶ Ἀδριανούπολιν.

Τραπεζοῦς μὲν οὖν οὕτως ἑάλω, καὶ ἡ τῆς Κόλχων χώρα σύμπασα ὑπὸ βασιλεῖ ἐγένετο, ἡγεμονία καὶ αὕτη Ἑλλή-
B νων οὖσα καὶ ἐς τὰ ἤθη τε καὶ δίαιταν τετραμμένη Ἑλλήνων, ὥστε ἀναστάτους γενέσθαι ὑπὸ τοῦδε τοῦ βασιλέως οὐ πολλῷ χρόνῳ τούς τε Ἕλληνάς τε καὶ Ἑλλήνων ἡγεμόνας,

17. τῆς] τῶν?

iusiurandum itaque regis intervenit. quo facto peregrini milites regis urbem, sicuti imperaverat rex, susceperunt. regem Trapezuntis navem conscendere cum suis liberis et filia et cognatis, qui praesto erant, iussit; et solventes iussi sunt navigare Byzantium, quasi et ipse brevi affuturuis sit, iter facturus per continentem. urbem autem eam commisit regae classis imperatori, qui Callipolis praefectus erat. peregrinorum praesidio arcem munivit. urbi vero praesidium Azapidum imposuit. postea misit Chetirem Amasiae praefectum, qui regis iussu loca urbi et Mesochaldio finitima occupavit. haec autem fuerant in dicione Cabaezitaeorum, qui erant praefecti Graecorum imperatoris et filii eius. singula ista loca in regis dicionem deditione facta concessere. rex autem relicto praesidio peregrinorum et Azapidum iter fecit per continentem. proficiscebatur per Tzanorum regionem; quam, quia admodum munita erat, haud facile transire poterat. veniens deinde Byzantium curavit ut rex Trapezuntius Adrianopolim subveheretur. nec multò post et ipse eodem pervenit.

In hunc modum capta est Trapezus urbs et universa Colchidis regio, devenitque in potestatem regis. antea fuerat principatus, quem regebant Graeci, moresque et victus rationem Graecorum maxime imitabatur. verum Graeci et Graecorum principes brevi admodum tempore bello domiti sunt. primo quidem rex potitus est Byzantio;

πρῶτα μὲν τὴν Βυζαντίου πόλιν, μετὰ δὲ ταῦτα Πελοπόννησόν τε καὶ Τραπεζοῦντος βασιλέα καὶ χώραν αὐτήν.

Ταῦτα μὲν ἐς τοῦτο ἐγένετο· τὴν δὲ Τραπεζοῦντα ἐς μοίρας διελόμενος, τὸ μὲν παρ' ἑαυτῷ κατεκράτησε, ποιήσας σιλικταρίους καὶ σπαχογλάνους ὕστερον ἐς τὰς θύρας αὐτοῦ, τούτους κρατήσας παρ' ἑαυτὸν ὑπηρεσίας αὐτοῦ ἕνεκα καὶ ἐς τὰ παιδικά, τὸ δὲ κατῴκισεν ἐς Βυζάντιον, καὶ τὸ ἕτερον πεποίηκεν Ἰανιτζαρίους καὶ δουλευτὰς ἐν σκευαῖς, ἐπιλεξάμενος παῖδας ὀκτακοσίους, καὶ ἐς τὴν τῶν νεηλύδων τάξιν ἐτάξατο. C τὴν μέντοι θυγατέρα τοῦ βασιλέως Δαβὶδ γυναῖκα μέντοι οὐκ ἠγάγετο, μετ' οὐ πολὺ δὲ ἐς τὸν κοιτῶνα μετεπέμψατο αὐτήν, σφαγιασθέντος τοῦ βασιλέως Δαβίδ, καὶ τὸν παῖδα ἔγγονον τοῦ πρότερον βασιλέως νήπιον ὄντα εἶχε παρ' ἑαυτῷ ὁ κρατῶν. ὁ μέντοι βασιλέως παῖς ὁ νεώτερος, Γεώργιος τοὔνομα, ὡς ἐς τὴν Ἀδριανούπολιν παρών, ἐτράπετο ἐπὶ V. 206 τὴν τοῦ Μεχμέτεω θρησκείαν, καὶ ἐς τὰ ἤθη γενόμενος τὰ ἐκείνων οὐ πολλῷ ὕστερον συνελήφθη ἅμα τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς ὑπὸ βασιλέως. καὶ γὰρ ἔπεμψε γράμματα ἡ ἀνεψιὰ τοῦ βασιλέως, ἡ τοῦ Χασάνη γυνή, καὶ μετακαλεῖτο ἢ D τὸν τοῦ βασιλέως υἱὸν ἢ τὸν ἀνεψιὸν αὐτοῦ τὸν Ἀλέξιον τὸν ἐκ Μυτιλήνης, Κομνηνὸν ὄντα. καὶ τὰ μὲν γράμματα ἐνεχείρισαν τῷ βασιλεῖ, δηλοποιοῦντα ὅπως εἷς ἐκ τῶν υἱῶν τοῦ

14. ὁ Κράτων P 18. καὶ γὰρ] καὶ ταῦτα ἄλλου τινὸς καὶ οὐ Λαονίκου margo R

postea arma tulit in Peloponnesum; dehinc Trapezuntis regem una cum regione nactus est.

Haec quidem hactenus contigere. Trapezuntios in partes distribuit: partem unam retinuit ipse, ex qua fecit silictarios et spathoglanos. hos in ianuis tenebat, eorumque ministerio utebatur, necnon ipsis nefario amore raptus abutebatur. partem autem aliam Byzantium transmisit. porro ex alia Ianitzaros elegit. quosdam constituit servos, qui in tabernaculis servirent. pueros ex omnibus elegit octingentos, eosque in peregrinorum cohortem submisit. filiam regis Davidis non, quemadmodum rex hic petierat, uxorem duxit: haud tamen multo post eam in suum cubiculum accersivit perempto rege Davide. nepotem autem huius, qui fuerat filius adhuc infans prioris regis, apud se habuit Crato. regis autem Davidis filius iunior, nomine Georgius, cum Adrianopolim venisset, ad Mechmetae religionem conversus est. assumptus Turcorum moribus non multo post captus est ab rege una cum patre et fratribus. Nam missis litteris consobrina Davidis regis, uxor Chasanis, vocabat aut regis filium aut patruelem eius Alexium Comnenum ex Mitylenis. et litteras quidem quibus significa-

βασιλέως ἢ ὁ ἀνεψιὸς αὐτοῦ, ὡς εἴρηται, ἀφίξηται πρὸς τὴν δέσποιναν τὴν γυναῖκα τοῦ Μακροῦ Χασάνη οὖσαν. ἐνεχείρισε δὲ ταῦτα τὰ γράμματα ὁ πρωτοβεστιάριος Γεώργιος ἐπιτρόπῳ τἄλλα ἀγαθῷ, ὅπως φανήσεται ὁ βασιλεὺς εἰς πίστωσιν ἴσως ἀγαθήν, καὶ ἄλλως ἵνα μὴ ἀκουσθῇ καὶ παρ' ἄλλων ὅπως ὁ πρωτοβεστιάριος ἔκρυψε τοῦτο, φοβούμενος τόν τε P. 265 *αὐθέντη τὸν μέγαν καὶ τὸν πάσιαν Μαχουμούτη, καὶ πάθῃ κακῶς ὁ πρωτοβεστιάριος παρὰ τοῦ μεγάλου αὐθέντου. καὶ διὰ τοῦτο δέδωκε καὶ τὸν χάρτην πρὸς τὸν μέγαν αὐθέντη. τὰ μὲν οὖν γράμματα δεξάμενος ὁ βασιλεὺς καὶ νόῳ λαβὼν καθίστατο ἐς ὑποψίαν, καὶ αὐτοὺς συλλαβὼν τόν τε Δαβὶδ βασιλέα καὶ τοὺς υἱοὺς αὐτοῦ σὺν τῷ ἀνεψιῷ καθεῖρξε. καὶ τὴν μὲν θυγατέρα ἐς κοιτῶνα αὐτῷ μετεπέμψατο, ἔχων δὲ αὐτοὺς ἐν πέδαις, οὐ πολλῷ ὕστερον ἀπαγαγὼν ἐς Βυζάντιον διεχρήσατο. τοὺς μέντοι παῖδας τοὺς ἀπὸ ἄστεως καὶ ἀπὸ τῶν περιοίκων χωρίων τοὺς μὲν νεήλυδας ταξάμενος κατέθετο ἐς τὸν* B *ἑαυτοῦ κοιτῶνα, τοὺς δ' ἄλλους ἐν τοῖς ἑαυτοῦ ἐπιτηδεύμασι, τοὺς δ' ἄλλους ἀπεχαρίσατο τοῖς υἱοῖς αὐτοῦ καὶ τοῖς ἄρχουσι. τὰς δὲ κόρας τὰς μὲν ἐν τοῖς αὐτοῦ κοιτῶσι κατέθετο, τὰς δὲ ἀπεχαρίσατο, καί τινας ἐξ αὐτῶν τοῖς υἱοῖς αὐτοῦ ἀπεστέλλετο, ἐνίας δ' ἔν τινι ὀλίγῳ καιρῷ καὶ ὑπανδρεύσατο.*

1461 *Τοῦ μέντοι χειμῶνος τούτου βασιλεὺς διατρίβων ἐν τοῖς*

batur ut unus ex filiis regis Davidis aut patruelis eius, ut dictum est, veniret ad dominam, quae uxor erat Chasanis Longi, tradiderant regi. nam litteras istas dedit protovestiarius Georgius curatori, moribus caetera non improbo, ut appareret regi talis quali fidendum esset in quibusvis. praeterea ne innotesceret quomodo protovestiarius rem hanc celasset, timens authentem sive imperatorem magnum et bassam Mechmetem, ne re cognita poenas daret authenti magno protovestiarius. quapropter literas magno authenti obtulit. rex literis acceptis et lectis nihil boni suspicabatur. comprehendi itaque iussit Davidem regem et filios eius una cum patruele, quos omnes in custodiam dedit. caeterum filiam in suum cubiculum accersibat. cum autem eos aliquanto tempore in custodia asservasset, tandem abductos Byzantium necavit. pueros quidem ex urbe et ab locis urbi finitimis allectos, in peregrinorum album conscribens, ad suum cubiculum ordinabat. quosdam praeterea tradidit in disciplinam, ut Turcorum studiis imbuerentur. reliquis filiis suis et satrapis dono dedit virgines, quasdam quoque per sua cubicula disposuit, quasdam amicis donavit, quasdam vero filiis suis misit, necnon quasdam brevi tempore maritis coniunxit.

Ea autem quae sequebatur hieme, in regni sede manens, voca-

ἑαυτοῦ βασιλείοις μετεπέμπετο Βλάδον τὸν Δρακούλεω παῖδα, Δακίας ἡγεμόνα, ἔχων παρ' ἑαυτοῦ τὸν νεώτερον αὐτοῦ ἀδελφόν, παιδικά τε αὐτοῦ γενόμενον καὶ διαιτώμενον παρ' αὐτῷ. ξυνηνέχθη δὲ καὶ αὐτῷ βασιλεῖ ξυγγενέσθαι τῷ παιδὶ τῷδε βουλομένῳ, ὅτε πρῶτον παριὼν ἐπὶ τὴν βασιλείαν ἐστέλλετο C ἐπὶ Καραμᾶνον, ὀλίγου ὑπ' αὐτοῦ ἀποθανεῖν. ὡς γὰρ ἐρῶν τοῦ παιδὸς ἐκάλει ἐς ὁμιλίας, καὶ φιλοτιμίαν αὐτῷ προπίνων ἐκάλει ἐπὶ τὸν κοιτῶνα. ὁ μέντοι παῖς οὐδέν τι τοιοῦτον δοκῶν πρὸς τοῦ βασιλέως πείσεσθαι, ἑώρα τὸν βασιλέα ἐπιφερόμενον αὐτῷ ἐς τοιοῦτόν τι πρᾶγμα, ἀπεμάχετό τε καὶ οὐ συνεγινώσκετο ἐς τὴν συνουσίαν βασιλέως. καὶ ἄκοντος ἐφίλει, σπασάμενος ὁ παῖς μάχαιραν παίει τὸν βασιλέα κατὰ τὸν μηρόν, καὶ οὕτω φεύγων αὐτίκα, ὅποι προεχώρει αὐτῷ, ᾤχετο. βασιλέως μέντοι οἱ ἰατροὶ ἰάσαντο τὸ τραῦμα. ὁ δὲ παῖς ἐπὶ δένδρον αὐτοῦ που ταύτῃ ἀναβὰς ἐκρύπτετο. ὡς δὲ συσκευασάμενος ὁ βασιλεὺς ἀπῄει, ἐντεῦθεν καταβὰς ὁ παῖς ἀπὸ τοῦ D δένδρου καὶ διαπορευόμενος οὐ πολλῷ ὕστερον ἀφίκετο ἐπὶ τὰς θύρας, καὶ παιδικὰ ἐγένετο βασιλέως. χρῆσθαι δὲ νομίζει οὐχ ἧττον τοῖς ἐς τὴν ἑαυτοῦ δίαιταν τραπομένοις· τούτοις μὲν γὰρ αἰεί τε συγγινόμενος συνδιατρίβειν νύκτωρ καὶ μεθ' ἡμέραν, τοῖς δ' ἀλλοφύλοις οὐ πάνυ τι χρῆσθαι νομίζεται βασιλέα, ἀλλ' ἐπὶ βραχύ. τούτου δὲ τοῦ παιδὸς τῷ

11. ὡς δ' ἄκοντα? 20. συγγενόμενος P

bat Bladum Draculis filium, ducem Daciae. nam huius fratrem iuniorem apud se habebat, eoque per amorem turpiter abutebatur, et in suum convictum adhibebat. discordia autem vehemens inter regem et puerum istum exorta est, cum primo eum sibi turpi amore flagranti obnoxium esse vellet. nam cum primum venisset in regiam, ablegatus est ad Caramanum, quia regem propemodum interfecerat. cum enim amore ardens puerum vocaret ad coitum, eumque illecebris et praebibendo delinire satageret, postremo in cubiculum accersitus est. puer cum putaret se nihil huiuscemodi ab rege passurum, praeter spem cernit regem in turpe hoc facinus velle prorumpere. verum puer reluctabatur, nec regem admittebat. rex vero oscula figebat repugnanti et invito puero. puer igitur vagina gladium extrahit, regis femur graviter vulnerat; et celeri fuga continuo sibi consuluit. chirurgi autem vulnus regis curabant. puer vero conscensa arbore ibidem occultabatur. ut autem rex collectis omnibus discesserat, etiam puer descendens ex arbore et iter faciens non multo post rediit in ianuas regis, eiusque concubinus factus est. rex ne iis quidem abstinet qui suam religionem sequuntur: nam cum his semper diu noctuque conversatur. caeterum alienigenis non multum

ἀδελφῷ Βλάδῳ ἐπέτρεψε βασιλεὺς τὴν Δακίας ἡγεμονίαν, V. 207 καὶ συμβαλλομένου βασιλέως ἐπήλασέ τε καὶ κατέσχε τὴν ἡγεμονίαν Βλάδος ὁ Δρακούλεω παῖς. ὡς δὲ ἐπὶ τὴν ἡγεμονίαν ἀφίκετο, πρῶτα μὲν ἑαυτῷ δορυφόρους ἐποιεῖτο καὶ P. 266 ὁμοδιαίτους, μετὰ δὲ μεταπεμπόμενος ἕνα ἕκαστον τῶν τῆς χώρας ἐπιφανῶν ἐς τὰς τῶν ἡγεμόνων μεταβολὰς δοκούντων μετεῖναι τῆς προδοσίας, πανοικὶ διέφθειρέ τε καὶ ἀνεσκολόπιζεν, αὐτόν τε ἅμα καὶ παῖδας καὶ γυναῖκα καὶ θεράποντας, ὥστε ἄνδρα τοῦτον ἕνα ἐπὶ μέγα δὴ φόνου ἀνδρῶν ὧν ἡμεῖς ἴσμεν ἐλάσαι ἐπυθόμεθα· ὥστε γάρ οἱ ἐμπεδῶσαι τὴν ἡγεμονίαν, ἀνελεῖν αὐτόν φασιν ἄνδρας τε καὶ γυναῖκας καὶ παῖδας ὀλίγον τινὰ χρόνον ἐς δισμυρίους. καθιστῶντα δὲ καλούς τινας αὐτῷ στρατιώτας καὶ δορυφόρους, τούτους ἐδω- B ρεῖτο τοῖς τῶν ἀπογιγνομένων χρήμασί τι καὶ ὄλβῳ καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ, ὥστε διὰ βραχέος ἐπὶ μέγα ἀφικέσθαι μεταβολῆς καὶ καινοτομηθῆναι πάνυ τὰ Δακίας πράγματα ὑπὸ τούτου τοῦ ἀνδρός. καὶ Παίονάς τε οὐκ ὀλίγους, οἷς μετεῖναι ἐδόκει ὁτῳοῦν τῶν πραγμάτων, καὶ τούτων οὐδενὸς φειδόμενος φόνον δὲ μέγιστον εἰργάζετο. ὡς μὲν οὖν αὐτῷ ἐδόκει ἀσφαλῶς ἔχειν τὰ Δακίας πράγματα, ἐβουλεύετο ἀπόστασιν ἀπὸ τοῦ βασιλέως. ἐτιμωρεῖτο μέντοι τοὺς ἄνδρας τούτους γνώμῃ τοῦ βασιλέως, ὡς ἂν αὐτῷ κρατύνοι τὴν ἀρ-

7. μετέχειν? τούτου P   13. ἄλλους R   18. ὁτιοῦν? an ὁπωσοῦν?

utitur rex. verum haud multo post pueri huius fratri, quem Bladum nominant, Daciae principatum rex permisit. opera igitur regis adiutus, accedens Bladus, Draculis filius, principatum Daciae occupavit. ubi primum in principatum promotus est, hastatos delegit, quos in convictum adhibitos corporis sui custodes designavit. deinde vocans singulos qui in ea regione dignitate excellere videbantur quosque putabat, si dux mutandus esset, proditionis consilia agitaturos, hos, inquam, omnes cum tota familia leto dedit et palis affixit, nec liberis uxoribus famulisque eorum parcens. adeo vir ille maximam omnium, quos novimus, caedem et stragem hominum fecit. nam ut sibi constabiliret Daciae principatum, fertur occidisse brevi tempore circiter viginti milia virorum et mulierum puerorumque. cum autem pulchros et egregios quosdam delegisset milites et satellites, eos donabat opibus et divitiis, necnon reliqua felicitate quam ex caede illorum acquisivisset. itaque brevi tempore vir ille innovationem et mutationem Daciae rebus induxit maximam. praeterea Pannones non paucos, quorum interesse putabat ut res Daciae quoquo modo bene haberent, nulli parcens, tributo maximo onerabat. cum crederet Daciae principatum iam satis firmum et tutum esse, consilium capiebat

χὴν, καὶ μὴ μεταστάντων αὖθις τῶν τῆς Δακίας ἀνδρῶν πρωτευόντων C πράγματα ἔχοι, ἐπαγομένων αὐτῶν τοὺς Παίονας συμμάχους τε καὶ ἐπικούρους.

Ταῦτα μέντοι οὕτω διεπράττετο· τότε δὴ οὖν τοῦ χειμῶνος, ὡς ἠγγέλλετο βασιλεῖ τοῦτον νεωτερίσαι διανοούμενον ἀπόστασιν βουλεύεσθαι, ἐπὶ Παίονας τραπόμενον συντίθεσθαι ἐκείνοις καὶ συμμαχίαν ποιεῖσθαι, δεινόν τε ἐποιεῖτο, καὶ πέμπων ἄνδρα εὐδόκιμον τῶν θυρῶν αὐτοῦ, γραμματιστὴν Ἕλληνα, μετεπέμπετο ἐς τὰς θύρας, ὡς ἢν ἀφίκηταί οἱ ἐπὶ τὰς θύρας, ἄχαρι μὲν οὐδὲν πρὸς βασιλέα πείσεται, ἀγαθὰ δὲ καὶ εὔνοιαν ἀνακτώμενος οὐχ ὑπερβαλεῖται αὐτὸν βασιλέα, D εὐνοῶν ἐς τὰ τοῦ βασιλέως πράγματα. ταῦτα μὲν ἐπιτείλας ἔπεμπεν ὡς τοῦτον Καταβολινὸν γραμματέα τῶν θυρῶν. Χαμουζᾷ δὲ τῷ ἱερακοφόρῳ λεγομένῳ, ὃς παρὰ τὸν Ἴστρον διέλαχε διοικεῖν χώραν οὐκ ὀλίγην καὶ Βιδίνης ὕπαρχον εἶναι, κρύφα ἐκέλευε πέμπων, δόλῳ εἰ δυνήσεται ἀγαγεῖν τὸν ἄνδρα, αὐτῷ χαριεῖσθαι μεγάλως, εἴτε δόλῳ εἴτε τρόπῳ ἄλλῳ οἵῳ δυνήσεται συλλαβεῖν. οὗτος μὲν οὖν παραγγείλας τῷ γραμματιστῇ ἐς τὴν σύλληψιν τοῦ ἀνδρὸς ἅττα ἐδόκει σφίσι βουλευομένοις πρόσφορον εἶναι, συμπροπέμποντι αὐτὸν τῷ Βλάδῳ ὑπείσειν ἐνέδρας προλοχήσαντα αὐτοῦ ταύτην τὴν χώραν, οὕτω ποιεῖσθαι τὴν σύλληψιν, σημαίνεσθαι δέ οἱ, ἐπὰν P. 267

21. ὑποίσειν P

quomodo ab rege descisceret. sententia autem Dacorum graviter Bladum angebat. timebat enim, si ipse confirmato nunc Daciae principatu quid contra regem molitus fuisset, ne negotia sibi facesserent Daci, adducentes Pannones socios et auxiliares.

Haec quidem in hunc modum acta sunt. ea autem hieme ut nuntiatum est regi Bladum novarum rerum esse cupidum, et deliberare qua ratione a se deficeret, et conversum ad Pannones cum iis foedere interposito societatem coivisse, haec, inquam, accipiens valde viro indignatus est. misit itaque virum satis spectatum, ianuarum scribam, virum Graecum, ad Bladum, qui hunc moneret ut ad ianuas accederet. quodsi veniret, fore ut maximam gratiam iniret apud regem, praeterea bona plurima ferens nunquam beneficiis regem superare posset, si rebus regis favere pergeret. cum huiusmodi mandatis Catabolinum scribam ianuarum ad Bladum proficisci iubet. Chamuzae vero, quem Hieracophorum nominabant, qui apud Istrum latuit, ut administraret suo imperio regionem non modicam et Bidinae praeesset, praecepit ut clam, si dolo posset, Bladum ad se perduceret. addebat se ei gratificaturum vel maxime, seu dolo seu alio quovis modo istum virum cepisset. Chamuzes igitur una cum scriba

μέλλῃ ἀποχωρεῖν, τὸν γραμματιστήν, ταῦτα ποιοῦντος ἐκεί-
νου, καὶ τὴν ὥραν ὑποσημαίνοντος ἐν ᾗ ἀποχωροῦντα αὐτὸν
ἔδει συμπροπέμψαι τὸν Βλάδον, προελόχησεν αὐτοῦ ταύτην
τὴν χώραν ὁ Χαμουζᾶς. Βλάδος δὲ σὺν τοῖς περὶ αὐτὸν
ὡπλισμένος, ὡς συμπρούπεμπε τὸν θυρῶν τῆς αὐτῆς ἡγεμόνα
καὶ τὸν γραμματιστήν, ἐνέπεσέ τε ἐς τὰς ἐνέδρας, καὶ ὡς
ἔγνω, τούτους μὲν αὐτίκα διακελευσάμενος συλλαμβάνει καὶ
τοὺς θεράποντας, ὡς δὲ ἐπῄει ὁ Χαμουζᾶς, ἐμαχέσατό τε
ἀξίως λόγου, καὶ τρεψάμενος αὐτόν τε ἐζώγρησε καὶ τῶν ἄλλων
B διαφυγόντων διέφθειρεν οὐ πολλούς. τούτους μὲν ὡς ἐζώγρησε
V. 208 σύμπαντας ἀπαγαγὼν ἀνεσκολόπισεν, ἀκρωτηριασάμενος τοὺς
ἄνδρας πρότερον, Χαμουζᾶν δὲ ἐπὶ ὑψηλοτέρου σκόλοπος
ποιησάμενος, τήν τε θεραπείαν ἅμα τοῖς ἑαυτοῦ δεσπόταις
τὰ αὐτὰ ταῦτα ἔδρασε. μετὰ δὲ ταῦτα αὐτίκα στρατὸν πα-
1462 ρασκευασάμενος ᾗ δύναμις μέγιστον, ἤλασέ τε αὐτίκα ἐπὶ
τὸν Ἴστρον, καὶ διαβὰς ἐς τὰ ἐπὶ τάδε χωρία τοῦ Ἴστρου
καὶ χώραν τοῦ βασιλέως πασσυδί τε ἅμα παισὶ καὶ γυναιξὶ
διέφθειρε, καὶ οἰκίας ἐνεπίμπρα, πῦρ ἐνιεὶς ὅποι προσῄει.
καὶ μέγιστον ἐργασάμενος φόνον ἀπήλαυνεν ὀπίσω ἐπὶ Δακίας.

3. προσελόχησεν P   10. μέντοι οὓς ?

consilia tractàbat, qua ratione imperata opportune ad rem conferrent. visum igitur est hoc esse consultissimum, ut comitanti Blado scribam in sua regione insidias ponerent, eumque hoc modo per insidias exciperent. sed convenit ut scriba, quando vellet redire ad regem, digressus a Blado, significaret. scriba quemadmodum decretum erat fecit; horam, qua abiturus esset ad regem comitante Blado, indicavit. quapropter insidias, eo loci quo profecturus erat Blado, struxit Chamuzes. Bladus itaque armatus cum suis, prosequens scribam et ianuarum ducem, in insidias praecipitatus est. quas ubi cognovit, suos illico exhortatione firmavit et ministros capit. Chamuzes autem accedens pugnavit perquam fortiter. tandem Chamuzem in fugam versum capit; et reliquis fugientibus, evenit ut non multi perirent. hos igitur omnes, quos vivos comprehenderat, abduxit et palis adfixit. caeterum antequam capitali supplicio subderentur, mutilati sunt, extremis corporis partibus praecisis. Chamuzem altiori quam reliquos cruci affixit. hoc autem ideo factum est a Blado, ut suis exemplum proponeret, ne quando similia tentarent, quasi similia passuri. his ita gestis exercitum conscripsit quam potuit maximum, et illico ad Istrum raptim agmen duxit; quem traiiciens venit in loca Istro finitima et in regionem regis, quam uno impetu, caesis liberis et mulieribus, misere evastavit. domos villasque incendit, ubicunque potuit ignem iniiciens. cum autem caedem fecisset maximam, tandem reversus est in Daciam.

Ταῦτα μὲν οὖν ὡς ἠγγέλλετο βασιλεῖ Μεχμέτῃ, τούς τε πρέσβεις αὐτοῦ διαφθαρῆναι ὑπὸ Βλάδου τοῦ Δακίας ἡγεμό- C νος, καὶ Χαμουζᾶν ἄνδρα εὐδόκιμον τῶν βασιλέως θυρῶν οὕτω ἐν οὐδενὶ λόγῳ ἀποθανεῖν, ἤχθετο μὲν οἷα εἰκός, καὶ δεινότερα ἐποιεῖτο εἰ ἄνδρας αὐτῷ τοιούτους περιόψεται οὕτω διαφθαρέντας, κἀκεῖνον εἰς τοῦτο ὕβρεως ἀφικόμενον ὥστε καὶ τοὺς πρέσβεις αὐτῷ διαχρήσασθαι, μὴ τιμωρήσεται τὸν φόνον ἐκείνων τῶν αὐτῶν εἰσπραττόμενος τὸν τῆς Δακίας ἡγεμόνα· ἤχθετο μέντοι καὶ τόδε, ὅτι τὸν Ἴστρον διαβὰς σὺν χειρὶ πολλῇ καὶ ἐμπρήσας τὴν βασιλέως χώραν καὶ φόνον τῶν τε ὁμοφύλων αὐτῷ ἐργασάμενος ὀπίσω ἐλαύνοι. πολλῷ δὲ τούτων δεινότερα ἐποίει, τοιαῦτα τοὺς ἑαυτοῦ πρέσβεις D ἐργάσασθαι. ὅθεν δὴ ἁπανταχῇ περιαγγέλλων τοῖς τε ἀρίστοις καὶ τοῖς ἄλλοις κατὰ λόγον προηγόρευε καλλίστῳ κόσμῳ ἐλαύνοντας καὶ ἐξωπλισμένους παρεῖναι αὐτῷ τὰ στρατεύματα ἐξελαύνοντι. τὴν μὲν οὖν στρατιὰν οὕτω παρεσκευάζετο ἐπὶ τοὺς Δακούς· λέγεται δὲ καὶ τόδε, ὡς Μαχουμούτῃ τῷ ἡγεμόνι, ὅτι τῆς ἀγγελίας πρότερον τούτων ἔτι ἀφικομένης περί τε τοῦ φόνου τῶν πρέσβεων καὶ Χαμουζᾶ τοῦ ὑπάρχου καὶ τοῦ ἐμπρησμοῦ τῆς χώρας, οὔτε εὑρὼν παρὰ βασιλέα ἀπηγγέλλετο τὰ γενόμενα παρὰ Δακῶν ἐς τοὺς βασιλέως ἄνδρας, καὶ χαλεπῶς ἤνεγκε. λέγεται δὲ ὡς καὶ πληγὰς ἐνέβαλε τῷ ἀνδρί. νομίζεται δὲ καὶ τοῦτο ἐς τὰς θύρας τοῦ P. 268

21. περὶ P

Haec ut allata sunt ad regem Mechmetem, nempe legatos suos foede a Blado Daciae duce peremptos, et Chamuzem, virum inter ianuas primarium, adeo contemptim et ignominiose periisse, dolorem et maerorem regi moverunt quemadmodum verisimile est. illud autem longe gravissimum ducebat, si despiceret viros tantos talesque quos amisisset, nec ultionem exigeret, praesertim cum eo iniuriarum et contumeliae processisset Bladus ut nec ab legatis violandis abstinuerit. dolebat praeterea regi, Bladum Istro transmisso magna manu suam regionem incendisse, et magna suorum caede edita in Daciam rediisse. verum quod tanta crudelitate legatos suos tractasset, reliquis maius et atrocius iudicabat. itaque edixit, annuntians optimatibus suis et aliis, ut quam pulcherrime armis instructi cum exercitibus adveniant, atque una secum in militiam proficiscantur. et quidem hoc pacto expeditionem contra Dacos suscepit rex. ferunt praeterea Mechmetem ducem, antequam caedes legatorum et Chamuzis praefecti et regionis incendium nuntiaretur, indicasse regi quae fecissent Daci viris regiis. quibus auditis graviter indignatus est; etiam viro qui haec exposuerat, verbera inflixit. nec enim turpe

βασιλέως οὐ πάνυ τι αἰσχρὸν εἶναι, τούτους οὓς ἀπὸ ἀνδραπόδων καὶ μὴ Τούρκων παῖδας αὐτῷ ἐς τὴν ἀρχὴν παραγενομένους. κήρυκας μέντοι πέμπων ἁπανταχῇ ἐκέλευεν αὐτῷ παρεῖναι τὴν στρατιὰν ἐξωπλισμένην καλῶς, καὶ τοὺς ἱπποδρόμους αὐτῷ ἕπεσθαι ξύμπαντας ἐς τήνδε τὴν στρατείαν. οἱ δὲ τοῦ βασιλέως κήρυκες οἱ τὰς ἀγγελίας φέροντες αὐτῷ ἐς τὴν χώραν καὶ οἱ ἄγγελοι, ἐπειδάν τι νεώτερον ξυμβαίνοι, ἐπὶ τὰς θύρας ἀφικνούμενοι ταχίστῳ δρόμῳ ὀλί-
B γων πάνυ ἡμερῶν μεγίστους δρόμους διανύουσιν ὧδε. ἵππον ὃν ἂν ἐν τῇ ὁδῷ διελαύνων θεάσηται, τὸν μὲν ἱππέα αὐτίκα ἀπὸ τοῦ ἵππου καταβιβάζει, αὐτὸς δὲ ἀναβὰς ἐλαύνει κατὰ κράτος, καὶ ὁ ἵππος ἐς τόδε διανύσαι οἷός τε ἦν. μετὰ δὲ ἄλλον εὑράμενος καταβιβάζει, τὸν δὲ ἵππον τὸν πρότερον παραδίδωσι τῷ ἀνθρώπῳ. καὶ οὕτω βραχὺ διαναπαυόμενοι μέγιστον διανύουσι δρόμον. ἐζώννυντο δὲ καὶ τὸ σῶμα ἅπαν, ὥστε μὴ ἄγαν πονεῖν ἢ κάμνειν σφίσι τὸ σῶμα, ἐπεὶ θέοιντο. καὶ ἀπὸ Πελοποννήσου ἐς Ἀδριανούπολιν κήρυκας ἴσμεν ἐν πέντε ἡμέραις ἀφικομένους, ὁδὸν πεντεκαίδεκα ἡμερῶν ἀνδρὶ ἱππεύοντι ἐς τὰ μάλιστα. καλοῦνται δὲ οὗτοι οἱ κήρυκες οὐλάκιδες.

Ἐπεί τε δὴ τὰ στρατεύματα παρεσκεύαστο τῷ βασιλεῖ,
C ἐπὶ Δακίαν ἐστρατεύετο ἦρος εὐθὺς ἀρχομένου. μέγιστον δὲ

1. ἐς τούτους τοὺς? 9. διανοοῦσιν R, διατελοῦσιν P 11. καταβιβάζειν P ἐλαύνοι P

habetur in ianuis regis flagris caedere eos quos ex mancipiorum numero nec de Turcorum filiis in regnum suum transtulerit. rex igitur per universum regnum dimittens praecones edixit ut exercitus bene instructi et armati ad se adveniant; equites praeterea omnes ad hanc expeditionem concivit. praecones regii, qui regis voluntatem per universam regionem nuntiant, et nuntii, si quid novarum rerum inciderit, ad ianuas regis festinant, et citissimo gradu intra paucos dies maximos cursus peragunt. si quis ex eorum numero in itinere equum cernit, equitem confestim ex eo deponit; conscendensque ipse equum iter maturat, impellens equum quantum potest. deinde si alium invenerit, eundem similiter conscendit, et equum fatigatum isti homini tradit. et in hunc modum equos quieti tradentes, maximos conficiunt cursus. corpus totum cingunt, ne doleat vel aegrotet corpus quando currunt. ex Peloponneso Adrianopolim scimus regios praecones venisse intra quinque dies. hoc iter intra decem et quinque dies eques aegre peragere potest, etsi maxime festinet. hi praecones nominantnr ulacides.

Copiae universae regis cum instructae convenissent, primo vere

τοῦτον στρατὸν γενέσθαι φασί, δεύτερόν μετά γε τὴν ἐς τὸ V. 109 Βυζάντιον ἐπέλασιν τοῦ βασιλέως τοῦδε. λέγεται δὲ τοῦτο τὸ στρατόπεδον κάλλιστον μὲν γενέσθαι τῶν ἄλλων στρατοπέδων, καὶ κόσμον πολὺν παρέχεσθαι ἔστε τὰ ὅπλα σφίσι καὶ ἐς τὴν σκευήν, γενέσθαι δὲ ἀμφὶ τὰς πέντε καὶ εἴκοσι μυριάδας στρατοῦ. καὶ τοῦτο λογίζεσθαι ῥᾳδίως ἀπὸ τῶν τοῦ πόρου τοῦ Ἴστρου ἐμποριστῶν, ὧν ἐξωνησαμένων ἀπὸ βασιλέως τὸν πορθμὸν ἐς τριάκοντα μυριάδας χρυσίου στατῆρας, λέγεται χρήματα μεγάλα κερδᾶναι. κατὰ τὴν ἤπειρον ὁ στρατὸς ὁρμώμενος ἀπὸ Φιλιπποπόλεως, κατὰ δὲ θάλατταν πληρώ- D σας τριήρεις ἀμφὶ τὰς εἴκοσι καὶ πέντε καὶ πλοῖα εἰς ἑκατὸν καὶ πεντήκοντα, ἐπορεύετο εὐθὺ τοῦ Ἴστρου ὡς διαβησόμενος διὰ τῆς Βιδίνης πόλεως. ἐκέλευε δὲ πλέειν ταῦτα τὰ πλοῖα διὰ τοῦ Εὐξείνου πόντου ἐπὶ τὸν Ἴστρον. καὶ ὁ στόλος, ὡς ἐνετέλλετο βασιλεύς, διὰ τοῦ Πόντου ἐπέπλει ἐς τὸ τοῦ Ἴστρου στόμα, καὶ ὡς ἐς τὸ στόμα ἐγένετο, ἀνήγετο ἐπὶ τοῦ ποταμοῦ ἐπὶ τὴν Βιδίνην. καί ποι καὶ ἀπόβασιν ποιησάμενος ὁ στόλος τάς τε οἰκίας ἐνεπίμπρα, καὶ ἔκαιε τήν τε Πραΐλαβον πόλιν τῶν Δακῶν, ἐν ᾗ καὶ ἀγορὰν παρέχονται βελτίω ἁπασῶν τῶν ἐν τῇ χώρᾳ, πῦρ ἐνιέντες ἐνέπρησαν. εἰσὶ δὲ P. 269 αἱ οἰκίαι ξύλιναι ὡς τὸ ἐπίπαν. Δᾶκες γὰρ ὡς ἐπύθοντο βασιλέα ἐπιέναι ἐπὶ σφᾶς, τὰς μὲν γυναῖκας καὶ παῖδας ὑπεξέ-

profectus est contra Daciam. tradunt hunc exercitum regis fuisse maximum, et secundum magnitudine ei quem contra Byzantium ductarat iste rex. verum constat illum exercitum fuisse reliquis pulchriorem, et plurimum momenti tum in armis tum in reliquo belli apparatu habuisse. eo autem tempore in armis habuit rex circiter viginti quinque myriades hominum. huius numeri facile iniri potest ratio ex Istri traiectu. nam publicani Istri traiectum emerant ab rege, numerantes triginta myriades aureorum staterum: interim tamen constat eos opes maximas esse lucratos. per continentem deinde exercitus profectus est ab Philippopoli. implens vero triremes circiter viginti quinque et naves circiter centum et quinquaginta, mari recta subvectus est ad Istrum quasi iter facturus per Bidenam. iussit tamen ut istae naves per Euxinum pontum ad Istrum contenderent. et quidem classis, quemadmodum praeceperat rex, per Pontum ferebatur in Istri ostium. ubi Istri oram attigit, adverso flumine navigavit Bidenam. ubicunque egrediebantur navibus, incendebant aedificia et comburebant. Prailabum urbem Dacorum, quae totius Daciae forum erat celeberrimum, iniecto igne concremarunt. pleraque autem istius regionis aedificia lignea sunt; hinc fit ut fa-

θεντο, τὰς μὲν ἐς τὸ ὄρος τὸ Πράσοβον, τὰς δὲ ἐς πολίχνην . . . τοὔνομα, ἐς ἣν κύκλῳ περιιὼν ἐνετήρει καὶ ἐφύλαττε, καὶ τὸ ἕλος ἐχυρώτατον ἐποιεῖτο, καὶ ἐν ἀσφαλεῖ καθίστησι μάλιστα. τὰς δ' αὖ καὶ ἐς τοὺς δρυμῶνας, οὓς χαλεπόν ἐστι διιέναι ἀνδρὶ ἐπήλυδι καὶ μὴ ἐπιχωρίῳ· πυκνότατοι γὰρ ὄντες, καὶ δένδροις καταπεφυτευμένοι πυκνοῖς, ὡς ἥκιστα παρέχονται διὰ πολλοῦ βάσιμον τὴν εἴσοδον. τὰς μὲν
B οὖν γυναῖκας καὶ παῖδας οὕτως ἐξέθεντο, αὐτοὶ δὲ συναθροισθέντες ἐς τὸ αὐτὸ εἵποντο Βλάδῳ τῷ ἡγεμόνι. καὶ ἐς δύο μοίρας ἐπιδιελόμενος τὸν στρατὸν τὸν μὲν εἶχε παρ' ἑαυτῷ, τὸν δὲ ἔπεμπεν ἐπὶ τὸν τῆς μελαίνης Πογδανίας ἡγεμόνα, ὡς ἣν ἐσβαλεῖν ἐκεῖνος πειρῷτο, ἀμυνόμενοι μὴ περιίδωσιν ἐσβαλόντα ἐς τὴν χώραν. ὁ γὰρ τῆς μελαίνης ταύτης Πογδανίας ἡγεμὼν διενεχθεὶς ἐπολέμει τῷ Βλάδῳ ἀπὸ αἰτίας τοιᾶσδε, καὶ πρέσβεις πέμπων παρὰ βασιλέα Μεχμέτην ἐπεκαλεῖτο, καὶ συνάρασθαι τὸν πόλεμον ἔφασκεν ἕτοιμος εἶναι. βασιλεὺς μὲν οὖν ἠρέσκετό τε τοῖς τοῦ ἡγεμόνος τούτου λόγοις,
C καὶ ἐκέλευεν οὕτω ποιεῖν τὸν ἑαυτοῦ στρατηγόν, συμμίσγοντα τῷ ναυάρχῳ ἐς τὸν ποταμὸν πολιορκεῖν τὸ Κελίον πόλιν οὕτω καλουμένην τοῦ Βλάδου, ἐπὶ τῷ στόματι τοῦ ποταμοῦ. ὁ μέντοι ἡγεμὼν οὗτος συλλέξας στράτευμα ἀπὸ τῆς χώρας ἵετο ἐπὶ τὸν βασιλέως στόλον εὐθὺ τῆς Κελίου πόλεως, συμμίξων

οἷς διαπεπειρωμένοι ἄνδρες τε καὶ γυναῖκες καὶ παῖδες ἀμφὶ
τοὺς δισμυρίους, ὡς ἐλέγετο, θέαμα παρείχοντο τοῖς Τούρ-
κοις καὶ αὐτῷ τῷ βασιλεῖ. καὶ ὅ τε βασιλεὺς ἐν θαῦμα ἐρισχε-
θεὶς ἔφασκεν ὡς οὐ δυνατόν ἐστιν ἄνδρα οὕτω μεγάλως ἐρ-
γασάμενον ἀφαιρεῖσθαι τὴν χώραν, ὡς δαιμονίως ἐπισταμένῳ
C χρῆσθαι τῇ ἀρχῇ καὶ τοῖς ὑπηκόοις. καὶ ἔλεγεν ὡς πολλοῦ
ἄρα ἄξιος εἴη ὁ ἀνὴρ οὗτος τοιαῦτα ἐργασάμενος. καὶ οἱ
λοιποὶ Τοῦρκοι ὁρῶντες τὸ πλῆθος τῶν ἐπὶ τοῖς σκόλοψιν
ἀνδρῶν ἐξεπλήττοντο. ἐνῆσαν δὲ καὶ νήπια τέκνα τῶν μητέ-
V. 213 ρων ἐξηρτημένα ἐν τοῖς σκόλοψιν, καὶ πτηνὰ ἐνῴκουν ἐν τοῖς
ἐγκάτοις αὐτῶν ἐμφωλεύοντα. ὡς δὲ πρὸς τοῖς στρατεύμασι
βασιλέως ἐφεπόμενος ὁ Βλάδος ἔφθειρέ τε εἴ που διασπα-
σθείη, εἴτε ἱππόδρομος εἴτε ἀζάπης, αὐτὸς μὲν ἐτράπετο ἐπὶ
τὸν Μελαίνης Πογδανίας ἡγεμόνα, πολιορκοῦντα, ὡς ἠγγέλ-
D λετο αὐτῷ, τὸ Κελλίον, στρατὸν δὲ ἀμφὶ τοὺς ἑξακισχιλίους
καταλιπὼν αὐτοῦ παρεγγύα ἕπεσθαι τῷ βασιλεῖ διὰ τῶν δρυ-
μώνων, καὶ ἤν τίς που διασπασθείη, τοῦτον ἐπιόντες αὐτίκα
ἐπιβαίνειν. καὶ ὁ μὲν ἤγετο ὁμόσε τῷ μελαίνης Πογδανίας
ἡγεμόνι· ὁ δὲ στρατός, ὡς ἀνεχώρει ὁ βασιλεύς, ἰθὺ τοῦ
στρατοῦ ἐλαύνων, ἀναθαρρήσαντες ὡς οἰχομένῳ, ἐπεισπεσόν-
τες μεγάλως ἡγοῦντο εὐδοκιμήσειν, καὶ ἐπιόντες ἐς τὸ στρα-

2. διαπεπαρμένοι?

misere peremptorum numerus complectebatur viginti milia hominum. profecto horrendum et miserabile spectaculum cum Turcis tum regi. rex admiratione defixus dicebat "haud possibile est eum virum qui adeo magna fecerit, regione sua spoliari, praesertim cum adeo mirabiliter tum principatu tum subditis uti norit." verumtamen addebat eum virum qui tanta patraverit, haud multi faciendum esse. reliqui Turci aspicientes multitudinem hominum in patibulis et palis haerentium, stupebant. erant namque patibulis et palis affixi infantes e matrum gremio rapti. volucres nidos fecerant in inferioribus eorum. cum autem rex proficisceretur, Bladus agmen regium usque carpebat, interficiens equites et Azapides, si quando imprudentius ab exercitu regio fuerant evagati. Bladus animum intendebat in Nigrae Pogdaniae principem, qui, quemadmodum nuntiatum erat, obsidione circumvenerat Cellium urbem Bladi. relinquens autem exercitum, qui continebat circiter sex milia hominum, eos iussit per querceta sequi regem; et si quis paululum modo digressus fuerit ab regio agmine, eum truncare iussit continuo accurrentes. ipse vero recta ducebat contra Nigrae Pogdaniae principem. exercitus autem Bladi cum ipse abiisset, abitu principis admodum gaudebat; et recta pergentes in hostem putabant se magnam gloriam inventuros, si hostem subito oppressis-

τόπεδον τοῦ βασιλέως ἐπήλαυνον. ἐπεὶ δὲ ἀγγελία ἀφίκετο παρὰ τῆς ταύτῃ που φυλακῆς ὡς οἱ πολέμιοι ἐπιῶσιν, ὥρμητο μὲν αὐτός τις ἕκαστος ἐπὶ τὰ ὅπλα, πλὴν τῶν βασιλέως θυρῶν, Ἰωσούφην δ' ἐκέλευε Μαχουμούτης προϊόντα ὑπαντιάζειν τοὺς πολεμίους. καὶ αὐτός τε ἐν ὅπλοις ἦν Μαχουμούτης σὺν τοῖς στρατεύμασιν. ὁ μέντοι Ἰωσούφης ὡς ἐπιὼν P. 274 αὐτίκα συνέβαλλεν, ἡττήθη τε καὶ ἐς φυγὴν τραπόμενος ἐφέρετο ἐς τὸ βασιλέως στρατόπεδον. Ὀμάρης δὲ ὁ Τουραχάνεω παῖς ταχθεὶς καὶ αὐτὸς ὑπὸ τοῦ Μαχουμούτεω ὁμόσε ἰέναι τοῖς πολεμίοις, καὶ ἐλαύνων ὑπήντα τῷ Ἰωσούφῃ φεύγοντι ἐς τοὺς πολεμίους, ἐβλασφήμει καὶ ἔλεγε τοιάδε "ὦ κακόδαιμον, ποῖ φέρῃ; ἢ οὐκ οἶσθα βασιλέα ὅπως σε φεύγοντα ὑποδέχεται; ἢ οὐ χεῖρον τῶν πολεμίων διακείσεταί σοι αὐτὸς βασιλεύς, καὶ κακίστῳ σε ὀλέθρῳ παραδίδωσιν αὐτίκα, ἐπειδάν σε φεύγοντα νοήσῃ;" ταῦτα εἰπὼν ἐπώτρυνε τὸν ἄνδρα, καὶ συστραφεὶς ἅμα Ὀμάρῃ τῷ Τουραχάνεω συνέβαλλον τοῖς B πολεμίοις, καὶ ἐμάχοντο ἀξίως λόγου. μετ' οὐ πολὺ δὲ τρεψάμενοι τοὺς Δᾶκας ἐπιδιώκοντες ἐφόνευον ἀφειδέστατα, ἔφθειρον ἀμφὶ τοὺς δισχιλίους. τὰς δὲ κεφαλὰς πηξάμενοι ἐπὶ τῶν δοράτων ἐπανῆκον ἐς τὸ στρατόπεδον. καὶ τὸν μὲν Ὀμάρην ἐδωρήσατο βασιλεὺς τῇ τῆς Θετταλίας ἀρχῇ· Μαζούλης δὲ ἔτι ἦν, καὶ ἄνδρας ἔχων ἀγαθοὺς εἵπετο τῷ βασιλεῖ.

Ἐς μὲν τὴν δευτέραν τῶν Δακῶν τόλμαν ἐς τὸν τοῦ βα-

sent. cum nuntius venisset ad vigilum stationem quae ibi erat, indicabat hostes adventare. singuli igitur, praeter regis ianuas, ad arma prosiliebant. Mechumetes praecepit Iosepho ut praecedens hostem ad praelium eliciat. Mechumetes quidem cum universo exercitu in armis erat. Iosephus ubi venit ad hostem, continuo victus est, et fugiens festinabat in castra regis. Omares Turachanis filius, qui et ipse ordinatus erat ab Mechumete ut cominus pugnaretur cum hoste, ad pugnam proficiscens occurrit Iosepho fugienti, eumque blasphemando et maledicendo sic alloquitur "o miser, quo abis? an ignoras regem, quomodo te fugientem sit excepturus? an non crudelius ab rege quam ab hostibus tractaberis? an non ignominiosissimae morti te tradet, ubi te fugam iniisse senserit?" his dictis hominem commovit ut conversus una cum Omare Turachanis filio rediret in praelium et pugnaret fortissime. nec multo post Dacos in fugam effusos persequentes occiderunt plurimos, nulli parcentes. caesi sunt circiter bis mille. praefigentes autem Turci hastis capita Dacorum, reversi sunt ad regem in castra. Omarem rex donavit Thessaliae principatu. Mazales autem adhuc supererat et sequebatur regem, ducens viros fortissimos.

Dacorum audacia, qui secundam in regia castra irruptionem fece-

σιλέως στρατὸν τοσοῦτον ἐγένετο· βασιλεὺς δὲ ἀνδράποδα ἀγόμενος τῆς χώρας οὐκ ὀλίγα — ἐπαφεὶς γὰρ τὸ ἐντεῦθεν τοὺς ἱπποδρόμους ἐπέδραμον χώραν οὐκ ὀλίγην, καὶ ἀνδρά-
C ποδα ἀγόμενοι ἐκέρδανον μεγάλα. καὶ ὑποζύγια δὲ καὶ πλέον τῶν εἴκοσι μυριάδων, ἵππους καὶ βόας ἐλαύνοντες, ὁ τοῦ βασιλέως στρατὸς ἀφίκετο ἐπὶ τὸν Ἴστρον. τὸ μέντοι στρατόπεδον ἐδεδοίκει μὲν τοὺς Δάκας, οὐδὲν ἧττον τόλμης μέγα τι ἀποδεικνυμένους, διέβαινον δὲ τὸν Ἴστρον σπουδῇ πολλῇ. βασιλεὺς δὲ Ἀλίην τὸν Μιχάλεω ὄπισθεν ἕπεσθαι τῷ στρατῷ παραγγείλας, ὡς ἐστρατοπεδεύσατο παρὰ τὸν Ἴστρον, Δρακούλη μὲν τὸν ἀδελφὸν Βλάδου τοῦ ἡγεμόνος κατέλιπεν αὐτοῦ ἐν τῇ χώρᾳ μετιέναι τε τοὺς Δάκας καὶ ὑφ' αὑτῷ ποιεῖσθαι τὴν χώραν, καὶ τιμωρεῖν παραγγείλας τῷ κατὰ ταῦτα
D τὰ χωρία ὑπάρχῳ αὐτός τε ἤλαυνεν εὐθὺ τῶν βασιλείων. Δρακούλης μὲν οὖν ὁ νεώτερος ἐπεκαλεῖτο ἕνα ἕκαστον, λέγων "ὦ ἄνδρες Δᾶκες, τί δὲ οἴεσθε ἐς τὸ ἐπιὸν ὑμᾶς ἔσεσθαι; ἢ οὐκ οἴδατε βασιλέα ὅσην τε δύναμιν ἔχει, καὶ ὡς αὐτίκα
V. 214 τὰ βασιλέως στρατεύματα προσδέξιμα ὑμῖν ἔσται, δῃώσοντα τὴν χώραν, ἤν τι ὑπόλοιπον ἀφελώμεθα; τί οὐ γίγνεσθε βασιλεῖ φίλοι; καὶ ἔσται ὑμῖν παῦλα ἔστε τὴν χώραν καὶ ἐς τοὺς οἴκους. ἴστε γὰρ ὡς ἐν τῷ παρόντι οὔτε ζῷον οὔθ' ὑποζύγιον ὑπελείφθη. ταῦτα δὲ πάντα διὰ τὸν ἐμὸν ἀδελφὸν

re, hunc eventum sortita est. rex ex Dacorum regione mancipiorum praedas agebat non modicas. nam immisso equitatu regionis partem percurrebat non modicam. equites capientes mancipia plurima maximas sibi peperere opes. etiam iumenta plurima nacti sunt. exercitus regis agens ultra viginti myriades equorum et boum venit ad Istrum. castra regia terrebant Dacos, quamvis magnam audaciam ostentantes. Turci autem summa celeritate adhibita transgressi sunt Istrum. rex Haliem Michaelis filium a tergo subsequi iussit, cum castra ad Istrum posuisset. Draculem, fratrem Bladi principis, ibidem in regione reliquit, praecipiens ut colloqueretur Dacis et regionem eam subigeret; praeterea strenue adiuvaret istorum locorum praefectum. his ita gestis ipse recta in regni sedem abiit. Dracules quidem, quemadmodum praeceperat rex, unumquemque vocabat, dicens "viri Daci, quid putatis deinceps de vobis futurum? nescitis quantas copias rex habeat? praeterea ignoratis quod regiae copiae expectentur? quae ubi primum accesserint, regionem vestram populabuntur, et si quid residui fuerit, auferent. qui fit ut recusetis regis amicitiam? efficiamini amici regis, et finis erit malorum, quantum ad regionem et ad aedificia attinet. scitis enim vobis in praesentiarum neque pecus neque iumentum ullum relictum esse. haec omnia gravissima passi estis auctore fratre meo, cui morem gessistis, viro impiissimo, qui

ἐπεπόνθειτε χαλεπώτατα, χαριζόμενοι ἀνδρὶ ἀνοσιωτάτῳ καὶ P. 275
κακὸν μέγα τὴν Δακίαν ἐξειργασμένῳ, οἷον οὐδαμῇ ἄλλοθι
τῆς γῆς ἐπὶ ἀκοὴν ἀφικνεῖται ἡμετέραν." ταῦτα ἐπιπέμπων τοῖς
Δαξίν, ὅσοι ἐς τὸ ἐξωνεῖσθαι σφῶν αὐτῶν τὰ ἀνδράποδα διέ-
βαινον, ἔπειθέ τε, καὶ τοῖς ἄλλοις εἰπεῖν ἐκέλευεν ἐπιέναι
θαρροῦντας ἐπ' αὐτόν. οὗτοι μὲν οὖν συνιόντες ἔγνωσαν
σφίσιν αἱρετώτερα εἶναι ἢ τὰ Βλάδου τοῦ ἡγεμόνος, καὶ ἰόν-
τες ἐπὶ τὸν νεώτερον συνελέγοντο κατ' ὀλίγους. καὶ ὡς ᾔσθοντο B
οἱ λοιποὶ Δᾶκες, αὐτίκα ἀπολιπόντες τὸν Βλάδον ᾔεσαν ἐπὶ
τὸν ἀδελφόν. καὶ ὡς συνελέγη αὐτῷ στράτευμα, ἐπιὼν κα-
τεστρέψατο τὴν ἀρχήν, καὶ ἐπαγόμενος ἅμα στρατὸν τοῦ
βασιλέως ὑπηγάγετο τὴν χώραν. ὁ μὲν οὖν ἀδελφός, ὡς με-
τέστησαν ἐπὶ τὸν ἀδελφὸν οἱ Δᾶκες, καὶ ἔγνω δὴ ὡς μάτην
εἴη τοσοῦτον φόνον πρότερον ἐξειργασμένος, ᾤχετο ἐς τοὺς
Παίονας.

Daciam affecit clade maxima. huiuscemodi cladem nec per universum terrarum orbem factam essse audivimus." haec cum nuntiaret Dacis per eos qui ad mancipia redimenda convenerant, eos facile in suam sententiam pertraxit. reliquis dici iussit ut confidentes, nec quicquam mali metuentes, ad se transirent. hi igitur in unum congregati decreverunt utilius esse et consultius obtemperare Draculi potius quam Blado principi. euntes igitur paulatim ad Draculem iuniorem Bladi fratrem colligebantur. quod ubi acceperunt reliqui, et ipsi ad fratrem eius Draculem transitionem fecere. exinde contracto exercitu haud contemnendo, et adducto simul regio exercitu, ducatum et regionem in dicionem regis redigebat. Bladus cognito Dacos ad fratrem confugisse, cum sciret omnia frustra tentari, quod tantam antea suorum fecisset caedem, in Pannoniam abiit.

ΛΑΟΝΙΚΟΥ ΧΑΛΚΟΚΟΝΔΥΛΟΥ

ΑΘΗΝΑΙΟΥ

ΑΠΟΔΕΙΞΙΣ ΙΣΤΟΡΙΩΝ Η ΔΕΚΑΤΗ.

LAONICI CHALCOCONDYLAE

ATHENIENSIS

HISTORIARUM

DE ORIGINE AC REBUS GESTIS TURCORUM

LIBER DECIMUS.

P. 276 V. 215 Κατὰ μὲν οὖν τὴν ἐπὶ Δάκας βασιλέως ἔλευσιν τοσαῦτα ἐγένετο· Βλάδος δέ, ὡς ἐπιὼν ὁ ἀδελφὸς Δρακούλης ὑπηγάγετο τὴν τῆς Δακίας χώραν, ᾤχετο μὲν αὐτὸς ἐπὶ Παίονας. Παίονες δέ, ὧν τοὺς προσήκοντας ἀνεῖλεν ἐν τῇ Δακίᾳ, ἀπῆγον αὐτὸν θανάτου παρὰ βασιλεῖ Παιόνων τῷ Χωνιάτου παιδί, δικασάμενοι δὲ αὐτῷ δίκην χαλεπωτάτην ὡς ἀδικώτατα ἀνελόντι τοὺς ἄνδρας, καθεῖρξάν τε ἐς Μπελογράδην πόλιν.

1462 Βασιλεὺς δὲ τοῦ αὐτοῦ θέρους, φθινοπώρου ἐπιγιγνομέ-

7. καθεῖρξαντες ἐς P

Expeditio regis in Dacos hunc finem habuit. Bladus fratre Dracule accedente et Daciam subigente, ad Pannones se recepit. Pannones, quorum propinquos et consanguineos in Dacia crudeliter peremerat, capitis eum coram suo rege Mathia Choniatis filio anquisiverunt. cum sententiam contra ipsum protulissent gravissimam, ut qui praeter ius et fas homines occidisset, Belgradum ductus ibi in carcerem impactus est.

Rex eadem adhuc aestate, cum autumnus advenisset, nuntium

νου, ἐστέλλετο ἐπὶ Λέσβον, παραγγείλας μὲν ναυτικὸν παρε- B
τοιμάζεσθαι αὐτῷ ἐς τὰ χωρία τὰ ἐπὶ θάλασσαν. καὶ τὰ μὲν στρατεύματα αὐτῷ διῆκεν ἐπὶ οἶκον ἀναχωρεῖν, αὐτὸς δὲ τῶν θυρῶν ἔχων τοὺς ἄνδρας καὶ ἀπὸ τῆς Εὐρώπης ὀλίγους δή τινας ἐστρατεύετο διαβὰς ἐς τὴν Ἀσίαν, αὐτὸς μὲν διὰ τῆς ἠπείρου κομιζόμενος, ὁ δὲ στόλος διὰ θαλάσσης. ἀπὸ αἰτίας P.277
τοιᾶσδε ὥρμηται ἐπὶ Λέσβον. ὁ γὰρ τῆς Λέσβου ἡγεμὼν ὑπόφορον μὲν εἶχε τὴν χώραν ὑπὸ βασιλέως, ἀπάγων κατ' ἐνιαυτὸν ἐς δισχιλίους στατῆρας, ἐξ ὅτου Παιτόγλης Καλλιουπόλεως ὕπαρχος ἐπὶ Ἀμουράτεω τοῦ νεωτέρου στόλῳ ἀφικόμενος ἐπὶ Λέσβον ἐπέδραμέ τε τὴν νῆσον, καὶ ἀνδράποδα ὡς πλεῖστα ἀφελόμενος τήν τε Καλλονὴν παρεστήσατο, πόλιν τῆς Λέσβου εὐδαίμονα, καὶ ἐξελὼν ταύτην ἀπεχώρησεν ἐπ' οἶκον. καὶ πρότερον μὲν ὑπόφορον ἔσχον οἱ βασιλεῖς ταύτην τὴν νῆσον καὶ Χίον ἀπὸ Ἀμουράτεω τοῦ Ὀρχάνεω, καὶ ἐπὶ τοῦδε τοῦ βασιλέως ἄλλοι τε καὶ Ἰονούζης ὀνομαζόμενος, κα- B
ταστὰς ὑπὸ τῶν θυρῶν, ἀφίκετο ἐπὶ Λέσβον καὶ Μόλιβον ἐπολιόρκησεν· οὐ μέντοι προεχώρησεν αὐτῷ οὐδὲν ὧν οὕνεκα ἀφίκετο. αἰτίαν δὲ ταύτην ἐπενεγκὼν βασιλεὺς τῷ Λέσβου ἡγεμόνι ἐστρατεύετο ἐπ' αὐτόν, ὅτι τῶν Ταρακοννησίων τοὺς πειρατὰς ἐδόκει αὐτὸς ἐν λιμένι τῆς Λέσβου ὑποδέχεσθαι, καὶ τὰ ἀπὸ τῆς βασιλέως χώρας ἀνδράποδα ἐξωνεῖσθαι, καὶ αὐτὸν κερδαίνοντα ἀπὸ τοῦδε. ὁρμώμενοι δὲ ἀπὸ τῆς

misit in Lesbum, qui imperabat ut pararent classem et convenirent in loca maritima. ipse quidem ducens ianuae milites cum pauca Europaeorum militum manu expeditionem suscipiebat, transiens in Asiam. rex terra, classis vero mari proficiscebantur. expeditionis regiae contra Lesbum hanc causam assignant. Lesbi princeps beneficio regis tenebat istam regionem tributariam, numerans quotannis circiter bis mille stateres aureos, iam inde ex eo tempore quo Paitogles Callipolis praefectus, imperante Amurate iuniore, classe adveniens in Lesbum incursionem hostilem fecerat, abductis inde mancipiis plurimis, necnon capta Callona, Lesbi urbe opulentissima, quam devastans domum reversus est. etiam antea reges insulam hanc tributariam habuere, necnon Chium, tempore Amuratis quem genuit Orchanes. sub eo rege inter caeteros et Ionuzes, electus ab ianuarum militibus, profectus est in Lesbum; obsidione circumveniens Molibum, nihil efficere potuit sane eorum quorum gratia advenerat. causa autem quare rex Lesbo arma inferebat, talis erat. rex Lesbio crimini dabat quod Taraconenses piratas portu excepisset et mancipia plurima ab iis emisset, quae venerant ab regione regis, ex quibus non parum lucri Lesbius princeps acceperat. nam Tarraconenses

Λέσβου οἵ τε Ταρακοννήσιοι ἐπὶ ληστείαν κατὰ θάλατταν τετραμμένοι, καὶ οἱ ἀπὸ Κυκλάδων νήσων ταύτην μετιόντες τὴν
C ληστικήν, ἐληΐζοντο τὴν βασιλέως χώραν, καὶ ὑποστρέφοντες
V.216 ἐς τὴν Λέσβον, διανειμάμενοι τὰ ἀνδράποδα, μοῖραν παρείχοντο αὐτῷ ἱκανὴν καὶ οὐ φαύλην. ταῦτα ὡς ἀνηνέχθη ἐς βασιλέα, ἐπῆρεν αὐτὸν στρατεύεσθαι ἐπὶ Λέσβον. ὁ δὲ ἡγεμὼν τῆς Λέσβου Δομίνικος, Ἑλληνιστὶ δὲ Κυριακός, νεώτερος ἀδελφὸς ὢν τὸν πρεσβύτερον διαδεξάμενον παρὰ τοῦ πατρὸς τὴν ἡγεμονίαν τῆς Λέσβου καὶ διέποντα ἐπὶ χρόνον ἱκανὸν ἐπιβουλεύσας συνέλαβε καὶ κατέστησε, Βαπτιστῇ ἀνδρὶ Ἰανυΐῳ χρησάμενος συνεργῷ ἐς τὴν ἐπιβουλήν. μετ' οὐ πολὺ δὲ διαχρησάμενος τὸν ἀδελφὸν ἡγεμόνευε τῆς νήσου, ἀπαγαγὼν φόρον τῷ βασιλεῖ ἐς δισχιλίους στατῆρας. τὸ δὲ γένος τῶν
D ἡγεμόνων τούτων τῆς Λέσβου, Κατελουΐζων ἐπικαλούμενον, δοκεῖ μὲν ἀπὸ Ἰανυΐης γενέσθαι, ἀφικόμενον δὲ ἐπὶ συμμαχίαν τῶν Ἑλλήνων Βυζαντίου βασιλεῖ, ἔχοντι ὑπήκοον τὴν νῆσον ταύτην, συμβαλέσθαι τε καὶ ὑπουργῆσαι μεγάλα τῷ βασιλεῖ, δι' ἃ δὴ σφίσιν ἐπιτραπῆναι τὴν νῆσον ὑπὸ τῶν βασιλέων ἄρχειν. κατέχοντας δὲ ταύτην τὴν νῆσον, ὕστερον ὡρμημένους ἀπὸ ταύτης, καταλαβεῖν Αἶνον πόλιν τὴν ἐν τῇ Θρᾴκῃ παρὰ τῷ Ἕβρῳ ποταμῷ, διενεχθέντων τῶν ἐν τῇ πόλει πρὸς τὸν τῇδε αὐτοῦ τῆς πόλεως ἁρμοστήν, καὶ σφίσιν

15. ὑπὸ P

ab Lesbo procursantes ad maritima latrocinia, necnon hi qui degebant in insulis Cycladibus idem vivendi institutum occipientes, regis regionem diripiebant. deinde revertentes onusti mancipiorum praeda in Lesbum, ea inter sese partiebantur, assignantes Lesbio duci partem magnam et neutiquam contemnendam. haec cum nuntiarentur, regi, motus est ad bellum inferendum Lesbio principi. at Lesbi princeps Dominicus, quem Graeci Cyriacum vocant, frater iunior, seniorem, qui a patre Lesbi principatum acceperat eumque tempore longo administrarat, insidiis circumventum cepit, et Baptistae viro Ianuensi, quo usus fuerat auxiliatore in insidiis, tradidit. nec sane longo interiecto tempore fratrem obtruncat, atque solus principatu potitur, pendens regi tributum quotannis circiter duo milia staterum aureorum. genus principum illorum, Lesbum qui regebant et Catelusii nuncupabantur, apparet ab Ianuensibus deduci. nam venientes auxilio Graecorum regi, qui Byzantium tenebat et eam insulam imperio temperabat, strenue eum adiutarunt atque magna effecerunt. rex igitur Byzantius, ut virorum illorum virtutem aliquo modo veneraretur, iis concessit insulae huius principatum. qui tenentes eam insulam tandem inde progressi sunt, ut occuparent Aenum urbem Thraciae, iuxta flumen Hebrum. nam cives eius urbis adversabantur

ἐπικαλουμένων ἀπὸ τῆς Λέσβου τὸ Κατελουίζων γένος, καταλαβόντες δὲ διαφερομένων ἀλλήλοις ὡς ἐπὶ τὸ πλεῖστον τῶν P. 278 ποτὲ Ἑλλήνων βασιλέων. δοκεῖ δὲ ἡ νῆσος αὕτη καὶ πρότερον ἔτι τούτων τῶν Κατελουίζων γενέσθαι ὑπὸ Ἰαννΐοις, καὶ ὑπακούειν τότε τῷ Φωκαίης ἐν τῇ Ἀσίᾳ ἐπιτροπεύοντι, Κατάνη τοὔνομα ἔχοντι· εἷλε δὲ Κατάνη τὴν νῆσον ταύτην ἐπιβουλῇ. καὶ ὅ τε Ἑλλήνων βασιλεὺς στρατευσάμενος ἐπ' αὐτὸν καὶ τήν τε Μιτυλήνην παρεστήσατο καὶ ἐπολέμει τῇ Φωκαίῃ. μετὰ δὲ ταῦτα συμβαλλομένων τῶν Κατελουίζων τῷ Βυζαντίου βασιλεῖ, ἐπετράποντό τε τὴν νῆσον καὶ ἔσχον ἐπί τινας γενεάς, διαγενόμενοι ἔστε ἐπὶ τὸν καθ' ἡμᾶς χρόνον. B καὶ ἐπιγαμίας ποιούμενοι πρός τε τοὺς ἀπὸ Τραπεζοῦντος βασιλεῖς καὶ Ἑλλήνων ἡγεμόνας καὶ τοὺς παρ' Ἕλλησι πρωτεύοντας, κατεῖχον τὴν νῆσον ἐς τὰ μάλιστα εὐνομουμένην. ἀπέχει δὲ ἡ νῆσος αὕτη ἀπὸ τῆς ἐς τὴν Ἀσίαν ἠπείρου σταδίους μάλιστα ὀγδοήκοντα.

Ἀλλ' ἡ μὲν Χίος κατείχετο μὲν καὶ αὕτη πρότερον ὑπὸ Ἰαννΐων, οὐ μέντοι ἑάλω, ἀλλὰ δεομένων τῶν Βυζαντίου βασιλέων χρημάτων ἱκανὰ τοῖς Ἕλλησι δέδοτο ὑπὸ Μαρτίνου τοῦ τὴν νῆσον ταύτην κατασχόντος, ὑπ' ἀνάγκης τότε τῶν Ἑλλήνων διὰ τὸν πρὸς Μήδους καὶ Τριβαλλοὺς πόλεμον. καὶ ὕστερον C

1. ἐπικαλούμενον P 3. τότε? 4. ἔτι] ἐπὶ P 5. Φωκίας P 15. ἐπέχει P

Harmostae; et ut sibi vires pararent, vocabant ab Lesbo Catelusiorum genus. Catelusii urbem eam occuparunt et fortiter retinuere, cum plerumque intestinis seditionibus et odiis exagitarentur Graecorum reges. videtur autem ista insula iam sub Catelusiis Ianuensibus extitisse, et paruisse Phociae in Asia administratori, cui nomen fuit Catanes. verum ex insidiis insulam hanc occupavit Catanes. cui bellum inferens Graecorum rex etiam Mitylenas suo imperio iunxit, nec bellum gerere contra Phocaeam abstinuit. exinde cum Catelusii impigre subsidio venissent Byzantio regi, beneficio eius insulae dominium consecuti sunt. hanc tempore longo tenuere: eius principes etiam nostra attigere tempora. iungentes autem connubia cum Trapezuntiis regibus et Graecorum ducibus, necnon cum iis qui apud Graecos praestare videbantur, insulam eam rexerunt saluberrimis legibus fundatam. ab ea continente quae Asiam spectat, excurrit ad stadia circiter octoginta.

Caeterum et iam olim in potestate Ianuensium fuit Chius, nec tamen armis capta: verum cum Graecorum reges pecuniae inopia laborarent propter bellum quod ea tempestate gerebant cum Medis et Triballis, magnam pecuniae vim mutuo acceperunt a Martino eius insulae rectore. Graeci tandem eam insulam receperunt, cum aes alienum, quo erant obligati Martino, persolvissent. deinde venit insula

μέντοι ἀπέλαβον τὴν νῆσον οἱ Ἕλληνες, ἀποδόντες τὸ χρέος τῷ Μαρτίνῳ. μετὰ δὲ ταῦτα ἐγένετο ὑπὸ Ἰαννύοις, ὕστερον χρόνῳ οὐ πολλῷ τριήρεσιν ἀφικομένοις καὶ παραστησαμένοις τὴν πόλιν· οὓς οὔτε ἡ πόλις ἐξέπεμψεν ἐπὶ τὴν τῆς νήσου καταστροφήν, οὔτε κοινῇ ὑπὸ τῶν τελῶν ἐξεπέμφθησαν, ἀλλ' αὐτοὶ ὡρμημένοι οἱ ἐννέα οἰκιῶν γενόμενοι ἄρχοντες τὴν νῆσον κατεστρέψαντο, καὶ τὸ ἀπὸ τοῦδε ταύτην ὡς σφίσι τε αὐτοῖς καὶ τοῖς ἐν τῇ πόλει μετριώτατα διαιτώμενοι, κοινῇ τὴν πόλιν διῴκουν, ἐξωνησαμένων μετὰ ταῦτα καὶ τὰς τῆς πόλεως D τε καὶ νήσου μοίρας τῶν ἀπὸ τῆς Ἰανύης ἀνδρῶν, μέγα δυναμένων ἐς πλοῦτον διὰ τὴν τῆς μαστίχης πρόσοδον· κοινῇ γὰρ δὴ αὕτη ἡ νῆσος τῶν ἐν τῷ Αἰγαίῳ φέρει καρπὸν τοῦ- V.217 τον ὡς πλεῖστον, καὶ ἐργαζόμενοι χρηματίζεται μεγάλως ἐν τούτῳ. διέχει δὲ ἔλαττον ταύτῃ ἀπὸ τῆς Ἀσίας, σταδίους ὡσεὶ πεντήκοντα μάλιστά πῃ. διοικεῖται δὲ ἡ πόλις αὕτη ὑπὸ τῶν ἐννέα ἀρχόντων, τήν τε νῆσον ἀρχὴν τὰ πρῶτα κατασχόντων καὶ ὕστερον ἄλλων ἐξωνησαμένων, κατὰ τὰ πάτρια τῶν ἐν τῇ πόλει ἀστῶν ἀπὸ τῶν Ἑλλήνων βασιλέων. εὐνομήθη δὲ καὶ ἡ πόλις τῆς Χίου μάλιστα δὴ πόλεων τῶν ἐν ταῖς νήσοις ταύταις, καὶ προσοδίων ἱκανωτάτη ἔσχεν ἡ πόλις, ὥστε ἐπὶ μέγα ὄλβου ἀφικέσθαι τοὺς τὴν πόλιν τήνδε διέποντας.

3. παραστησομένοις P 7. τῷ ὑπὸ P 11. κοινῇ] μόνη ?
17. κατὰ] αὐτὰ P 20. προσόδων ἱκανώτατα? 21. ὄλβον P

haec in Ianuensium dicionem; qui, cum non multum temporis intervenisset, advenerunt cum triremibus, ut urbem eam caperent. hi nec magistratus consensu et voluntate missi erant, ut insulam eam in dicionem reciperent, verum sua sponte, cum essent novem familiarum viri principes, ab domo profecti insulam eam subegere. ex eo tempore communi consilio magna concordia urbem gubernarunt, cum ubique ipsorum in rebus gerendis modestia eluceret. tandem urbis et insulae partes emerunt viri Ianuenses, qui plurimum pollebant opibus, propter masticis reditum et proventum. insula namque ista in mari Aegaeo sita masticis fructum reddit uberrimum; et qui huic operi sunt intenti, lucra multa ferunt. haec autem minus remota ab Asia est quam praedicta, si quidem stadiis maxime quinquaginta septem ab ea dissita est. gubernatur a principibus illis novem, qui primo eam insulam sui iuris fecerunt, necnon ab aliis, qui postmodum patrias urbes in ea insula ab Graecorum regibus redemerunt. metropolis Chii optimis regitur legibus, nec ulli omnium urbium, quae in istis insulis frequentantur, disciplinae sanctitate inferior est. reditus habet largissimos, qui incredibile est dictu quantas opes suppeditent iis qui eam regunt.

Ἐστρατεύετο δὲ Μεχμέτης ὁ Ἀμουράτεω ἐπὶ τὴν Λέσβον P. 279 δι' αἰτίας τῶν πρότερόν μοι δεδηλωμένων, ἐπιφέρων τε τὸν τοῦ ἀδελφοῦ φόνον καὶ τιμωρῶν τῇ ἐκείνου ψυχῇ, μετὰ δὲ καὶ διὰ τὴν πρὸς τοὺς πειράτας ἑταιρίαν αὐτοῦ. ἐκομίζετο δὲ αὐτὸς μὲν πεζῇ ἐς τὴν Ἀσίαν διαβάς, τὸν δὲ στόλον αὐτοῦ διὰ θαλάσσης ἐκπέμψας, τριήρεις μὲν πέντε καὶ εἴκοσι, πλοῖα δὲ μικρὰ ἀμφὶ τὰ ἑκατόν. τοὺς δὲ τηλεβόλους διὰ θαλάσσης ἐκόμιζεν ἐς τὴν νῆσον, καὶ λίθους τούτων ἀμφὶ τοὺς δισχιλίους. τὴν μὲν οὖν παρασκευὴν τοῦ πολέμου B ἐκέλευε διὰ θαλάσσης ἐκκομίζεσθαι ἐς τὴν νῆσον, αὐτὸς δὲ ἀφικόμενος ἔς τι πεδίον ἐπεραιοῦτο ἐς τὴν νῆσον. αὐτός τε καὶ οἱ τῶν θυρῶν ὄντες καὶ ἀπὸ τῆς Εὐρώπης ἀμφὶ τοὺς δισχιλίους. τὰ γάρ τοι στρατεύματα, ὡς διῆκεν ἐπανιὼν ἀπὸ τῆς Δακίας, αὐτίκα ἐπῄει τε ἐς τὴν νῆσον καὶ ἀπέβησαν. ἐπέδραμον δὲ αὐτίκα καὶ ἐδῄωσαν τὴν νῆσον, καὶ ἀνδράποδα ὀλίγα ἀπενεγκάμενοι. μετὰ δὲ ταῦτα αὐτὸς βασιλεὺς λόγους προσέφερε τῷ Λέσβου ἡγεμόνι, ἐπιπέμψας ἄγγελον καὶ κελεύων τήν τε πόλιν παραδιδόναι καὶ αὐτῷ διὰ ταῦτα ἐπιτραπῆναι C χώραν ἱκανὴν ὑπὸ βασιλέως. ὁ δὲ ἀγνωμοσύνῃ τε διεχρῆτο, καὶ οὐ προσίετο τὰς σπονδὰς τοῦ βασιλέως. βασιλεὺς δὲ τοὺς τηλεβόλους ἱδρυσάμενος ἐς τὴν πόλιν αὐτὸς μὲν

16. ἐπενεγκάμενοι P

At Mechmetes Amuratis filius hostilia arma intulit Lesbo, his de causis quas supra memoravimus. accedebat praeter societatem, quam cum piratis inierat Lesbi princeps, etiam fratris mors, cuius culpam in eum principem rex transferebat, et ulcisci fratris manes in animum induxerat. rex quidem itinere pedestri in Asiam transiens ferebatur: at classem, quae complectebatur triremes viginti quinque et naves minores centum, per mare sequi iubet. bombardas per mare in insulam eam transportavit, necnon lapides, quibus onerarentur, circiter bis mille. belli quidem instrumenta et machinas mari ad eam insulam subvehi curavit. ipse vero veniens Possidium, pedestri itinere ad insulam accedebat, ducens ianuarum milites et quosdam Europaeos, circiter bis mille. nam cum dimisisset exercitus rediens ab Dacia, continuo bellum movebat contra istam insulam. copiae ubi in continentem sunt expositae, illico incursionem fecerunt in insulam eamque populati sunt. verum pauca inde abstulerunt mancipia. mox legatum ad Lesbi ducem misit, qui iussu regis diceret principi seu duci ut urbem dederet. quod si faceret, fore ut ab rege acciperet aliam et admodum magnam regionem. princeps Lesbi, nescio quo genio malo in transversum abstractus, pacem regis aspernatus est. rex itaque bombardas sistens et contra urbem dirigens, in continentem pergebat consilio Machumetis, qui

ἐς τὴν ἤπειρον ἐκομίζετο, ἐποτρύνοντος τοῦ Μαχουμούτεω μὴ ἐνδιατρίβειν ἐν τῇ νήσῳ· Μαχουμούτης δὲ παραλαβὼν τὸν στρατὸν ἐπολιόρκει τὴν πόλιν, ἐς μοίρας διελόμενος τὸν στρατόν, καὶ τοῖς τε τηλεβόλοις τὸ τεῖχος ἔπαιεν ἐπὶ ἡμέρας εἴκοσι καὶ ἑπτά, καὶ κατέβαλλε μέγα μέρος τῆς πόλεως. ἔχων D δὲ καὶ ὑπτίους τηλεβόλους ἔβαλλεν ἐς τὴν πόλιν, καὶ δὴ ἐθορύβει τοὺς ἐν τῇ πόλει. οἱ δὲ ἐν τῇ πόλει, ἐνόντων σφίσι καὶ πειρατῶν τινῶν αὐτοῦ, ἐπεξιόντες βραχὺ ἀπὸ τῆς πόλεως ἠμύνοντο, οὐ μέντοι γε ὡς ἀγαθόν τι ἐξεργάζεσθαι· οἱ γὰρ Τοῦρκοι ἐρεθιζόμενοι ὑπὸ τῶν ἐν τῇ πόλει προσήεσαν ἐς τὸ τεῖχος, καὶ ἀνεθάρρουν ἐπιόντες, καὶ ἐμάχοντο πρὸς τῷ τείχει. ὡς δὲ οἱ ἐν τῇ πόλει τῷ τε πλήθει ἐταλαιπωροῦντο καὶ ἐπιέζοντο τῇ ταλαιπωρίᾳ, προσέφερε λόγους τῷ βασιλεῖ ὁ τῆς νήσου ἡγεμών, ἐφ' ᾧ παραδιδόναι τε τὴν πόλιν καὶ τἆλλα πολίσματα τὰ ἐν τῇ πόλει, αὐτῷ δὲ ὑπὸ βασιλέως χώραν δω- P. 280 ρηθῆναι ἴσην τῇ ἑαυτοῦ καὶ πρόσοδον, καὶ στρατεύεσθαι ἅμα τῷ βασιλεῖ. Μαχουμούτης μὲν οὖν τούς τε λόγους ἐδέχετο, V. 218 καὶ ἔφασκεν ὡς βασιλέα πέρα ἐπὶ τὴν ἤπειρον πέμπειν. ἐπεὶ δὲ ἀνηνέχθη ὡς βασιλέα περὶ ὧν προΐσχετο ὁ τῆς Λέσβου ἡγεμών, ἐπεραιοῦτό τε ὁ βασιλεὺς καὶ ἐδέχετό τε τοὺς λόγους, ἕτοιμος εἶναι σπένδεσθαι ἐφ' οἷς προυκαλεῖτο ὁ τῆς νήσου τύραννος. ὡς δὲ τὰ ὅρκια ἐγένετο ἀμφοῖν, ὑπεξεχώρει

14. καὶ om P   21. προσκαλεῖτο P

eum adhortabatur ne in insula moraretur. Machumetes accepto exercitu urbem oppugnabat, distribuens copias universas in turmas et manipulos. murum bombardis arietabat diebus viginti septem, urbisque partem non modicam stravit. habuit bombardas quae in sublime globum torquent, quas mortaria nominant, quibus urbem gravissime afflixit. oppidanorum copiae in artum cogebantur. oppidani tamen, cum forte etiam quidam de piratarum numero praesto essent, egressi urbe manus cum hoste conserebant res vero eorum nequaquam prospere succedebat. nam Turci lacessiti ab oppidanis accurrebant ad murum, et magna audacia freti eum superare nitebantur. oppidanis in gravissimo periculo versantibus, siquidem hostis multitudine superior erat, princeps insulae legatos misit, qui nuntiarent regi se paratum esse dedere urbem et reliqua urbis oppidula. se tamen petere ut sibi a rege assignetur regio alia, aequales huic reditus habens. pollicebatur quoque se strenue imperata facturum, quocunque tamen in militiam eductus fuerit regio iussu. Machumetes cum intellexisset principis et oppidanorum sententiam, respondit se nuntios missurum in continentem ad regem, qui hasce principis condiciones ei exponant. ubi haec ad regem relata sunt, videlicet quae promittebat

τε ὁ τῆς πόλεως ἡγεμὼν τῆς νήσου, καὶ ἀφικόμενος ἐς βασιλέα προσεκύνησέ τε ἅμα καὶ ἔφασκε τοιάδε "ὦ βασιλεῦ, οἶσθα μὲν ὡς ἐξ ὅτου ἐς τὴν ἡγεμονίαν τῆς νήσου τῆσδε περιῆλθον, οὔτε τοὺς ὅρκους παρέβην πώποτε, καὶ ἀνδραπόδων B ὑποδοχὴν ὡς οὐδέποτε εἰργασάμην, δῆλα ἂν γένοιτο ὑπὸ τῶν τῆδε τῆς Ἀσίας ἐπιχωρίων, ὡς αὐτίκα ἁλισκόμενα ἀπεδίδοτο ὑπ' ἐμοῦ. καὶ σπουδὴν ἐποιούμην, ὅπου τῶν ὑμετέρων τινὶ ἀνδραπόδῳ περιτύχοι τις, ἑλεῖν τε καὶ ἐς τὸν δεσπότην αὐτοῦ ἀπαγαγεῖν. τοὺς δὲ πειράτας ὑποδεχόμενος ἔπρασσον ὅπως μὴ τὴν χώραν ληΐζωνται καὶ δῃοῦντες λεηλατῶσιν. ἀφορμήν τε οὐδενὶ τούτων ἔγωγε παρειχόμην ὥστε τὴν χώραν τὴν σὴν βλάπτειν ἐπιπλέοντας. νῦν δὲ ἥκω παρὰ σὲ πόλιν μὲν τήνδε παραδιδοὺς καὶ νῆσον ξύμπασαν, αἰτοῦμαι δέ σοι, ὡς C εὐνοίας τε ἔχοιμι περὶ τὰ σὰ πράγματα, οὕτω ἀμείβεσθαι βασιλέα ἡμᾶς." ταῦτά τε ἔλεγε, καὶ τῶν δακρύων μεθίετο οὐκ ὀλίγα, φάσκων ὡς ἀνοίᾳ τῶν ἀστῶν οὐκ ἀφίκοιτο τὴν ἀρχὴν αὐτίκα, ὅτε τἀγαθὰ ἐπηγγέλλετο αὐτῷ βασιλεύς. βασιλεὺς δὲ ἐπιμεμφόμενος αὐτῷ τὴν ἀγνωμοσύνην, οὐδ' ὡς ἀτυχήσειν αὐτὸν ἔφασκεν ὁτουοῦν τῶν ἀγαθῶν, ἀλλ' αὐτόν τε ἡσθήσεσθαι παραδόντα ἑαυτὸν τῷ βασιλεῖ, καὶ ἢν εὐνοῇ τοῖς αὐτοῦ πράγμασιν, οὐκ ἀχθεσθήσεσθαί ποτε διὰ τοῦτο. ταῦτα

19. αὐτὸς ἔφασκον ὁτῳοῦν P

insulae princeps, continuo in gaudium effunditur, et in insulam traiecit, lubentique animo admittit principis quas praescribebat condiciones; aitque se hisce condicionibus insulae principi foedus et pacem daturum. cum iam res utrinque decisa, et fides foederis iureiurando utrinque interposito accepta esset, urbe egrediebatur insulae princeps; et veniens ad regem eum adorat, et huiuscemodi orationem exorditur." nosti, o rex, ex quo insulam istam regere occepi, me iurisiurandi religionem temerasse nunquam. quod autem mancipia ex regione tua vi praedonum abstracta non receptaverim, sciri poterit ab iis qui Asiae loca incolunt. nam mancipia, quamprimum capiebantur e tua regione, continuo a me dominis suis reddebantur. praeterea maximum mihi fuit studium ut, sicubi vestra mancipia quis esset nactus, ea statim dominis suis restituerentur. quod piratas suscepi, ea gratia factum est, ne praedas ex mea regione agerent eamque vastando corrumperent. nec ulli horum unquam vel occasionem praebui vel consilium dedi, ut adnavigantes quicquam damni regioni tuae importarent. nunc autem ad te venio, urbem atque adeo universam insulam tibi tradens. supplex vero te oro ut, quemadmodum hactenus rebus tuis plurimum benevolentiae praestiti, ita nobis gratias referat rex." haec quidem fatus est, et lacrymae cadebant obortae dicenti inscitia oppidanorum factum esse, quod non statim ab initio,

λέγων τήν τε πόλιν παραλαβών, αὐτίκα ἐκέλευεν ἰόντα καὶ
D ἐς τὰς ἄλλας πόλεις κελεύειν παραδιδόναι τὰς ἀκροπόλεις.
αὐτός μὲν οὖν σὺν τοῖς βασιλέως ὑπάρχοις περιιὼν παρεδί-
δου τὰς πόλεις τῷ βασιλεῖ. καὶ ἐγκαθίστη μὲν εἰς αὐτὰς
φυλακὰς βασιλεύς, τὴν δὲ πόλιν Μιτυλήνην ἐς τρία διελόμε-
νος τὸ μὲν αὐτοῦ ἐγκατέλιπεν, εἴ τι ἀχρεῖον ἦν τοῦ ὁμίλου,
τὸ δὲ ἕτερον διενείματο τοῖς νεήλυσι, τὴν δὲ τρίτην μοῖραν
κατῴκισεν ἐς Βυζάντιον, εἴ τι ἦν τῶν ἀστῶν ἄξιον λόγου καὶ
εὔπορον. τοὺς δὲ πειράτας ἀπαγαγὼν κατέσφαξεν, ἐς τρια-
P. 281 κοσίους μάλιστα, ἐς χῶρον ἕνα τῶν προαστείων, τὰ σώματα
δίχα ποιούμενος ἐς τὴν σφαγήν. (τοῦτο γὰρ βιαιότερον ἐς
τοὺς πολεμίους ἐξεύρητο τοῦ θανάτου εἶδος, τὸ σῶμα ἐς δύο
τέμνειν. καταθέντες οὖν τὴν τομὴν ἐς τὸ διάφραγμα, ὅθεν
ξυμβαίνει ἴσχειν ἐπὶ πολὺ τῆς τελευτῆς διὰ τοῦτο τὸν δια-
φθειρόμενον. ἐγκαθίστη δὲ εἰς τὴν πόλιν ταύτην νεήλυδας
ἀμφὶ τοὺς διακοσίους καὶ ἀζάπιδας ἐς τριακοσίους, καὶ ἄρ-
χοντα αὐτῶν τοῦ Σαμλιάτεω παῖδα, ἄνδρα ἐπίσημον, οὗ τὸν
πατέρα ἐν ταῖς βασιλέως θύραις ἀκούειν δικαιοσύνης ἄριστον
ἐπυθόμεθα, μάλιστα δὲ δικαστὴν τῶν ἐν ταῖς βασιλέως θύραις
B καθισταμένων, καὶ δίκας δικάσαντα ἄριστον πάντων δὴ ὧν ἡμεῖς

20. ἄριστα? δὲ P

cum bona ab rege nuntiarentur, venerit. rex exprobrans ei suam inscitiam et imprudentiam, postremo consolationem adhibuit, iubens eum esse bono animo; nihil eum mali propter id quod primo non paruerit edicto regis passurum. his ultro citroque dictis urbem rex in dicionem accepit; principemque etiam in reliquas insulae urbes ire iubet, ut earum arces se dederent. qui impigre iussa regis capessens una cum regiis praefectis urbes adiit, easque regi tradidit. rex continuo, ne qua innovatio exoriretur, urbes in dicionem acceptas praesidiis firmat. Mitylenarum cives in tres distribuit partes. vulgi inutilem partem ibi reliquit, alteram peregrinis concessit; tertiam, quae genere et opibus principatum facile obtinebat, Byzantium deportavit. piratas trecentos in unum locum extra urbem contractos occidit. et quo crudelius perirent, corpora eorum media dissecuit. nam placuit regi Turcorum hoc mortis genere in hostes uti, ut maiore crudelitate interirent, dissectis corporibus mediis, gladio diaphragmati adacto. nam qui in hunc modum caeditur, diu mortis dolores amarissimos experitur. huic autem urbi, ne quam defectionem molirentur incolae, ducentos de peregrinorum corpore et trecentos Azapides imposuit. his ducem constituit Samblatis filium, virum illustrem, cuius pater in regis ianuis iudicis officio functus est, et litigantes summa diligentia et attentione audivit, et sententiam summa aequitate adhibita dixit, adeo ut facile primas inter omnes ianuarum

ἴσμεν καὶ ἐξευρόντα οἷα δὴ ἀποβαίνειν ἔμελλεν ἡ δίκη ἐς τοὺς δικαζομένους. τὸν δὲ Λέσβου ἡγεμόνα ἐνεγκάμενος ἀπὸ τῆς πόλεως σύμπαντα ἐκέλευε κομίζεσθαι ἐς Βυζάντιον. ἐξελόμενος δέ οἱ καὶ τῶν ἀρίστων τῆς Λέσβου παῖδάς τε καὶ θυγατέρας ἀμφὶ τοὺς ὀκτακοσίους, αὐτὸς ἀπήλαυνεν ἐπ' οἴκου, V.219 καὶ τάς τε τριήρεις διῆκεν ἀπιέναι, ἐγκαταλιπὼν πλοῖα μικρὰ αὐτοῦ που ἐν τῇ νήσῳ. τὴν μὲν οὖν ἀδελφὴν τοῦ ἡγεμόνος, καὶ πρότερον ἁλοῦσαν ὑπὸ βασιλέως ἐν Κολχίδι, γυναῖκα οὖσαν βασιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ τῆς Τραπεζοῦντος, ἐσηγάγετο μέχρι τινὸς ἐς τὴν γυναικωνῖτιν, πολλῶν δὴ καλλίστην καὶ ὡραίαν λεγομένην εἶναι, προαποθανόντος τοῦ ἀνδρὸς αὐτῆς ἐν Τραπεζοῦντι, καὶ αὐτῆς γενομένης καὶ οὔσης χήρας C μεθ' ἑνὸς παιδὸς καὶ μόνου. τὸν δὲ παῖδα τοῦτον, ὅτε εἷλε τὴν Τραπεζοῦντα, εἰσενεγκάμενος καὶ αὐτὸν ὁ βασιλεὺς ἐν θεραπείᾳ τε εἶχε μάλιστα δὴ παίδων τῶν ἐν ταῖς βασιλέως θύραις, μετά γε τὸν ἀπὸ Βυζαντίου παῖδα Ἀμουράτεω ἀδελφόν. τὴν μὲν οὖν θυγατέρα βασιλέως Τραπεζοῦντος, Ἄνναν λεγομένην καὶ Χριστιανήν, φυλαχθεῖσαν ὁρισμῷ τοῦ κρατοῦντος, ἡρμόσατο Ζαγάνῳ τῷ Μακεδονίας τῆς κάτω ὑπάρχῳ γενομένῳ, ἐξ ὅτου τὴν Πελοπόννησον αὐτὸν ἀφελόμενος ἐπέτρεπεν Ἀλβάνεω παιδί, τῷ Ἰνῶν λεγομένῳ, εἰ καὶ ὕστερον ἐχωρίσατο ταύτην ὁ κρατῶν ἀπ' αὐτοῦ, ἀναγκάζοντι ταύτην D γενέσθαι ἐς τὴν θρησκείαν αὐτοῦ.

22. ἐπ' P

iudices ferret. ius enim iustissime dixit; et facilis clemensque omnino fuit in inveniendo poenas quibus damnati subdendi essent. Lesbi ducem eam urbem relinquere et omnia sua Byzantium transferre iubet. ipse vero reversus est domum, eligens sibi optimatum Lesbi pueros, filios et filias circiter octingentas. triremes quoque abduxit, relictis tamen navigiis minoribus in insula. sororem ducis, quam etiam antea rex ceperat in Colchidis regione, uxorem Alexandri Comneni, qui rex erat Trapezuntis, induxit in gynaeceum, siquidem forma antecedere credebatur eo tempore omnes, quotquot ob formae elegantiam commendabantur. maritus eius praemortuus erat Trapezunte, ipsaque vidua erat, relicto filiolo unico. rex capta Trapezunte puerum hunc abduxit, et prae caeteris post puerum Byzantium, Amuratis fratrem, in ianuis benignissime tractavit. filiam Trapezuntii regis, Annam nomine et Christianam, custoditam pro arbitrio victoris connubio iunxit Zagano, inferioris Macedoniae praefecto. ex quo autem eum Peloponnesi imperio expulit, eam Albanis filio, cui Iyon nomen erat, tradidit; quamvis eam deinceps acceperit vincens, coegeritque suam religionem assumere.

Τὸν μὲν οὖν ἡγεμόνα τῆς Λέσβου οὐ πολλῷ ὕστερον αἰτιασάμενος συνέλαβέ τε καὶ καθεῖρξεν ἔχων ἐν φυλακῇ, ὡς μὲν ἐγὼ ἐπυθόμην, ὡς οὐκ ἐν γνώμῃ γεγονότα τῷ βασιλεῖ τὸν ἡγεμόνα τοῦτον, καὶ πρότερον ἀχθομένῳ αὐτῷ ἐπὶ πολλοῖς ἀεικέσι τε καὶ ἀνηκέστοις ἔργοις πρὸς τὸν βασιλέως οἶκον. ὡς δὲ ὑπ' ἄλλων λέγεται, παῖδα διαφυγόντα τὰς βασιλέως θύρας ἀφικέσθαι ἐπὶ τὸν Λέσβου τοῦτον ἡγεμόνα, καὶ μεταβαλόντα ἐς τὴν θρησκείαν τοῦ Ἰησοῦ γενέσθαι παιδικὰ αὐτοῦ ὡς δὲ ἡ Λέσβος ἑάλω καὶ ἐς Βυζάντιον ἐγένετο ἐπελέληστό P. 282 *τε τοῦ παιδὸς ὁ ἡγεμών, καὶ δώροις πέμψας ὡς βασιλέα, ἐπέγνωκάν τε οἱ παῖδες καὶ ἐξεῖπον τῷ βασιλεῖ. καὶ τὸν μὲν παῖδα κατέσχη, καὶ τὸν ἡγεμόνα συνέλαβέ τε καὶ ἐν δεσμοῖς ἐποιήσατο, ἅμα τῷ ἀνεψιῷ Λουκίῳ τῷ τῆς Αἴνου τυράννῳ παιδὶ γενομένῳ, καὶ συγκατεργασαμένῳ τῷ ἡγεμόνι τὸν τοῦ ἀδελφοῦ φόνον καὶ τὴν ἡγεμονίαν ἅμα. οὐ πολὺ μέντοι ὕστερον ξυνέβη καὶ τόδε αὐτοῖς. ὡς γὰρ ἐν ἀπόρῳ καθεστήκεσαν ἄμφω, οὐκ εἰδότες ὅπῃ ἀπαλλαγὴν εὕρωνται τῆς εἱρκτῆς, ἀνήνεγκαν ὡς ἐς τὰ πάτρια τὰ Τούρκων ἰέναι ἀμφότεροι προθυμοῦνται. καὶ αὐτὸς μὲν βασιλεὺς ἐσθῆτί* B *τε ἐδωρήσατο καὶ τιάρᾳ, καὶ περιτεμόμενος ἐλευθέρους ἀφῆκεν ἐπὶ ἡμέρας οὐ πολλάς, μετὰ δὲ ταῦτα αὐτίκα αὖθις*

10. *καὶ ἐν δώροις?* 17. *εἰδόντες* P

Haud multum intercessit temporis, et Lesbio duci nescio quod crimen impegit, captumque in vincula dedit. ego quidem audivi eum in carcerem esse raptum, quod displiceret regi, et iam olim ipsi fuerit invisus propter multa et intoleranda mala, quibus regiam familiam affecisset. verum, ut alii perhibent, hanc, quod in carcerem coniectus sit, accipio esse causam. ferunt puerum quendam fugientem ianuas regis venisse ad hunc Lesbi ducem. quem ubi Christianae religionis fide imbuit, non dubitavit turpissimo amore polluere. occupata autem Lesbo, cum princeps Byzantium abiisset, pueri oblitus est. eum inter munera quaedam missum ad regem regii pueri agnoverunt, remque regi significarunt. rex puerum quidem retinuit; ducem cepit, et in carcerem duxit, una cum consobrino eius Lucio, Aeni principe, qui cum fuisset puer, Lesbi principem in necando fratre et parando principatu strenue adiutarat. nec multo post Lesbum captam in hanc miseram provoluti sunt necessitatem. cum in summo vitae essent ambo discrimine, dubii quo se verterent, pronuntiarunt se Turcorum religionem assumpturos. rex quidem donatos vestitu et tiara circumcidit, et impunitos e carcere dimisit. nec tamen diu hoc gaudio illibato usi sunt: nam brevi tempore post eos

ἐς εἱρκτὴν ποιησάμενος κατέσχεν, ἐς ὃ δὴ ἀπαγαγὼν κατέσφαξε.

Τὸν μὲν οὖν ἐνιαυτὸν τοῦτον δὶς αὐτὸς ἐκστρατευσάμενος βασιλεὺς τὴν μὲν ἐπὶ Δάκας ἔλευσιν ἐποιήσατο, τὴν δὲ ἐπὶ Λέσβον. καὶ ἐτελεύτα αὐτῷ ἐς τὸν χειμῶνα τοῦτον ἡ ἐπ' οἴκου ἀνακομιδή. καὶ τὸν μὲν χειμῶνα ἐν Βυζαντίῳ διατρίβων ναυτικόν τε ἐξηρτύετο, καὶ ἐς τὸν Εὔξεινον πόντον ἐναυπηγεῖτο τριήρεις ἀμφὶ τὰς τριάκοντα, καὶ οἰκοδομῶν ναούς τε καὶ βασίλεια ἐπενόει τὴν Βυζαντίου πόλιν αὐτῷ εἰς τὰ ναυτικὰ εὐπορίαν παρέξεσθαι, ὥστε ἄξιον λόγου ναυτικὸν C ἐς τὴν θάλασσαν ἐξαρτύεσθαι· τῇ γὰρ θαλάσσῃ λογιζόμενος εὕρισκεν ὡς εἰ ἐπικρατήσει, ῥᾷον αὐτῷ παραχωρήσειν καὶ τὰ τῶν πολεμίων. ἐδείματο δὲ καὶ ἄλλα ἄξια λόγου, μετὰ τὴν ἐν Προποντίδι Λαιμοκοπίην, τήν τε ἐν Βυζαντίῳ ἀκρόπολιν ἀξίως λόγου, ἐς τὰς χρυσέας καλουμένας πύλας, πύργους τε V. 220 μεγίστους καὶ ἀξιοθεάτους, καὶ τὰ ἐντὸς βασίλεια, καὶ τὴν ἐπὶ τῶν Σκοπίων γέφυραν ἐπ' Ἀξιῷ ποταμῷ, καὶ βασίλεια ἐν Ἀδριανουπόλει, πέραν τοῦ Ταιάρου, ᾗ δὴ ἐς τὸν Ἕβρον ἐκδιδοῖ. καὶ πολίχνην μὲν ἐν τῇ Ἀσίᾳ περὶ Μάδυτον, ᾗ δὴ στενώτατον τοῦ Ἑλλησπόντου ἐσπλέοντι, καὶ ἐν τῇ Εὐρώπῃ πολίχνην ἑτέραν ἀπέναντι τῆς ἐν Ἀσίᾳ πολίχνης, ὥστε ἐχυροῦν D μὲν αὐτῷ τὴν Βυζαντίου πόλιν καὶ τὸν Εὔξεινον πόν-

13. ἄλλῃ P 21. πολίχνῃ ἑτέρᾳ P

iterum in carcerem condi iussit et diligenti custodia tamdiu asservavit donec inde abductos capitali supplicio afficeret.

Isto anno rex bis in militiam profectus, semel contra Dacos, iterum contra Lesbum. et utraque bella confecit eodem anno; hiemsque advenerat antequam domum redire posset. ea igitur hieme versatus Byzantii classem adornabat. extruebat templa, aedificabat regalia palatia, urbemque eam sibi accommodam ad navalia praelia reddere in animo constituerat, ut posset, si quando usus postularet, memorabilem classem inde in mare deducere. his cogitationibus intentus invenit se facile posse superiorem esse hostibus, si mare solus obtineat. animo conceperat extruere et aliam memorabilem, post Propontidis Laemocopiam, arcem Byzantii mirabilem; quam exaedificavit iuxta portas quas aureas nuncupabant. excitavit et turres maximas et spectaculo dignas, necnon interiora regiae, et turrim quae vergit ad Scopiorum pontem, quo iungitur Axius fluvius. etiam regiam sedem Adrianopoli ultra Taenarum, qua Hebrum illabitur, emunivit. urbem quoque in Asia iuxta Madytum, ubi Hellespontum angustissimum cernimus, condidit; necnon aliam in Europa e regione eius urbis quae in Asia conspicitur aedificavit. hae urbes conditae sunt ad defensionem Byzantii et Euxini maris. praeterea non medio-

τον, κρατύνειν δὲ καὶ τὰς ἐν τῷ Ἑλλησπόντῳ πόλεις αὐτῷ, ναυτικὸν παρεχομένας οὐ σμικρόν. ταῦτα δειμάμενος κατὰ τὴν Εὐρώπην καὶ Ἀσίαν τηλεβόλους καθίστη ἐς ἄμφω τὰ πολίχνια τῶν μεγίστων ἀμφὶ τοὺς τριάκοντα καὶ ἑτέρους οὐκ ὀλίγους. ναύσταθμον δὲ τὸν ταύτῃ αὐτοῦ χῶρον ποιησάμενοι οὐδενὶ ἐπιτρέπουσι παριέναι ἔσω ἐς τὸν Ἑλλήσποντον, ἂν μὴ τῷ ταύτῃ ὑπάρχῳ ἀποβαίνοντες ἐπιφαίνωνται οἱ πλέοντες ἔσω.

Ταῦτα μὲν αὐτῷ ἐπεποίητο, ὡς ἐμοὶ δοκεῖ, διὰ τὸν πρὸς
P. 283 Οὐενετοὺς οἱ ἐσόμενον πόλεμον, ὃν πρὸ πολλοῦ παρεσκευαζόμενος ἐπετήρει, ὅπως ἀσφαλέστατα αὐτῷ τὸν πόλεμον ποιήσαιτο. ἀλλὰ ταῦτα μὲν οὔπω ἐν τέλει ἦν παρεσκευασμένα,
1463 ὅτε τὸν πρὸς Οὐενετοὺς ἀράμενος πόλεμον ἐπολέμει· τότε δὲ ἐπιγενομένου τοῦ θέρους ἐστρατεύετο ἐπὶ Ἰλλυρίους καὶ Ἰλλυριῶν βασιλέα. τὸ μὲν οὖν τοῦτο γένος Ἰλλυριοὶ παλαιόν τε καὶ ἐς τὸν Ἰόνιον ᾠκημένον, εὐδοκιμῆσαί τε πολλαχῇ ἀπομνημονεύεται. καλοῦνται δὲ οὗτοι τὰ νῦν Βόσνοι. ἀλλ' οἱ μὲν Δαλμάται καὶ Μυσοὶ ἅμα καὶ Τριβαλλοὶ καὶ πρός γε ἔτι Σαρμάται τούτοις ταύτην ἵενται τὴν φωνὴν καὶ τῷ παντὶ παραπλησίαν, ὡς μὴ χαλεπῶς συνιέναι ἀλλήλων αὐτούς. εἰ-
B κὸς δὲ οἴεσθαι τούτους μᾶλλον ὡρμημένους ἀπὸ τῆς πρὸς τὸν Ἰόνιον χώρας, γένος τε ὂν μέγα καὶ πολλαχῇ ἐνευδοκιμοῦν, τήντε Θρᾴκην ὑπάγεσθαι σφίσιν αὐτοῖς, καὶ τὸν Ἴστρον δια-

criter tutabantur urbes in Hellesponto sitas, praebentes classem haud aspernandam. in hunc modum terrorem Asianis et Europaeis incutiens, qui eum augeret, in utramque urbem bombardas invexit circiter triginta maximas, et alias non paucas. ad haec cum portum ibi parassent Turci, nulli intrare Hellespontum concedebant, nisi prius descendissent navibus et se loci praefecto exhibuissent visendum.

Opera haec haud dubie fecit propter bellum quod gesturus erat cum Venetis, ad quod se praeparabat, ut si ingrueret, quam tutissime isti se committeret. at quae commemoravimus opera omnia iam erant absoluta et ad finem perducta, cum bellum adversus Venetos susciperet. aestate autem ea quae sequebatur, bello lacessebat Illyricos et Illyricorum regem. genus hoc hominum antiquum est, et regionem versus Ionium spectantem incolens plerumque ad magnam claritatem accessisse perhibetur. vulgo nunc Bosni vocantur. verum Dalmatae, Mysii, Triballi, etiam Sarmatae, eadem fere utuntur lingua, aut non multum dissimili, ut non difficulter se mutuo intelligant. verisimile tamen est illos profectos ab regione quae versus Ionium patet, cum pauci numero existerent et ubique rebus fortiter gestis inclarescerent,

βάντας τὴν τῆς Σαρματίας χώραν οἰκῆσαι, ἢ ὡς ἔνιοι οἴονται, ὑπὸ Σκυθῶν διωκομένους διαβῆναί τε ἐς τὴν ἐπὶ τάδε τοῦ Ἴστρου χώραν, καὶ καταστρεψαμένους τὴν ταύτῃ Θρᾴκην, ἔστε ἐπὶ μυχὸν τοῦ κόλπου ἀφικομένους, ἐνοικῆσαι. θαυμάζω δὲ εἴ τοὺς Ἰλλυριοὺς ἀποφαινόμενος Ἀλβανοὺς τεκμαίροιτό τις, συμβαλλόμενος ὡς Ἰλλυριοὶ οἱ πρὸς τῷ μυχῷ τοῦ Ἰονίου ἐχώρησαν ἐπὶ τὴν Ἤπειρόν τε καὶ Αἰτωλίαν καὶ Θετταλίας χώραν. ἀλλ' ὅτι μὲν ἀπὸ Ἐπιδάμνου μέχρι τοῦ Καρνερίου καλουμένου κόλπου ἅπας ὁ χῶρος οὗτος διατείνων ἐπὶ σταδίους μάλιστά πῃ τρισχιλίους, γένος τε ἓν ἐνοικεῖ, καὶ τῇ αὐτῇ φωνῇ διαχρώμενον, καὶ ἐπὶ μεσόγαιαν παρῆκον ἄχρι τοῦ Ἴστρου, παραμεῖβόν τε τὴν τοῦ Σανδάλεω χώραν, καὶ τοῦ ταύτῃ βασιλέως ἐχομένων αὐτίκα τῶν Τριβαλλῶν τε ἅμα καὶ Μυσῶν. μάλιστα δὲ συμβαλλόμενος ἔχων ἀποφαίνεσθαι διὰ τὸ ἐπὶ μέγα τὸ Ἰλλυρικὸν γένος χωρῆσαι δυνάμεως, καὶ ἐπὶ πολλὰ ταύτῃ σκεδασθῆναι τὴν Θρᾴκην, Ἰλλυριοὺς μᾶλλον τὸ γένος τοῦτο εἶναι ἢ Ἀλβανούς. συντίθεμαι δὲ καὶ ἐκείνοις ἔγωγε οἳ φάσκουσι τὸ Ἰλλυρικὸν γένος ἴσχειν αὐτῷ τὴν ἐπωνυμίαν ἀπὸ τῆς χώρας, διακεκρίσθαι μέντοι ὕπαρχον, ἄλλοτε ἄλλην φωνὴν ἀφιέμενον, ὥστε πολλὰ γένη αὐτοῦ, καὶ σφίσι διενηνοχότα πάμπαν ἐς τὴν φωνήν, λαχεῖν τοὔνομα τοῦτο Ἰλλυριοὺς καλουμένους. ἀλλὰ ταῦτα μὲν οὕτω μοι ἐς τοσοῦτον ἀναγεγράφθω· εἰ δὲ μὴ τοὔνομα αὐτὸ ἐς γένος τοῦτο

C (at "σταδίους") · D (at "τοῦτο Ἰλλυριοὺς")

Thraciam perdomuisse, et Istro transmisso Sarmatiae regionem inhabitasse. sunt vero qui tradant eos a Scythis pulsos transiisse in regionem quae ultra Istrum colitur, et subacta Thracia ad sinum eum venisse, ibique sedes fixisse. miror autem quod sunt qui censeant Illyricos Albanos esse, quasi Illyrii, qui tenent sinum Ionii, processerint in hanc continentem et Aetoliam et Thessaliae regionem. caeterum universa illa regio ab Epidamno usque ad Carnerium sinum complectitur spatium ter mille stadiorum. hanc regionem tenet hominum genus unum eadem lingua utens. porrigitur ab mediterranea se extendens usque ad Istrum, attingens Sandalis regionem, finitimis undique Triballis et Mysiis. haec autem dico, maxime hanc coniecturam secutus, quod constat Illyrios ad magnam potentiam devenisse et in multa loca per Thraciam esse dispersos. proinde magis credo eos potius Illyrios quam Albanos dicendos esse. assentior praeterea et illis qui Illyrios nomen ab regione traxisse asseverant. nam inter se divisi alii aliam in usu linguam habent. itaque cum plurima hominum genera ibi habitent linguae usu inter se diversa, reor istos id nominis esse sortitos, ut dicantur Illyrici. sed haec hactenus annotata de ista gente sufficiant; etsi quidam putent nominis rationem

ὀρθῶς εἴρηται, διὰ δὲ τὴν χώραν, ἣν ἐνοικοῦν φαίνεται τὴν
Ἰλλυριῶν, ἄξιόν ἐστι φέρεσθαί οἱ τοὔνομα τοῦτο. καὶ μὴ
V. 221 νέμεσις εἴη οὕτω φρονοῦντι περὶ αὐτῶν· Ἀλβανοὺς γὰρ
ἔγωγε μᾶλλόν τε τοῖς Μακεδόσι προστίθεσθαι ἂν λέγοιμι ἢ
ἄλλῳ τινὶ τῶν κατὰ τὴν οἰκουμένην ἐθνῶν· οὐδενί τε γὰρ
συμφέρονται, ὅτι μὴ τὸ Μακεδόνων γένος. ἀλλὰ τούτων μὲν
περὶ ἅλις ἔστω ταῦτα εἰρημένα, καλείσθω δέ μοι τῷ ὀνόματι
τούτῳ, Ἰλλυριοί, οἱ περὶ τὸν Ἰόνιον οἰκοῦντες ἄχρις ἄκρας
P. 284 Ἰστρίας καλουμένης πρὸς τῷ μυχῷ τοῦ κόλπου, ἀνεχούσης
ταύτῃ ἐς τὸ πέλαγος, καὶ οἱ περὶ τὴν ταύτῃ μεσόγαιον οἰκοῦντες Ἰλλυριοί.

Ἐπὶ τούτων δὲ τὸν βασιλέα ἐστρατεύετο βασιλεὺς Μεχμέτης, ὅτι τὸν φόρον αὐτοῦ, ὡς ἐπ' αὐτὸν ἀφίκετο βασιλέως κῆρυξ κελεύων τόν τε φόρον ἀπάγειν ὅτι τάχιστα ἐς τὰς βασιλέως θύρας καὶ μὴ διαμέλλειν, συναγείρας τὸν φόρον, πέντε ὄντα μυριάδας στατήρων, καὶ ἐπιδείξας τῷ βασιλέως κήρυκι, ὡς ἕτοιμος μὲν εἴη ὁ φόρος καὶ ὡς παρεσκεύαστο, οὐ μέντοι γε προθυμεῖται ἐπιπέμποντα τῷ βασιλεῖ τὰ χρήματα στέρε-
B σθαι τούτων αὐτόν, οὐδὲ οἱ καλῶς ἔχειν, ἀλλὰ σὺν τούτοις καὶ ἢν πολεμεῖν δέῃ [πολεμεῖν] τῷ βασιλεῖ πόλεμον ἐπαράμενον, ἄμεινον ἂν παρασκευάζοιτο ἐς τὸν πόλεμον, καὶ ἢν δέῃ ἀπαίροντα αλλην τινὰ στέλλεσθαι χώραν, ταῦτα ἔχοντα τὰ χρήματα ἄμεινον πράξειν. τὸν μὲν οὖν κήρυκα λέγεται ἐπει-

7. καλείσθων? 12. τοῦτον P

haud rectam me assignasse. verum propter regionem quam colunt, merito, ut mihi videtur, Illyrici appellantur. nec tamen invidia me comitetur, in hunc modum de his sentientem: nam Albanos potius Macedonibus adnumerari existimo quam alii in terrarum orbe genti. at de his satis. Illyricos igitur eam gentem nomino quae iuxta Ionium habitat usque ad summam Istriam, sic dictam regionem quae ad sinum excurrit in pelagus.

Adversus horum regem arma capiebat Mechmetes, quia tributum amplius ferre recusabat. nam regius praeco ad hunc accesserat, iubens ut quamprimum mora omni posita tributum in ianuas inferret. Illyricorum rex colligens tributum, quod, continebat quinque myriades staterum aureorum, idque praeconi ostendens, dicebat "tributum quidem collectum et paratum in promptu est. nec tamen mihi cordi est mittere regi tantas opes, et me planissime his privare. verum si bellum ab rege impenderit, bello me committam felicius, si tanta pecuniae affuerit vis. praeterea si ea necessitas me apprehenderit ut mihi in aliam sit migrandum regionem, fretus istis opibus vitam commodius exigere potero." regius praeco audiens istos sermones, respondisse fertur in hunc modum. "et qui-

